αἰτήσεις ἔξω τοῦ νόμου καμπτόμενος· ἀσφαλὴς δὲ ὁμοῦ καὶ προβλέπων τὰς ὁρμὰς τῶν προσιόντων· μηδένα καιρὸν ταῖς ῥαθυμίαις παραχωρῶν, τὴν μὲν νύκτα τοῖς βιβλίοις, τὴν δὲ ἡμέραν τοῖς πράγμασιν ἐγκείμενος, μηδὲ αυτὴν τὴν μέχρι τῆς αὐλῆς ἐκ τῆς οἰκίας ἐν ὁμιλίαις διασυρίζων απλῶς, ζητήμασι δὲ λογικοῖς καὶ ἀφηγήσεσι πραγμάτων ἀρχαιοτέρων μετὰ τῶν περὶ ταῦτα σχολαζόντων εἰλούμενος. καὶ καιρὸς οὐδεὶς αὐτῷ διδαγμάτων ἐστὶν ἀμέριμνος, ὡς τοὺς τῶν λόγων ἐξηγητὰς δεδιέναι τὴν πρὸς αὐτὸν ἐντυχίαν· πράγμασι γὰρ αὐτοὺς καὶ στροφαῖς περιβάλλει, μετρίως ὑπελέγχων, ὡς λέγοιντο μόνον, οὐκ εἰσὶ δὲ τοιοῦτοι ὁποίους αυτοὺς ἡ φήμη διαθρυλεῖ. ἐμοὶ δὲ μάλιστα σκοτοδινίας οὐ μικρὰς ἀνακινεῖ ἡ πρὸς αὐτὸν συνήθεια· χαίρω γὰρ αὐτῷ ὅτι καλὸς ἅμα καὶ ἐλεύθερος, καὶ τύφου καὶ κορύζης ἐκτός, ἀστεῖός τε καὶ κοινός· ἀλλ' ἐπισείει μοι, ὡς εἴρηται, φροντίδας οὐ μικράς, μηδὲν ὧν ἐπίστασθαι δοκῶ προτείνων εἰς ζήτησιν, τὰ δὲ παντελῶς ἠγνοημένα παρεισάγων· ὥστε με τὰς πασῶν ἰσχυροτάτας εὐχὰς μελετᾶν, μηδεμίαν αὐτὸν ἄβατον ἐμοί, ὥσπερ εἴωθεν, ἐπιρροιζῆσαι θεωρίαν.

2. Procopius Goth. I, 3 fin.: *Ὁ βασιλεὺς Πέτρον, Ἰλλυριὸν τὸ γένος, ἐκ Θεσσαλονίκης ὁρμώμενον, ἐς τὴν Ἰταλίαν εὐθὺς ἔστελλεν, ἕνα μὲν ὄντα τῶν ἐν Βυζαντίῳ ῥητόρων, ἄλλως δὲ ξυνετόν τε καὶ πρᾷον καὶ ἐς τὸ πείθειν ἱκανὸν πεφυκότα.*

3. Idem Anecdot. p. 24: *Πέτρος τὸν ἅπαντα χρόνον ἡνίκα τὴν τοῦ μαγίστρου καλουμένην εἶχεν ἀρχήν, ἀεὶ καθ' ἡμέραν αὐτοὺς (τοὺς σχολαρίους) κλοπαῖς ἀμυθήτοις ἀπέκναιε. πρᾷος μὲν γὰρ ἦν καὶ ὡς ἥκιστα ὑβρίζειν εἰδώς, κλεπτίστατος δὲ ἀνθρώπων ἁπάντων καὶ ῥύπου αἰσχροῦ ἀτεχνῶς ἔμπλεως.*

4. Suidas: *Πέτρος ὁ ῥήτωρ, ὁ καὶ μάγιστρος, ἱστορικός, πρεσβευτὴς ως Χοσρόην σταλείς. "μάλα ἐμβριθής τε ἦν καὶ ἀνάλωτος ἐν τῷ ῥητορεύειν τῷ καταμαλάξαι φρονήματα βαρβαρικὰ σκληρά τε καὶ ὀγκώδη." ἔγραψεν Ἱστορίας καὶ Περὶ πολιτικῆς καταστάσεως.* Conf. idem v. *ἐμβριθής*, et Eudocia p. 353. Verba: *μάλα ... ὀγκώδη* sunt Menandri Protectoris (fr. 12) in Exc. De sent. p. 356, 357 ed. Mai.

5. Menander (fr. 11) in Exc. de legat. p. 133 Par.: *Πέτρος ... ἀποχρώντως ἔχων τῆς τε ἄλλης παιδείας καὶ τῆς τῶν νόμων, ἔλεξεν ὧδε· κτλ.*

Idem ib. p. 144 (fr. 11), Chosroes ad Petrum: *Οὐδὲ αὐτός σε, ὦ Ῥωμαίων πρεσβευτά, ὥσπερ εἰκὸς ἐν τοσαύτῃ φιλοσοφίᾳ τεθραμμένον, ᾗ περιεῖναι τοῖς ῥήμασι μεμάθηκας, μεμφθείην πρός τινος ἔγωγε μὴ πείθειν μαθών.*

7. Idem ib. p. 150 (fr. 15), ubi Ioannes legatus: *Πέτρος μὲν γάρ, ὁ πρὸ ἡμῶν πρεσβευτής, ... ἐμπειρίᾳ λόγων καὶ δεινότητι πειθοῦς καὶ τὰ περὶ τῶν νῦν ἐπεγκαλούντων Σαρακηνῶν καὶ ἕτερα ὅσα διημφισβητήθη, οἷος ἐγένετο παρακρούσασθαι.*

8. Idem (fr. 12) in Exc. de sent. p. 356 Mai., Petri legati orationem appositurus: *Οὐδὲ μὴν ἀνθ' ἑτέρων ἑτέραις λέξεσιν ἐχρησάμην, ἢ τὸ χθαμαλώτερόν πως ἔστιν ἢ τῶν λόγων, καθ' ὅσον οἷόν τέ μοι, μετέφρασα ἐς τὸ Ἀττικώτερον.*

9. Cassiodorus Var. X, 19, nomine Theodahadi regis: "Vir eloquentissimus Petrus legatus serenitatis vestrae et doctrina summus et conscientiae claritate praecipuus."

10. Idem X, 22, eiusdem nomine: "per virum disertissimum Petrum."

11. Idem X, 24, nomine Gundelinae reginae: „veniente viro sapientissimo Petro."

12. Stephanus Byz.: *Ἀκόναι, πολίχνιον πλησίον Ἡρακλείας. λέγεται κατὰ περίφρασιν ὁ οἰκῶν τὰς Ἀκόνας. τὸ ἐθνικὸν Ἀκονίτης, τὸ θηλυκὸν Ἀκονῖτις. οὕτω γάρ τις νῆσος διαφέρουσα μὲν τῷ πανευφήμῳ πατρικίῳ καὶ τῷ* (τὰ Nieb.) *πάντα σοφωτάτῳ μαγίστρῳ Πέτρῳ, κειμένη δὲ καταντικρὺ τῆς εὐδαίμονος πόλεως Χαλκηδόνος· ἐπικέκληται δὲ διὰ τὸ πλῆθος τῶν ἐν αὐτῇ πρὸς ἀκόνας πεποιημένων λίθων.* Ad haec Holstenius: „Exstat adhuc hodie eius (Petri magistri) effigies Parisiis in S. Capella Palatii inter thesauros Constantinopoli allatos." Quaesivit frustra Müllerus.

13. Corippus de laud. Iustini I, 24:

Successor boni redivivaque gloria Petri
hic Theodorus adest, patria gravitate magister.

Omnium autem horum historicorum Byzantinorum fragmenta discerpta et manca quum nemo, qui rerum caussa inspiciat, sit lecturus non adhibitis Tillemonti et Gibboni egregiis operibus aut Clintoni Fastis, si temporum annorumque, quibus singula sunt ascribenda, rationem accurate velit cognoscere, non opus visum ut chronologia singulorum adderetur, qualem Niebuhrius et Müllerus ascripserant, saepe ne satis quidem certam propter rerum obscuritatem aut fragmentorum brevitatem.

CORRIGENDA.

Praeter operarum peccata nonnulla in praefatione suis locis notata tollendum quod ex editione Mülleri repetitum p. 191, 9, *μονοειδῆ* pro *μηνοειδῆ*, et 200, 4 a fine Constantianis pro Constantinianis.

Continentur hoc volumine fragmenta

NICOLAI DAMASCENI FRAGMENTA.

ΙΣΤΟΡΙΑ.

Ὅτι μετὰ τὸν Ἰνδικὸν πόλεμον Σεμίραμις, ἐπεὶ 1
ὁδοιποροῦσα ἐγένετο ἐν Μήδοις, ἀναβᾶσα ἐπί τι ὑψηλὸν ὄρος, πάντοθεν πλὴν καθ' ἓν μέρος περιερρωγὸς καὶ ἄβατον λισσάδι καὶ ἀποτόμῳ πέτρᾳ, ἐθεᾶτο τὴν στρατιὰν ἀπό τινος ἐξέδρας, ἣν παραχρῆμα ᾠκοδομήσατο. ἐνταῦθα δὲ στρατοπεδευσαμένῃ Σατιβάρας ὁ εὐνοῦχος ἐπεβούλευσε μετὰ τῶν Ὄννεω παίδων, αὐτὸς τὸ πᾶν συστήσας καὶ πρὸς τοὺς νεανίσκους λέγων ὅτι κίνδυνος αὐτοῖς εἴη ἐκ Νινύου βασιλεύσαντος ἀποθανεῖσθαι· δεῖν οὖν ὑποφθάσαντας ἐκεῖνόν τε καὶ τὴν μητέρα κτείναντας βασιλεύειν. καὶ ἄλλως δὲ αὐτοῖς ἔφη αἴσχιστον εἶναι περιορᾶν ἀκόλαστον μητέρα ἐν τοιᾷδε ἡλικίᾳ ὁσημέραι μοιχευομένην ὑφ' ὧν ἐτύγχανεν ἀνθρώπων τοσούσδε νεανίας ὄντας. πυνθανομένων δ' ἐκείνων, Καὶ τίς γενήσεται τρόπος; εἶπεν ὡς οὐδὲν χρὴ κάμνειν, ἀλλ' ἀναβάντας πρὸς αὐτὴν ἐπὶ κορυφὴν τοῦ ὄρους, ἐπειδὰν αὐτὸς κελεύσῃ, εἶχε δὲ ταύτην τὴν ἐπιμέλειαν, ὠθεῖν αὐτὴν ἀπ' ἄκρου εἰς τὰ κάτω. καὶ οἱ μὲν ταῦτα συνέθεντο καὶ πίστεις ἔδοσαν ἀλλήλοις ἐπί τινος ἱεροῦ. ἔτυχε δὲ κατόπισθε τοῦ βωμοῦ ἔνθα συνετίθεντο ἀνὴρ Μῆδος

ἀναπεπτωκὼς καὶ πάντα ἀκούων· ὃς ἐπεὶ ᾔσθετο, γράψας ἅπαν εἰς διφθέραν Σεμιράμει πέμπει διά τινος. ἡ δὲ ἀναγνοῦσα τῇ ὑστεραίᾳ ἐπ' ἄκρου τοῦ ὄρους ἀναβιβασαμένη καλεῖ τοὺς Ὄννεω παῖδας καὶ κελεύει ὅ,τι δήποτ' ἐννοουμένη ἥκειν ὡπλισμένους. καὶ ὁ Σατιβάρας χαίρων τοὺς νεανίσκους μετῄει, ὡς ὑπὸ θεοῦ ὀρθουμένης σφίσι τῆς πράξεως, ἐπειδὴ ὡπλισμένους αὐτοὺς ἡ μήτηρ ἐκάλει. ἀφικομένων δὲ μεταστῆναι τὸν εὐνοῦχον κελεύσασα Σεμίραμις λέγει πρὸς τοὺς νεανίσκους, Ὦ καλοῦ κἀγαθοῦ πατρὸς κακοὶ παῖδες, οἳ πεισθέντες ὑπὸ κακοῦ δούλου μητρὶ τῇ ἑαυτῶν θάνατον ἐβουλεύσασθε, ὥς με ἐνθένδε ὤσετε παρὰ θεῶν τὰ κράτη ἔχουσαν· ἀλλ' ἥδ' ὑμῖν ἐγώ· καί με κατὰ κρημνοῦ τοῦδε ὠθεῖτε, ἵνα δὴ κλέος ἔχοιτε πρὸς ἀνθρώπων καὶ βασιλεύοιτε κτείναντες τήν τε μητέρα Σεμίραμιν καὶ Νινύαν τὸν ἀδελφόν. * ἐδημηγόρησε πρὸς Ἀσσυρίους. (Ζήτει ἐν τῷ Περὶ δημηγοριῶν.) [Exc. Escor. p. 68—69 ed. Feder., 356—357 ed. Müller.]

2 Ὅτι Σαρδανάπαλλος Ἀσσυρίων ἐβασίλευσεν, ἀπό τε Νίνου καὶ Σεμιράμεως τὴν βασιλείαν παραδεξάμενος, οἴκησιν ἔχων ἐν Νίνῳ, ἔνδον τὸ σύμπαν ἐν τοῖς βασιλείοις διατρίβων, ὅπλων μὲν οὐχ ἁπτόμενος οὐδ' ἐπὶ θήραν ἐξιών, ὥσπερ οἱ πάλαι βασιλεῖς, ἐγχριόμενος δὲ τὸ πρόσωπον καὶ τοὺς ὀφθαλμοὺς ὑπογραφόμενος, πρός τε τὰς παλλακίδας ἁμιλλώμενος περὶ κάλλους καὶ ἐμπλοκῆς, τό τε σύμπαν γυναικείῳ ἤθει χρώμενος. κατὰ δὲ τὰ πρότερον συντεταγμένα ἐπὶ τὰς θύρας αὐτῷ παρῆσαν οἵ τε ἐκ τῶν ἄλλων ἐθνῶν σατράπαι ἄγοντες τὰς εἰρημένας δυνάμεις καὶ δὴ Ἀρβάκης ὁ Μήδων ὕπαρχος, ἀνὴρ τόν τε βίον σώφρων καὶ πραγμάτων, εἰ δή τις ἄλλος,

ἔμπειρος, τετριμμένος τε ἐν κυνηγεσίοις καὶ πολέμοις, καὶ πολλὰ μὲν πάλαι γενναῖα ἐξειργασμένος, πλείω δ' ἔτι καὶ μείζω τότε διανοούμενος. οὗτος ἀκηκοὼς τόν τε βίον καὶ τὰ ἤθη, οἷς χρῆται ὁ βασιλεύς, εἰς νοῦν ἐβάλετο καὶ ἐνεθυμήθη ἄρα ὅτι ἀπορίᾳ γενναίου ἀνδρὸς οὗτος ἔχοι τὰ τῆς Ἀσίας κράτη· καὶ βουλὴν συντίθεται περὶ τῆς ὅλης ἀρχῆς. [Exc. de virt. et vit. p. 425—426 ed. Vales.]

Ὅτι ἐπὶ Σαρδαναπάλλου τοῦ βασιλέως Ἀσσυρίων Ἀρβάκης ὁ Μῆδος ἀκηκοὼς τὸν βίον καὶ τὰ ἤθη, οἷς χρῆται ὁ βασιλεύς, εἰς νοῦν ἐβάλετο καὶ ἐνεθυμήθη ἄρα ὅτι ἀπορίᾳ γενναίου ἀνδρὸς οὗτος ἔχοι τὰ τῆς Ἀσσυρίας κράτη. ἀνδρειότατον δὲ φῦλον τὸ Μηδικὸν ἐδόκει τότε μετὰ τὸ Ἀσσύριον εἶναι. οὗτος οὖν ὁ Ἀρβάκης ἐν ὁμιλίᾳ γενόμενος Βελέσυϊ τῆς Βαβυλῶνος ἄρχοντι, ἅτε συνεδρίτης ὢν αὐτῷ πρὸ τῶν βασιλείων θυρῶν, ἀνδρὶ τοῦ Χαλδαίων γένους, ἱερεῖς δ' οὗτοι ἦσαν καὶ πρώτην ἔφερον τιμήν, συντίθεται αὐτῷ, καὶ κοινῇ βουλεύουσιν ἐπιθέσθαι τῇ ὅλῃ ἀρχῇ τά τε Ἀσσυρίων κράτη μεταστῆσαι εἰς Μήδους. ἀστρονομώτατοι δὲ πάντων ἦσαν Βαβυλώνιοι καὶ σοφίᾳ καὶ μαντικῇ τῇ τε δι' ὀνειράτων καὶ τεράτων προύχοντες πάσῃ τε ὡς εἰπεῖν τῇ ἀμφὶ τὰ θεῖα ἐπιστήμῃ. καὶ δὴ καὶ τότε ὁ Βέλεσυς τῷ Ἀρβάκῃ διαλεγόμενος πρὸ τῶν θυρῶν πλησίον τινὸς φάτνης, ἐν ᾗ δύο ἵπποι ἐξεφατνίζοντο· καί πως ἐν μεσημβρίᾳ κατέδαρθεν αὐτόθι, καὶ ἐν τῷ ὕπνῳ ἔδοξεν ὁρᾶν τὸν ἕτερον τῶν ἵππων ἐπιφορεῖν τῷ στόματι ἐπὶ τὸν Ἀρβάκην καθεύδοντα καὶ αὐτὸν ἄχυρα, τὸν δὲ ἕτερον ἐρέσθαι, Τί τοῦτο ποιεῖς, ὦ δαιμόνιε, καὶ τὰ ἄχυρα τῷ ἀνθρώπῳ ἐπιφέρεις; τὸν δὲ ἀποκρίνασθαι, Φθονῶ αὐτῷ· μέλλει

γὰρ βασιλεύειν ἁπάντων ὧν νῦν ἄρχει Σαρδανάπαλλος. ταῦτ' ἰδών τε καὶ ἀκούσας ὁ Βαβυλώνιος τὸν Μῆδον ἐγείρει καθεύδοντα, [καὶ] εἰ δή τι πλέον τὰ θεῖα εἰδὼς συμβάλλει τὴν τοῦ ὀνείρου φήμην, καὶ κελεύει τὸν Ἀρβάκην ἰέναι παρὰ τὸν Τίγριν ποταμὸν ῥέοντα πλησίον τῆς Νίνου καὶ προσκλύζοντα τὸ τεῖχος. ἰόντων δὲ καὶ πολλὰ λεσχηνευομένων, ὡς ἂν ἑταίρων, λέγει ὁ Βέλεσυς, Ἄγε δή, ὦ Ἀρβάκη, εἰ σὲ θείη σατράπην Κιλικίας Σαρδανάπαλλος ὁ δεσπότης, τί ἄν μοι δοίης τῷ εὐαγγελιζομένῳ; ὁ δ' ἀποκρίνεται, Τί μου, ὦ δαιμόνιε, καταγελᾷς; διὰ τί δ' ἄν με σατράπην Κιλικίας θεῖτο ἄλλους ἐμοῦ κρείττους παρελθών; καὶ ὅς, Ἀλλ' εἴ γε δοίη, πλέον γάρ τι εἰδὼς λέγω, τίς ἐμοὶ κείσεται χάρις παρὰ σοί; κἀκεῖνος, Οὔτι μέμψει, ἔφη· μεθέξεις γὰρ τῆς ἀρχῆς οὐκ ἐλάχιστον μέρος. ὁ δὲ εἶπεν, εἰ δὲ Βαβυλῶνός σε πάσης σατράπην ποιήσειε, πῶς ἐμοὶ χρήσει; καὶ ὅς, Παῦσαι πρὸς τοῦ Διός, ἔφη, σφόδρα μου κατακερτομῶν· οὐ γὰρ οἶμαι ἐπιτήδειος εἶναι Μῆδος ὢν ὑπὸ Βαβυλωνίου καταγελᾶσθαι. κἀκεῖνος, Ἀλλ' οὐ μὰ τὸν μέγαν Βῆλον ἔγωγέ σου καταγελῶν ταῦτα λέγω, ἀλλὰ πλέον τι τεκμαιρόμενος. καὶ ὃς ἔφη, Ἀλλ' ἐάν γε Βαβυλῶνος σατραπεύσω, σὲ ὕπαρχον καταστήσω τῆς ὅλης σατραπείας. καὶ ὁ Βαβυλώνιος, Ἀλλ' ἔγωγέ σοι οὐκ ἀπιστῶ· τόδε δέ μοι λέξον· εἰ βασιλεὺς εἴης ἁπάσης ὁπόσης νῦν Σαρδανάπαλλος ἄρχει, τί ἂν ἐμὲ ποιήσειας; ὁ δ' Ἀρβάκης εἶπεν, Εἴ σου, ὦ τλῆμον, ταῦτα ἀκούσειε Σαρδανάπαλλος, εὖ ἴσθ' ὅτι καὶ σὺ κἀγὼ κακῶς ἀπολούμεθα. ἀλλὰ τί σοι ἐπῆλθε ταῦτα ληρεῖν; οὐ παύει φλυαρῶν; καὶ ὃς τῆς χειρὸς αὐτοῦ λαβόμενος εὐτόνως, Ἀλλὰ μὰ τήνδε τὴν δεξιὰν τὴν ἐμοὶ τιμίαν

καὶ τὸν μέγαν Βῆλον, οὐ παίζων λέγω, ἀλλὰ τὰ θεῖα κάλλιστα εἰδώς. καὶ ὁ Ἀρβάκης εἶπε, Δώσω σοι Βαβυλῶνα ἔχειν καὶ ταῦτα [ὑπὸ ταύτῃ] ἀτελῆ. καὶ ἐπὶ τούτοις δεξιὰν αἰτοῦντος μάλα προθύμως δίδωσι. καὶ ὃς εἶπε, Βασιλεύσεις τοίνυν, εὖ ἴσθι, ἀψευδῶς. καὶ ἐπεὶ ταῦτα συνέθεντο, ἐπὶ θύρας ᾤχοντο ὀπίσω θεραπεύσοντες τὰ εἰωθότα. μετὰ δὲ ταῦτα ἐν ὁμιλίᾳ γενόμενος ἑνὶ τῶν πιστοτάτων εὐνούχων ὁ Ἀρβάκης ἐδεήθη αὐτοῦ δεῖξαί οἱ τὸν βασιλέα· σφόδρα γὰρ ἐπιθυμεῖν τὸν δεσπότην ὅστις εἴη θεάσασθαι. τοῦ δὲ εἰπόντος ἀδυνάτων αὐτὸν ἐρᾶν, μηδένα γὰρ πώποτε τυχεῖν τούτου, τότε μὲν ἡσύχασεν. αὖθις δὲ μικρὸν διαλιπὼν λιπαρέστερον αὐτοῦ ἐδεῖτο, φάσκων ἀντὶ πολλοῦ χρυσοῦ καὶ ἀργύρου ταύτην ἀλλάττεσθαι τὴν χάριν. ὁ δὲ εὐνοῦχος νικώμενος ὑπ' αὐτοῦ, ἦν γὰρ εἰς τὰ μάλιστα ἐπιτήδειος, καὶ οὐ βουλόμενος αὐτῷ ἀχαριστεῖν, ὑπέσχετο, εἰ καιρὸς εἴη, μνησθήσεσθαι τῷ δεσπότῃ ᾤκει ἔνθα ἐτελεύτησεν.* [Exc. Esc. p. 69—72 Fed., 358—359 Müll.]'

4 *Ὅτι [ἐπὶ Ἀρταίου τοῦ βασιλέως Μήδων τοῦ διαδόχου Σαρδαναπάλλου τοῦ Ἀσσυρίων βασιλέως] ἦν ἐν Μήδοις τότε κατά τε ἀνδρείαν καὶ ῥώμην δοκιμώτατος Παρσώνδης, παρά τε βασιλεῖ μάλιστα ἐπαινούμενος καὶ ἐν Πέρσαις, ὅθεν ἦν γένος, ἐπί τε εὐβουλίᾳ καὶ κάλλει σώματος, δεινὸς δὲ καὶ θῆρας αἱρεῖν ἐν σταδίᾳ τε μάχῃ καὶ ἀπὸ ἅρματος καὶ ἵππου μάχεσθαι. οὗτος ὁρῶν Νάναρον τὸν Βαβυλώνιον διαπρεπεῖ κόσμῳ χρώμενον ἀμφὶ τὸ σῶμα καὶ ἐλλόβια ἔχοντα καὶ κατεξυρημένον εὖ μάλα, γυναικώδη τε καὶ ἄναλκιν, ἔπειθεν Ἀρταῖον ἀφελέσθαι αὐτὸν τὴν ἀρχὴν καὶ ἑαυτῷ δοῦναι, δυσχεραίνων*

σφόδρα τὸν ἄνθρωπον. ὁ δὲ ὤκνει συγχέας τὰ συγκείμενα ὑπ' Ἀρβάκεω ἀδικεῖν τὸν Βαβυλώνιον. ἐπεὶ δὲ δὶς καὶ τρὶς ὁ Παρσώνδης ἐνέτυχεν Ἀρταίῳ, καὶ ταὐτὸν ἤκουσεν, ἡσύχαζεν· οὐ μὴν τὸν Νάναρον ἔλαθεν. αἰσθόμενος δ' ἐκεῖνος τὴν γνώμην τἀνδρός, μεγάλα δῶρα τοῖς ἑαυτοῦ ὑπέσχετο καπήλοις, εἴ τις αὐτῷ Παρσώνδην συλλαβὼν ἄγοι· ἕπονται δ' οὗτοι πολλοὶ τῷ βασιλέως στρατῷ. καί ποτε κατὰ δαίμονα κυνηγετῶν ὁ Παρσώνδης ἐλαύνει πόρρω ἀπὸ βασιλέως εἴς τι πεδίον οὐχ ἑκὰς Βαβυλῶνος. τοὺς δὲ θεράποντας εἰς τὴν πλησίον ὕλην τρέψας ἐκέλευσε βοῇ τε καὶ ἀλαλητῷ χρῆσθαι, ὡς δὴ τὰ θηρία σοβήσων εἰς τὰ πεδία· καὶ πολλοὺς μὲν ὗς ἀγρίους, πολλοὺς δ' ἐλάφους αἱρεῖ. τέλος δ' ὄνον ἄγριον διώκων ἐπὶ πλεῖστον ἀποσπᾶται τῶν ἑαυτοῦ, καὶ μόνος ἐλαύνων ἧκεν εἰς τὴν Βαβυλωνίαν, ἔνθα ἦσαν οἱ κάπηλοι ἀγορὰς εὐτρεπίζοντες τῷ βασιλεῖ· οὓς θεασάμενος ὑπὸ δίψους πιεῖν ᾔτει. οἱ δ' ἄσμενοι ἰδόντες Παρσώνδην προσίασιν αὐτῷ, πιεῖν τε ἐνέχεον καὶ τὸν ἵππον δεξάμενοι ἀριστᾶν ἐκέλευσαν. ὁ δὲ οἷα πανημέριος θηρῶν οὐκ ἀηδῶς ἤκουσεν, ἐκέλευσέ τε ἀποπέμψαι βασιλεῖ τὸν ὄνον, ὃν κατέλαβε, καὶ τοῖς ἀνὰ τὸν δρυμῶνα οἰκέταις φράσαι ἔνθα εἴη. οἱ δὲ πάντα ποιήσειν ὑποσχόμενοι κατακλίνουσι τὸν Παρσώνδην. καὶ δαῖτα παρέθεσαν παντοίαν, οἶνόν τε ἥδιστον πίνειν ὑπέχεον, ἀκρατέστερον ἐπίτηδες, ὡς μεθυσθείη. καὶ ἐπεὶ ἅδην εἶχεν, ὁ μὲν ᾔτει τὸν ἵππον, ὡς ἀπίοι ἐπὶ τὸ βασιλέως στράτευμα· οἱ δὲ γυναῖκας εὐπρεπεῖς παραγαγόντες ἐδείκνυόν τε αὐτῷ καὶ ἐκέλευον κοιμηθέντα αὐτόθι καὶ εἰς νύκτα χρησάμενον αὐταῖς ἕωθεν ἀπιέναι. ὁ δ' εὐπρεπεῖς γυναῖκας ὁρῶν

ἔμεινέ τε καὶ ηὐλίσατο. καὶ τὰ μὲν διὰ τὴν συνουσίαν, τὰ δὲ διὰ τὸν κόπον ὕπνος αὐτὸν ἔλαβεν. οἱ δ' ἀναστήσαντες τὴν παρακοιμωμένην γυναῖκα, πολλοὶ ἅμα ἐπιπεσόντες συνέδησαν τὸν ἄνθρωπον καὶ ἐπὶ Νάναρον ἐκόμισαν. ὁ δ' ὡς εἶδεν αὐτόν, ἤδη δὲ ἀνένηψεν ἐκ τοῦ οἴνου καὶ ἔγνω ἵνα ἦν κακοῦ, ἤρετο, Ἆρα, ὦ Παρσώνδη, κακόν τι ὑπ' ἐμοῦ πάλαι ἔπαθες ἢ αὐτὸς ἢ τῶν σῶν τις; ὁ δ' οὐκ ἔφη. Τί δέ, πείσεσθαι προσεδόκησας; Οὐκ ἔγωγε, εἶπεν. Τί οὖν αὐτὸς ἀδικίας ἦρξας εἰς ἐμέ, ἀνδρόγυνόν τε καλῶν καὶ βασιλείαν τὴν ἐμὴν αἰτῶν παρὰ Ἀρταίου, ὡς δῆτα οὐδενὸς ἀξίου αὐτὸς γενναῖος ὤν; πολλὴ δὲ χάρις Ἀρταίῳ οὐ πεισθέντι τὴν ὑπ' Ἀρβάκεω δεδομένην ἡμῖν ἀρχὴν ἀφελέσθαι. διὰ τί δὴ ταῦτ' ἐποίεις, ὦ κακὴ κεφαλή; ὁ δ' οὐδὲν ὑποθωπεύσας εἶπεν, Ὤιμην αὐτὸς ἀξιώτερος εἶναι τοῦτο τὸ γέρας ἔχειν, ἀνδρειότερός τε ὢν καὶ ὠφελιμώτερος βασιλεῖ ἢ σὺ ὁ κατεξυρημένος τε καὶ καθυπεστιβισμένος τὼ ὀφθαλμώ, ψιμυθίῳ δὲ τὸ χρῶμα ἐναλειφόμενος. καὶ ὅς, Εἶτ' οὐκ αἰσχύνει, ἔφη, σὺ ὁ τηλικοῦτος ὑπὸ τοῦ χείρονος συνειλημμένος, ἐπειδὴ γαστρὸς ἥττων καὶ αἰδοίων ἐγένου; ἀλλ' ἐγώ σε, ἔφη, θήσω γυναικῶν ἁπαλώτερον καὶ λευκότερον τὴν χρόαν οὐ πολλοῦ χρόνου. καὶ ἐπώμοσε τόν τε Βῆλον καὶ τὴν Μόλιν· οὕτω γὰρ τὴν Ἀφροδίτην καλοῦσι Βαβυλώνιοι. καὶ ἅμα καλέσας τὸν εὐνοῦχον τὸν τὰς μουσουργοὺς πεπιστευμένον, Τοῦτον, ἔφη, ἄπαγε, καὶ ξυρήσας τὸ ὅλον σῶμα καὶ κισηρίσας πλὴν κεφαλῆς δὶς τῆς ἡμέρας λοῦε καὶ σμῆχε ἀπὸ λεκίθου, καὶ τοὺς ὀφθαλμοὺς ὑπογραφέσθω καὶ τὰς κόμας ἐμπλεκέσθω, ὥσπερ αἱ γυναῖκες· μανθανέτω δὲ ᾄδειν καὶ

κιθαρίζειν καὶ ψάλλειν, ἵνα μοι μετὰ τῶν μουσουργῶν λειτουργῇ γυναικὶ ὡμοιωμένος, μεθ' ὧν καὶ δίαιταν ἕξει λεῖος ὢν τὸ σῶμα καὶ τὴν ἐσθῆτα τὴν αὐτὴν καὶ τὴν τέχνην ἔχων. ταῦτα εἰπόντος ὁ εὐνοῦχος παραδεξάμενος τὸν Παρσώνδην κατεξύρησέ τε ὅλον πλὴν κεφαλῆς καὶ τὰ προσταχθέντα ἐδίδασκε καὶ ἐσκιατράφει, λούων ἑκάστης ἡμέρας δὶς καὶ λεαίνων, ὁμοδίαιτόν τε ποιῶν ταῖς γυναιξίν, ὥσπερ ὁ δεσπόπροσέταξε. καὶ οὐ πολλοῦ χρόνου γίγνεται ἀνθρωπός τε λευκὸς καὶ ἁπαλὸς καὶ γυναικώδης, ᾖδέ τε καὶ ἐκιθάριζε πολὺ κάλλιον τῶν μουσουργῶν, οὐδείς τε ἂν ἰδὼν αὐτὸν λειτουργοῦντα ἐν συμποσίῳ Ναναρῳ οὐχὶ γυναῖκα ὑπέλαβε, καὶ πολύ γε ἐκείνων εὐπρεπέστερον, μεθ' ὧν ἑκάστοτε ἐλειτούργει. βασιλεὺς δὲ ὁ Μήδων Ἀρταῖος, ἐπειδὴ πάντῃ μαστεύων Παρσώνδην ἐξέκαμε καὶ δῶρα προτείνων, εἴ τις αὐτὸν ἀνεύροι ἢ ζῶντα ἢ τεθνεῶτα, ὑπελάμβανέ που ἐν κυνηγεσίῳ ὑπὸ λέοντος ἢ ἄλλου τοῦ θηρίου καταβεβρῶσθαι, καὶ μεγάλως ἐπ' αὐτῷ ἠνιᾶτο, ἅτε ἀνδρειοτάτῳ ὄντι. ὡς δ' ἑπτὰ ἔτη ἐγένετο αὐτῷ τοιαύτην δίαιταν ἔχοντι ἐν Βαβυλῶνι, τῶν εὐνούχων τινὰ ὁ Νάναρος μαστιγοῖ τε χαλεπῶς καὶ τὸ σῶμα αἰκίζεται. καὶ αὐτὸν ὁ Παρσώνδης μεγάλαις ἐλπίσιν ἐπάρας ἀναπείθει παρὰ τὸν Ἀρταῖον εἰς Μήδους ἀποδρᾶναι καὶ πάντα φράσαι τὰ περὶ αὐτὸν βασιλεῖ, ὡς ζῇ τε καὶ λελώβηται μετὰ μουσουργῶν δίαιταν ἔχων Παρσώνδης ὁ σὸς φίλος ἐκεῖνος ὁ πολεμιστήριος. καὶ ἐπειδὴ ταῦτ' ἔφρασεν ὁ εὐνοῦχος βασιλεῖ, ἤσθη τε ἅμα καὶ μέγα στενάξας εἶπε, Φεῦ λώβης ἀνδρὸς ἀγαθοῦ, πῶς ἠνέσχετο ὁ Παρσώνδης, ὃν ἐγὼ οἶδα, θηλυνόμενος τὸ σῶμα ὑπὸ ἐχθροῦ; καὶ ἅμα πέμπει τινὰ τῶν πιστοτάτων ἄγγαρον παρὰ τὸν

Βαβυλώνιον· οὕτω γὰρ ἐκάλουν τοὺς βασιλέως ἀγγέλους. ὁ δὲ Νάναρος ἀφικομένῳ τῷ ἀγγάρῳ καὶ ἀπαιτοῦντι Παρσώνδην, ἔξαρνος γενόμενος οὐδαμοῦ ἔφη ἐκεῖνον ἑορακέναι, ἐξ ὅτου ἀφανὴς ἐγένετο. ὡς δὲ ταῦτα ἤκουσεν Ἀρταῖος, ἕτερον ἔπεμψεν ἄγγαρον πολὺ μείζω τοῦ προτέρου καὶ δυνατώτερον· ἐπέστειλέ τε ἐν διφθέρᾳ ῥίψαντα τὴν Βαβυλωνίαν ἀπάτην ὀπίσω ἀποπέμπειν τὸν ἄνδρα παρ' ἑαυτόν, ὃν ταῖς μουσουργοῖς τε καὶ εὐνούχοις παρέδωκεν, ἢ ὅτι τὴν κεφαλὴν αὐτὸς οὐχ ἕξει. ταῦτα ἔγραψε, καὶ ἅμα ἐκέλευσε τῷ ἀνδρί, εἰ μὴ παραδοίη Νάναρος τὸν Παρσώνδην, λαβόμενον τῆς ζώνης ἄγειν αὐτὸν ἐπὶ θανάτῳ. ἀφικομένου δὲ τοῦ δευτέρου ἀγγάρου εἰς Βαβυλῶνα καὶ ταῦτα ἀπαγγείλαντος, ὁ Νάναρος δείσας περὶ τῆς ψυχῆς παραδώσειν τε ὑπέσχετο τὸν ἄνθρωπον καὶ προσέτι ἀπολογούμενος τῷ ἀγγάρῳ πείσειν ἔφη βασιλέα ὡς δικαίως μετῆλθεν ἄνδρα ἄρξαντα μεγάλης ἀδικίας εἰς ἑαυτόν· πεπονθέναι γὰρ ἂν αὐτὸς ὑπ' ἐκείνου χαλεπώτερα, εἰ μὴ βασιλεὺς ὁ δεσπότης αὐτοῦ ὑπέρσχοι τὴν δεξιάν. ἐκ τούτου ἐπὶ πότον ἐτράπετο καὶ συνουσίαν, ἑστιῶν τὸν ἄγγαρον. καὶ τοῦ δείπνου παρακειμένου εἰσεληλύθεσαν αἱ μουσουργοί, ἑκατὸν καὶ πεντήκοντα γυναῖκες, μεθ' ὧν ἦν καὶ Παρσώνδης. καὶ αἱ μὲν ἐκιθάριζον, αἱ δ' ηὔλουν, αἱ δὲ ἔψαλλον, ἐν πάσαις δὲ διέπρεπε μάλιστα Παρσώνδης καὶ κάλλει καὶ τέχνῃ, γυνὴ καὶ αὐτὸς νομιζόμενος. καὶ ἐπειδὴ δείπνου ἅδην εἶχον, ἤρετο ὁ Νάναρος τὸν ἄγγαρον ἥτις αὐτῷ δοκεῖ πασῶν προφέρειν εὐμορφίᾳ τε καὶ εὐμουσίᾳ. ὁ δ' οὐδὲν μελλήσας ἔφη ἐκείνην, Παρσώνδην δεικνύς. καὶ ὁ Νάναρος κροτήσας τὰ χεῖρε ἐγέλα ἐπὶ πολὺν χρόνον,

καὶ εἶπε, Ταύτην ἄρα καὶ βούλει ἔχων εἰς νύκτα ἀναπαύεσθαι; ὁ δέ, Πάνυ μὲν οὖν, ἔφη. Ἀλλ' οὐ δώσω, εἶπεν ὁ Νάναρος. Τί οὖν, ἔφη ὁ ἄγγαρος, ἐμοῦ πυνθάνει; μικρὸν δὲ διαλιπών, Οὗτός ἐστιν, ἔφη, Παρσώνδης, ἐφ' ὃν ἥκεις. ἀπιστοῦντος δ' ἐκείνου ὤμοσεν. καὶ ὁ ἄγγαρος, Θαῦμά μ' ἔχει, ἔφη, ὅπως ζῆν ὑπέμεινε γυναικιζόμενος ἀνὴρ ἄλκιμος καὶ οὐ διεχρήσατο ἑαυτόν, εἰ μὴ καὶ ἄλλους ἐδύνατο· πῶς δὲ ταῦτ' ἀνέξεται ὁ δεσπότης ἀκούσας; ὁ δὲ Νάναρος εἶπεν, Ἐγὼ ῥᾳδίως αὐτὸν ἀναδιδάξω ὡς οὐδὲν ἀδικῶ. τότε μὲν δὴ τοιαῦτα διελέγοντο καὶ ἐκοιμήθησαν. τῇ δὲ ὑστεραίᾳ ἐνθεὶς ὁ Βαβυλώνιος εἰς ἁρμάμαξαν Παρσώνδην ἀποπέμπεται σὺν τῷ ἀγγάρῳ. ἐπεὶ δ' ἧκον εἰς Σοῦσα, ἔνθα ἦν βασιλεύς, δείκνυσιν αὐτῷ ὁ ἄγγαρος τὸν ἄνδρα. καὶ ἐπὶ πολὺν χρόνον ὁ Ἀρταῖος ἐν ἀγνοίᾳ γενόμενος, ἐπειδὴ ἑώρα ἀντ' ἀνδρὸς γυναῖκα γεγονότα, Ὦ ταλαίπωρε, ἔφη, πῶς ὑπέμεινας ὧδε λωβηθῆναι καὶ οὐ πρότερον ἀπέθανες; ὁ δὲ ἀπεκρίνατο, Ἥ τοι ἀνάγκη, ὦ δέσποτα, καὶ θεῶν λέγεται κρείττων ὑπάρχειν. ἐγὼ δὲ ἔτλην καὶ ἐκ τοιῶνδε παθημάτων ζῶν, ἵνα ἅμα μὲν σὲ ἐγγένοιτό μοι θεωρῆσαι, ἔπειτα δὲ Νάναρον τιμωρήσασθαι διὰ σοῦ, ἅπερ ἐμοὶ οὐκ ἂν ὑπῆρξε τετελευτηκότι· ἀλλὰ μή με ἔφη, δέσποτα, ψεύσῃς τῆς ἑτέρας ἐλπίδος, ἀλλά μοι τὴν δίκην ἀπόδος παρὰ ἀνδρὸς κακοῦ, καὶ ὁ Ἀρταῖος ὑπέσχετο, ἐπειδὰν εἰς Βαβυλῶνα ἀφίκηται. οὐ πολλοῦ δὲ χρόνου ὅ τε Παρσώνδης ἀπέλαβε τὴν ἀνδρείαν φύσιν καὶ βασιλεὺς ἀφίκετο εἰς Βαβυλῶνα· κατεβοᾶτό τε ὁσημέραι ὑπ' αὐτοῦ ὅπως τιμωρήσεται τὸν Νάναρον. καὶ ὃς ἧκε παρὰ βασιλέα καὶ ἔφη δίκαια ποιῆσαι. πρότερος γὰρ

ἐκεῖνος οὐδὲν κακὸν παθὼν ἐμὲ διέβαλεν, ἔφη, παρά σοι ὥς με κτείνειάς τε καὶ τὴν Βαβυλῶνος ἀρχὴν αὐτῷ δοίης. Ἀρταῖος δὲ ἔφη δικαιότερα Παρσώνδην αἰτεῖσθαι· ἐχρῆν γὰρ μὴ σαυτῷ δικάζειν μηδὲ τοιαύτας ἐξευρίσκειν δίκας, ἀλλὰ ἐμοὶ ἐπιτρέπειν τὴν κρίσιν· τέλος δέ σοι εἰς δεκάτην ἐξοίσω ἡμέραν τὸ σοὶ πρέπον. ὁ δὲ Νάναρος ταῦτα ἀκούσας ἐν δεινῷ φόβῳ ἦν καὶ ἐπὶ Μιτραφέρνην καταφεύγει, ὃς ἦν τῶν εὐνούχων δυνατώτατος, καὶ ὑπισχνεῖτο αὐτῷ χρυσίου τάλαντα δέκα καὶ φιάλας χρυσᾶς δέκα καὶ ἀργυρᾶς διακοσίας καὶ Παρσώνδῃ ἀργυρίου νομίσματος τάλαντα ἑκατὸν καὶ ἄλλας ἐσθῆτας πολυτελεῖς, βασιλεῖ δὲ χρυσοῦ μὲν τάλαντα ἑκατὸν καὶ φιάλας χρυσᾶς ἑκατόν, ἀργυρᾶς δὲ τριακοσίας, ἀργυροῦ δὲ νομίσματος τάλαντα χίλια, ἐσθῆτάς τε παμπληθεῖς καὶ ἄλλα πολλὰ καλὰ δῶρα, εἰ τὴν ψυχὴν αὐτῷ ἐξαιτήσειε καὶ τὴν Βαβυλῶνος βασιλείαν παρὰ Ἀρταίου. καὶ ὁ εὐνοῦχος ᾤχετο παρὰ βασιλέα, καὶ πολλὰ δεηθείς, ἅτε ὢν τιμῆς τῆς πρώτης, εἶπεν ὅτι οὐκ εἴη θανάτου ἄξιος ὁ ἀνήρ· οὐ γὰρ κτείνειε Παρσώνδην, ἀλλὰ ὑβρισθεὶς καὶ δεινὰ παθὼν ἀνθυβρίσειεν. εἰ δὲ καὶ θανάτου εἴη ἄξιος, ἐμοί, ὦ δέσποτα, δός, ἔφη, τὴν χάριν ταύτην καὶ τὴν παραίτησιν ὑπὲρ αὐτοῦ. δώσει δὲ ὁ ἀνὴρ σοὶ μὲν τῷ δεσπότῃ πολὺν χρυσὸν καὶ ἄργυρον, Παρσώνδῃ δὲ ποινὴν ὧν ἔδρασεν ἑκατὸν τάλαντα ἀργυρίου. πείθεται τούτοις ὁ βασιλεὺς καὶ τοῦτο τὸ τέλος ἐκπέμπει Ναναρῳ. καὶ ὁ μὲν προσεκύνησε, Παρσώνδης δὲ κινῶν τὴν κεφαλήν, Ὄλοιτο, ἔφη, ὁ πρῶτος χρυσὸν ἐξευρὼν εἰς ἀνθρώπων γένος· διὰ τοῦτο γὰρ ἐγὼ νῦν γέλως γέγονα ἀνδρὶ Βαβυλωνίῳ. καὶ ὁ εὐνοῦχος, αἰσθόμενος αὐτὸν βαρέως φέροντα,

Ὠγαθέ, ἔφη, παῦσαι ὀργιζόμενος καί μοι πείθου φίλος τε γίγνου Ναvάρῳ· ταῦτα γὰρ ὁ δεσπότης βούλεται. ὁ δὲ Παρσώνδης καιρὸν ἐτήρει ἀμύνασθαι, εἰ δύναιτο, τὸν εὐνοῦχον καὶ Νάναρον, καὶ ηὗρε καὶ ἠμύνατο. (Ζήτει ἐν τῷ Περὶ στρατηγημάτων.) [Exc. de virt. et vit. p. 426—437.]

5 Νυκτὸς δὲ γενομένης τοὺς οἰκέτας ἐξεκεκλήκει τοὺς Ναvάρου. [Suidas v. ἐξεκεκλήκει, ἐκ τοῦ δείπνου ἀνίστη· ex titulo περὶ στρατηγημάτων modo citato, ut videtur, pariterque quod sequitur fragmentum.]

Σφοδροῦ τε πότου γενομένου ἐνεδρεύων ὁ Παρσώνδης αὐτὸς μὲν ὀλίγον ἔπινεν, ἐκείνοις δὲ πολὺν ἐγχεῖν τῷ θεράποντι ἐκέλευε. [Suidas v. σφοδροῦ et πότος, ubi praeter alias varietates est τοῖς θεράπουσιν.]

6 Ὅτι ὁ Στρυαγγαῖος μετὰ τὴν ἀναίρεσιν Μαρμάρεω τοῦ Σακῶν βασιλέως εἴχετο ἔρωτι Ζαριναίας σιγῇ πάλαι, κἀκείνη δὲ αὐτοῦ. καὶ ἐπεὶ πλησίον γίγνεται ὁ ἀνὴρ Ῥωξανάκης τῆς πόλεως, ἔνθα Σάκαις τὸ βασίλειον ἦν, ὑπήντησεν αὐτῷ Ζαριναία, καὶ θεασαμένη σὺν πολλῇ χαρᾷ ἐδεξιοῦτό τε αὐτὸν καὶ ἐφίλησε πάντων ὁρώντων, εἴς τε τὸ ἅρμα αὐτοῦ μετενέβη καὶ διαλεγόμενοι ἧκον εἰς τὸ βασίλειον. ὑποδέχεται δὲ ἡ Ζαριναία καὶ τὴν ἑπομένην αὐτῷ στρατιὰν λαμπρότατα. ἐκ τούτου ἐπὶ τὴν αὐτοῦ καταγωγὴν Στρυαγγαῖος ἀπελύετο, ὑποστενάζων διὰ τὸν Ζαριναίας ἔρωτα. οὐ καρτερῶν δὲ κοινοῦται τῷ πιστοτάτῳ τῶν εὐνούχων, οἵ συνείποντό οἱ. ὁ δὲ θαρρύνας αὐτὸν παρῄνει τὴν πολλὴν ἀτολμίαν ῥίψαντα αὐτῇ εἰπεῖν Ζαριναίᾳ. καὶ ὃς πεισθεὶς ἀναπηδήσας ᾤχετο παρ' αὐτήν· ἀσμένως δὲ ἐκείνης παραδεξαμένης αὐτόν, πολλὰ διαμελλήσας καὶ στε-

νάξας καὶ μεταβαλ.`ν τὸ χρῶμα ἐτόλμησεν ὅμως καὶ εἶπε πρὸς αὐτὴν ὡς δι' ἔρωτος εἴη σφοδροῦ καόμενος τῷ πόθῳ αὐτῆς. ἡ δὲ πράως μάλα ἀναινομένη, καὶ ἑαυτῇ ἔφη τὸ πρᾶγμα ἐπαισχὲς εἶναι καὶ βλαβερόν, κἀκείνῳ πολὺ αἴσχιον καὶ βλαβερώτερον γυναῖκα ἔχοντι Ῥοιταίαν τὴν Ἀστιβάρα θυγατέρα, ἣν ἀκούειν πολὺ καλλίω καὶ αὐτῆς εἶναι καὶ ἄλλων πολλῶν γυναικῶν. δεῖν οὖν αὐτὸν μὴ πρὸς πολεμίους μόνον ἀνδρίζεσθαι, ἀλλὰ καὶ πρὸς τὰ τοιαῦτα, ἐπειδάν τι προσπέσῃ τῇ ψυχῇ, καὶ μὴ βραχείας τέρψεως χάριν, ἣν καὶ ἐκ παλλακίδων οἷόντ' ἔχειν, τὸν πολὺν ἀνιᾶσθαι χρόνον, εἰ αἴσθοιτο Ῥοιταία. τοῦτ' οὖν μεθέντι ἔφη ἄλλο τι αἰτεῖσθαι· οὐδενὸς γὰρ ἀτυχήσειν παρ' αὐτῆς. ὁ μὲν δὴ τοιαῦτα εἰπούσης ἐπὶ πολὺ ἥσυχος ἦν, αὖθις δ' ἀσπασάμενος αὐτὴν ἀπέρχεται, καὶ ἐν πλέονι ἀθυμίᾳ ἦν, πρός τε τὸν εὐνοῦχον ὠδύρετο. τέλος δὲ γράψας εἰς διφθέραν ἐξώρκωσε τὸν εὐνοῦχον, ἐπειδὰν αὐτὸν διαχρήσηται, μηδὲν προκατειπόντα τὴν διφθέραν ἀποδοῦναι Ζαριναίᾳ. ἐγέγραπτο δέ· Στρυαγγαῖος Ζαριναίᾳ λέγει τάδε· Ἐγὼ μὲν σὲ ἔσωσά τε καὶ τῶν νῦν παρόντων ἀγαθῶν αἴτιος γέγονα· σὺ δέ με ἀπέκτεινας καὶ πάντων ἀνόνητον πεποίηκας. εἰ μὲν οὖν σοι ταῦτα πέπρακται δικαίως, σὺ δὲ πάντων τύχοις τῶν ἀγαθῶν καὶ εἴης μακαρία· εἰ δὲ ἀδίκως, σὺ δὲ τοῦ αὐτοῦ πάθους ἐμοὶ πεῖραν λάβοις· σὺ γάρ μοι παρήνεσας τοιοῦτον γενέσθαι. ταῦτα γράψας ὑπὸ τῷ προσκεφαλαίῳ τίθησι, καὶ εἰς ᾅδου ἀπιὼν ἀνδρείως τὸ ξίφος ᾔτει. ὁ δὲ εὐνοῦχος *) [Exc. de virt. et vit. p. 437—438.]

*) Excidit folium codicis.

Δέδοικα μὴ δόξῃς ὠμή τις εἶναι δεινῶς οὕτω τιμωρουμένη, Νικόλαος Δαμασκηνός φησι. [Suidas v. ὠμή. Ex eodem, ut conjeci ad Stephani Thes. v. Στρυαγγαῖος, loco Nicolai, idem in hoc nomine citat verba: Δῶρά τε πέμπει ἐπὶ φιλίᾳ τε καὶ συμμαχίᾳ, ἣν Στρυαγγαῖος ἐπρυτάνευσεν.]

7 Ἀχαιμένης ὁ ἥρως, ἀφ' οὗ καὶ οἱ Πέρσαι Ἀχαιμενίδαι, γέγονεν υἱὸς Περσέως· ὠνόμασται δὲ ἀπὸ τοῦ εἶναι τὸν προπάτορα αὐτοῦ ἀπὸ τῆς Ἀχαΐας. οὕτω Νικόλαος ἐν δευτέρῳ τῶν Ἱστοριῶν. [Etym. M. p. 180, 43.]

8 Ὅτι Ἀμφίων καὶ Ζῆθος οἱ τῆς Ἀντιόπης υἱοὶ γεννηθέντες καθ' ὁδὸν ἐξετέθησαν. Λύκου δὲ τῆς βασιλείας ἐκπεσόντος καὶ Λαΐου ἤδη βασιλέως καταστάντος ὑπὸ Καδμείων, Ζῆθος καὶ Ἀμφίων ἐφοίτων ἐκ τοῦ Κιθαιρῶνος εἰς Θήβας πρὸς τὸν Λύκον καὶ τὴν μητέρα· καὶ ᾔδεσαν οἷα πάσχοι καὶ ἥτις εἴη, οὐ μέντοι μόνῃ ἐδύναντο ἀφικέσθαι εἰς λόγους· εἷρκτο γὰρ τὰ πολλὰ ὑπὸ τῆς Δίρκης. Λαΐου δὲ βασιλεύοντος, ἀφικομένοις εἰς τὸν Λύκου κῆπον ἡ μήτηρ αὐτῶν Ἀντιόπη ὑδρευομένη διψῶσι τὸν γαυλὸν προσσχοῦσα πιεῖν ἔδωκε καὶ μονωθεῖσα ὠδύρετο τὰς πάθας, προπεπυσμένη ὅτι παῖδές εἰσιν αὐτῆς, ἱκέτευέ τε ἀμφιπίπτουσα τὴν μητέρα κακῶν ἐξελέσθαι, ἐδήλωσέ τε ὅτι ταῦτα πάσχοι διὰ τὸν ἐκείνων τόκον. οἱ δ' ἐπεὶ πάντα ἔγνωσαν, ἀχθόμενοι τοῖς κακοῖς τῆς μητρὸς Λύκον εὐθέως ἀπέκτειναν, καὶ Δίρκην καταλεύσαντες εἰς ποταμὸν ἔρριψαν, ὃς ἀπὸ τοῦ πάθους Δίρκη καλεῖται. Λάιος δ' αὐτοῖς συνέγνω ταῦτα δράσασι, καὶ τὸν Λύκου καὶ Νυκτέως οἶκον ἔδωκεν ἀνθ' ὧν ἠδίκηντο. καὶ

οὕτω τὴν μητέρα ἐρρύσαντο. [Exc. Esc. p. 72—73 Fed., 365—366 Müll.]

Ὅτι βασιλεύοντι τῷ Λαΐῳ καὶ γήμαντι Ἐπι- 9
κάστην παῖδες οὐκ ἐγίγνοντο. τούτων ἕνεκα εἰς Δελφοὺς χρησόμενος τῷ μαντείῳ ἀφίκετο. θεὸς δὲ αὐτῷ ἔχρησε παῖδα ποιήσεσθαι ὅστις αὐτὸν ἀποκτείνας τὴν μητέρα γυναῖκα ἕξει. μετὰ δὲ τὸν χρησμὸν γίγνεται τῷ Λαΐῳ κόρος, ὅντινα εὐθὺς γενόμενον ἀπέθετο ἐν Κιθαιρῶνι, ὅπως ἂν φθαρείη. βουκόλοι δὲ Πολύβου τοῦτον ἀνείλοντο· λέγεται δὲ ὁ Πόλυβος Ἑρμοῦ εἶναι· ὃν φέροντες ἀπεκόμισαν τῷ δεσπότῃ. ὁ δὲ λαβὼν ἔτρεφεν ὡς ἂν αὐτοῦ γενόμενον, Οἰδίπουν ὀνομάσας· ᾤδει γὰρ τοὺς πόδας ὑπὸ σπαργάνων. περιιόντι δὲ τῷ χρόνῳ ἐπεὶ ἀνὴρ ἐγένετο, ἐπὶ ζήτησιν ἵππων εἰς Ὀρχομενὸν ἀφικνεῖται τῆς Βοιωτίας, καί πως αὐτῷ Λάιος ἀπαντᾷ, θεωρὸς εἰς Δελφοὺς βαδίζων μετὰ τῆς γυναικὸς Ἐπικάστης. ὁ δὲ κῆρυξ, ὅστις συνῆν αὐτοῖς, ἐκέλευσε προϊὼν τὸν Οἰδίπουν εἶξαι τῷ βασιλεῖ τῆς ὁδοῦ. ὁ δὲ ὑπὸ μεγαλοφροσύνης τῷ ξίφει πλήξας αὐτὸν καὶ Λάιον ἐπιβοηθοῦντα ἀπέκτεινε, τῆς δὲ γυναικὸς οὐχ ἥψατο. ταῦτα δὲ πράξας ἀνέφυγεν εἰς τὸ ὄρος καὶ ἐν τῇ ὕλῃ ἀφανὴς ἐγένετο. Ἐπικάστη δὲ ὀλίγον ὕστερον ἀφικομένων τῶν θεραπόντων ἐξήτει τὸν φονέα τοῦ Λαΐου· ἐπεὶ δὲ οὐχ ηὑρίσκετο, θάψασα αὐτόθι ἐν Λαφυστίῳ Λάιόν τε καὶ τὸν κήρυκα, ἵναπερ καὶ ἀπέθανον, ἐπανῆλθεν εἰς Θήβας. ὁ δὲ Οἰδίπους ἐκ τοῦ Ὀρχομενοῦ εἰς Κόρινθον παρὰ Πόλυβον ἀφίκετο, καὶ τὰς ἡμιόνους τοῦ Λαΐου, ἤλαυνε γὰρ καὶ ταύτας, ἀγαγὼν Πολύβῳ ἔδωκε, καὶ λευκαδί * συνῆν καὶ ὡς

πάλαι πατέρα αὐτὸν ἐνόμιζεν. [Exc. Esc. p. 73—74 Fed., 366—367 Müll.]

10 *) εἴτε Βελλεροφόντης εἴτε τὸ θηρίον ἀποθάνοι. κτείνει δ' οὖν τὴν Χίμαιραν ὁ Βελλεροφόντης καὶ τὴν Λυκίαν ἐλευθεροῖ τῶν φόβων. ἀγασθεὶς δ' αὐτοῦ τὸ γενναῖον Ἀμφιάναξ τήν τε θυγατέρα ἔδωκε καὶ βασιλείαν ἔχειν. μετὰ δὲ ταῦτα Σθενεβοίας ἀπαγξαμένης ἀνάπυστος ὁ ἔρως ἐγένετο καὶ ἡ Βελλεροφόντου δικαιοσύνη· καὶ ὁ Προῖτος αὐτῷ ὑπέχειν δίκας ἕτοιμος ἦν. [Exc. de virt. et vit. p. 441.]

11 Ὅτι ἐπὶ Περσέως ταῦτα ἐγένετο. Τάνταλος ὁ Τμώλου, ἀφ' οὗ τὸ ὄρος ὁ Τμῶλος ἐν Λυδίᾳ καλεῖται, πόλεμον ἔχων πρὸς Ἶλον τὸν Τρωὸς Φρυγῶν βασιλέα, ἡττηθεὶς μάχῃ ἐκλείπει τὴν χώραν· μέλλων δὲ εἰς Πελοπόννησον ἐξοικίζεσθαι, αὐτὸς μὲν ὑπὸ γήρως ἐν Λυδίᾳ ἔμεινε, τὸν υἱὸν δὲ Πέλοπα σὺν στρατῷ ἔπεμψεν εἰς τὴν γῆν. ὁ δὲ ἐπεὶ ἀφίκετο πολλῷ πλούτῳ τὴν ἀδελφὴν Νιόβην ἄγων, ὁρμηθεὶς τὸ τελευταῖον ἐκ Σιπύλου, ταύτην μὲν ἔδωκεν Ἀμφίονι τῷ Θηβαίῳ, αὐτὸς δὲ τῆς Πελοποννήσου ἦλθεν εἰς Πῖσαν, ἔνθα ἐβασίλευεν Οἰνόμαος θυγατέρα ἔχων Ἱπποδάμειαν, ἣν ἄλλοι τε ἐμνῶντο καὶ δὴ καὶ Μυρτίλος ὁ Ὑπεροχίδου, συγγενὴς Οἰνομάου. ταύτης ὁ πατὴρ ἐρῶν οὐδενὶ ἤθελε καταινεῖν πρὸς γάμον· ἡ δ' ἀναινομένη ἔφευγε τὸν πατέρα. ὡς δὲ ἦλθεν εἰς Πῖσαν ὁ Πέλοψ ὑπὸ πολλῷ στρατῷ, πέμψας Μυρτίλον Οἰνόμαος πρὸς αὐτὸν ἐπυνθάνετο ὅτου χάριν ἀφίκοιτο· προσεδόκα δὲ μνηστῆρα αὐτὸν γενέσθαι τῆς θυγατρός. ὁ δὲ ἀπεκρίνατο πρὸς τὸν

*) Excidit folium codicis, de quo p. 13.

Μυρτίλου ὅτι τὴν χώραν οἰκήσων. καὶ ὁ Μυρτίλος εἶπεν ὅτι οὐκ εὐπετὲς εἴη ἄκοντος Οἰνομάου· αὐτὸς μέντοι δύνασθαι ἀντ' ἐκείνου πρᾶξαι, εἰ ὑπόσχοιτο Οἰνομάου κρατήσας δώσειν αὐτῷ πρὸς γάμον τὴν ἐκείνου θυγατέρα. ὁ δ' ὑπέσχετο καὶ ὤμοσε ταῦτα ποιήσειν. μετὰ ταῦτα ἔρχεται πρὸς Οἰνόμαον ὁ Μυρτίλος καὶ τὰ παρὰ Πέλοπος διηγήσατο· ὁ δὲ τὸν στρατὸν ἁλίσας καὶ αὐτὸς ὁπλισθεὶς ἐξῆλθεν εἰς μάχην, ἐκβαλεῖν Πέλοπα χρήζων ἀπὸ τῆς χώρας. ὁ δὲ αὐτῷ ὑπαντιάζει μετὰ τῶν ἑπομένων, καὶ ἀρχομένης τῆς μάχης ὁ Μυρτίλος παραβάτης ὢν ἐπὶ τοῦ ἅρματος πλήξας ξίφει τὸν Οἰνόμαον ἀπὸ τοῦ δίφρου κατέβαλε, καὶ ταῦτα πράξας πρὸς Πέλοπα ἀπεχώρησεν. πεσόντος δὲ Οἰνομάου ὁ στρατὸς διεσκεδάσθη καὶ ἄλλοι ἄλλῃ ἔφευγον. ὁ δὲ Πέλοψ καθ' ἡσυχίαν εἰς Πῖσαν ἐλάσας ἐκείνην κατέσχε καὶ τὴν Οἰνομάου πᾶσαν ἀρχήν. ὕστερον δὲ Ἱπποδάμειαν γῆμαι θέλων, τὸν Μυρτίλον, διά τε τοῦτο καὶ Ἱπποδαμείᾳ χαριζόμενος δεομένῃ τιμωρήσασθαι τὸν φονέα τοῦ πατρός, ἀγαγὼν εἰς πέλαγος ἐπόντωσε, καὶ μετὰ ταῦτα ἔγημε τὴν Ἱπποδάμειαν. [Exc. Esc. p. 74—76 Fed., 367—368 Müll.]

Ὅτι οἱ Ἀργοναῦται πλέοντες ἐπὶ Κόλχους, ἐπεὶ 12
ἐγένοντο ἐν Λήμνῳ ὑπὸ γυναικῶν τότε οἰκουμένῃ, ἧς Ὑψιπύλη ἐβασίλευεν, οἱ δὲ ἄνδρες ἤδη κατέλιπον τὰς γυναῖκας ὑπὸ ζηλοτυπίας, ὅτι ταῖς Θρῄσσαις ἐμίγνυντο καταλιμπάνοντες ταύτας, ἔρχεται εἰς λόγους Ἰάσονι Ὑψιπύλη· καὶ δῶρα δοῦσα ἔπεισεν αὐτῇ συγκοιμηθῆναι καὶ τοὺς ἄλλους πεῖσαι ταῖς λοιπαῖς συνευνᾶσθαι, ὡς ἂν ἐγγεννήσειαν παῖδας ἐξ αὐτῶν. ὁ δὲ ἐπείσθη, καὶ συγγίγνονται ταῖς Λημνίαις οἱ Ἀργοναῦται· καὶ ἡ Ὑψιπύλη παῖδα ἔσχεν

Εὔνεον. καὶ μείναντες ὀλίγον χρόνον πάλιν ᾤχοντο. [Exc. de virt. et vit. p. 440.]

13 *Ὅτι Λάρισα ὑπὸ Πιάσου τοῦ πατρὸς ἐρασθεῖσα καὶ βιασθεῖσα καὶ βαρέως φέρουσα τὸ πάθος, τῶν τινας οἰκετῶν προσποιησαμένη τὸν πατέρα κεκυφότα εἰς πίθον οἴνου ὤσασα ἐπὶ κεφαλῆς ἀπέκτεινεν.* [Exc. p. 76 Fed., 368—369 Müll.]

14 *Ὅτι μετὰ τοὺς γάμους Ἡρακλῆς, εἴτε χολῆς ζεσάσης εἴτε ἄλλῳ τρόπῳ παραφρονήσας καὶ μανείς, κτείνει μὲν δύο τῶν Ἰφικλέους παίδων· τὸν γὰρ πρεσβύτατον Ἰόλαον ὁ πατὴρ ἐξήρπασε· κτείνει δὲ τοὺς Μεγάρας υἱεῖς, ὧν τὸν νεώτατον, ἐπιμαστίδιον ὄντα, ἀποσπάσας βίᾳ τῆς μητρὸς ὀλίγου ἐδέησε Μεγάραν ἀποκτεῖναι ἀντεχομένην τοῦ παιδός, εἰ μὴ καὶ ταύτην ἐρρύσατο ἐπελθὼν Ἰφικλῆς. μετ᾽ οὐ πολὺ δὲ ταῦτα δράσας ἔννους ἐγένετο καὶ ἐσωφρόνησεν, ἐκλιπεῖν τε διενοεῖτο τὰς Θήβας, ἀχθόμενος ἐπὶ τῇ συμφορᾷ. Ἰφικλῆς δὲ καὶ Λικύμνιος παρεκάλουν αὐτὸν ἀπενιαυτίσαντα, ὡς νόμος ἐστίν, ἔξω καὶ καθηράμενον ἐπανελθεῖν εἰς Θήβας καὶ οἰκεῖν. ὡς δ᾽ οὐκ ἔπειθον, καὶ αὐτοὶ συνεξώρμησαν. Μεγάρα δὲ καὶ αὐτὴ συνεξώρμα, τῆς μητρὸς κωλυούσης, τοῦ δὲ πατρὸς συνεπαινοῦντος Κρέοντος Εὐρυσθεὺς δὲ ὁ Σθενέλου τοῦ Περσέως αἰσθόμενος τὰ καταλαβόντα Ἡρακλέα, μετεπέμπετο αὐτὸν εἰς Τίρυνθα· ὁ δὲ εἰς νοῦν βαλόμενος τὸ Ἀμφιτρύωνι χρησθὲν ὅτι χρεὼν εἴη πείθεσθαι Εὐρυσθεῖ, καὶ εἰς αὖθις μέγα ἕξειν κλέος, ἐναγόντων ἅμα Λικυμνίου καὶ Ἀλκμήνης κατὰ τὴν συγγένειαν, ὥρμησεν εἰς Τίρυνθα μετὰ πάντων. καὶ ἐπεὶ ἀφίκοντο, Εὐρυσθεὺς Λικυμνίῳ μὲν καὶ Ἰφικλεῖ εὐθέως φίλος ἦν, Ἡρακλέα δὲ ὑφεωρᾶτο καὶ οὐδαμῶς ᾠκειοῦτο, προσέταττέ τε αὐτῷ τοὺς πόνους*

ἐκτελεῖν, οὕστινας ἄθλους καλοῦμεν. ὁ δὲ ἐπείθετο τῷ μαντείῳ ἑπόμενος. (Ζήτει ἐν τῷ Περὶ ἀνδραγαθημάτων.) [Exc. de virt. et vit. p. 441—442.]

Ὅτι Σκάμανδρος ὁ βασιλεύσας πρῶτος τῶν Τρώων 15
Σάμωνι χρησάμενος συνεργῷ τοὺς ἐν τῇ Τρῳάδι ἐνίκησεν· ἀποθανόντος δὲ Σάμωνος κατὰ τὴν μάχην, τὴν γυναῖκα αὐτοῦ Δάδαν, μητέρα τῶν νεανίσκων, εἰς τὸ Πόλιον ἐξέπεμψε διὰ κήρυκος, ὡς ἂν ἐκεῖ συνοικήσειεν ὅτῳ βούλεται. ὁ δὲ κῆρυξ κατὰ τὴν ὁδὸν βιασάμενος αὐτὴν ᾔσχυνεν. ἡ δὲ τὸ ξίφος ἔχουσα τὸ τοῦ ἀνδρὸς αὐτὴν διεχρήσατο. αἰσθόμενοι δὲ οἱ Κρῆτες τὸν κήρυκα κατέλευσαν, ἔνθα ὁ χῶρος Ἀναιδείας ὠνομάσθη. [Exc. de virt. et vit. p. 442.]

Ἐγὼ δὲ καὶ Νικόλαος λέγει ὅτι Ὀδυσσεὺς λέγεται 16
παρὰ τοῦ ὀδυσσεύω, τὸ μισῶ. οὕτω γὰρ ἐκλήθη διὰ τὸ συμβεβηκός, ὡς καὶ ἐκ τῶν ῥαψῳδιῶν ἔξεστι μαθεῖν. [Schol. Hom. Odyss. A, 21.]

Τόρρηβος, πόλις Λυδίας, ἀπὸ Τορρήβου τοῦ 17
Ἄτυος. τὸ ἐθνικὸν Τορρήβιοι καὶ θηλυκὸν Τορρηβίς. ἐν δὲ τῇ Τορρηβίδι ἐστὶν ὄρος Κάριος καλεόμενον καὶ τὸ ἱερὸν τοῦ Καρίου ἐκεῖ. Κάριος δὲ Διὸς παῖς καὶ Τορρηβίας, ὡς Νικόλαος τετάρτῳ· ὃς πλαζόμενος περί τινα λίμνην, ἥτις ἀπ' αὐτοῦ Τορρηβία ἐκλήθη, φθογγῆς Νυμφῶν ἀκούσας, ἃς καὶ Μούσας Λυδοὶ καλοῦσι, καὶ μουσικὴν ἐδιδάχθη καὶ αὐτὸς Λυδοὺς ἐδίδαξε, καὶ τὰ μέλη διὰ τοῦτο Τορρήβια ἐκαλεῖτο. [Stephanus Byz.]

Λυκοσθένη, πόλις Λυδίας· Ξάνθος πρώτῃ Λυ- 18
διακῶν· ἣν καὶ Λυκοσθένειαν Νικόλαός φησιν. ὁ πολίτης Λυκοσθενεύς, ὡς Βερενικεύς· παρὰ δὲ Λυδοῖς Λυκοσθενίτης, ὡς Δικαιαρχίτης. [Steph. Byz.]

Ὅτι Μόξος ὁ Λυδὸς πολλὰ καὶ καλὰ ἐργασάμενος

καὶ τὸν Μήλην τῆς τυραννίδος καθελὼν τοῖς Λυδοῖς παρεκελεύσατο τὴν δεκάτην ἀποδοῦναι, καθὰ ηὔξατο, τοῖς θεοῖς. οἱ δὲ ἐπείθοντο, καὶ ἀπαριθμοῦντες τὰ κτήματα ἐξῄρουν τὴν δεκάτην ἁπάντων καὶ κατέθυον. ἐκ τούτου μέγιστος αὐχμὸς καταλαμβάνει Λυδίαν, καὶ οἱ ἄνθρωποι ἐπὶ μαντείαν κατέφευγον. *πολλὰς δὲ στρατείας λέγεται πεποιῆσθαι οὗτος ὁ ἀνήρ, καὶ ἦν αὐτοῦ κλέος μέγιστον ἐν Λυδοῖς ἐπί τε ἀνδρείᾳ καὶ δικαιοσύνῃ. ταῦτα δὲ πράξας αὖθις ἐπὶ τὴν Κράβον ἐστάλη, καὶ πολὺν χρόνον αὐτὴν πολιορκήσας εἷλε καὶ ἐπόρθησε, τοὺς δὲ ἀνθρώπους εἰς τὴν πλησίον λίμνην ἀγαγὼν οἷα ἀθέους ἐπόντωσεν. [Exc. de virt. et vit. p. 442—445.]

19 Νήραβος, πόλις Συρίας. Νικόλαος τετάρτῳ. τὸ ἐθνικὸν Νηράβιος, ὡς τοῦ Τόρρηβος Τορρήβιος. [Steph. Byz.]

20 Ἀσκάλων, πόλις Συρίας πρὸς τῇ Ἰουδαίᾳ. Ξάνθος ἐν τετάρτῃ Λυδιακῶν φησὶν ὅτι Τάνταλος καὶ Ἄσκαλος παῖδες Ὑμεναίου· τὸν δὲ Ἄσκαλον ὑπὸ Ἀκιαμοῦ τοῦ Λυδῶν βασιλέως αἱρεθέντα στρατηγὸν εἰς Συρίαν στρατεῦσαι, κἀκεῖ παρθένου ἐρασθεὶς πόλιν κτίσαι, ἣν ἀφ᾽ ἑαυτοῦ οὕτως ὠνόμασε. τὰ αὐτὰ καὶ Νικόλαος ἐν τετάρτῃ ἱστορίᾳ. [Steph. Byz.]

21 Ὅτι Σαλμωνέως θυγάτηρ ἐγένετο, ἥτις ἐρασθεῖσα τοῦ πατρὸς ὑπ᾽ ἀμηχανίας αὐτὴν διειργάσατο, πρὶν γάμου κυρῆσαι. ὁ πατὴρ δὲ αὐτῇ τιμὴν ἔταξεν ἀνὰ πᾶν ἔτος πανήγυριν ἄγεσθαι. [Exc. de virt. et vit. p. 445.]

22 Ὅτι Καμβλίτας βασιλεὺς Λυδίας. τοῦτον λέγεται οὕτω γαστρίμαργον σφόδρα γενέσθαι ὥστε καὶ τὴν αὑτοῦ γυναῖκα ἐπιθύσαντα καταφαγεῖν. αὐτός γε μήν, ἑαυτὸν δόξας ὑπὸ φαρμάκων βεβλάφθαι,

περιβοήτου τοῦ πράγματος γενομένου, ξίφος ἔχων πληθούσης ἀγορᾶς ἐν μέσῳ στὰς εἶπεν, Ὦ Ζεῦ, εἰ μὲν ἀπ᾿ ἐμαυτοῦ δέδρακα ταῦτα ἃ δέδρακα, τίσαιμι ἐν ἐμαυτῷ τὰς δίκας· εἰ δὲ ὑπὸ φαρμάκων διαφθαρείς, οἱ ἐμὲ φαρμάξαντες πάθοιεν. ταῦτα εἶπε, καὶ ὁρώντων πάντων ἑαυτὸν ἀπέσφαξεν. καὶ οἱ μὲν τοῦτον ἐκερτόμουν ὡς γαστρίμαργον, οἱ δὲ ᾤκτειρον ὡς φρενοβλαβῆ ὑπὸ φαρμάκων. ἐδόξαζον δὲ τὸν Ἰάρδανον ταῦτα πεποιηκέναι διὰ τὸ ἔχθος. [Exc. de virt. et vit. p. 445.]

Ἀσκανία, πόλις Τρωική. Νικόλαος τετάρτῃ Ἱστο- 23
ρίᾳ· "Σκαμάνδριος Ἕκτορος καὶ Ἀνδρομάχης ἐκ τῆς Ἴδης καὶ τοῦ Δασκυλείου καὶ τῆς Ἀσκανίας καλουμένης, ἣν ἔκτισεν ὁ Αἰνείου Ἀσκάνιος". [Steph. Byz.]

Νικόλαος δὲ ὁ Δαμασκηνὸς ἐν τῇ τετάρτῃ τῶν 24
Ἱστοριῶν λέγει οὕτως· "Ἀβράμης ἐβασίλευσε Δαμασκοῦ, ἔπηλυς σὺν στρατῷ ἀφιγμένος ἐκ τῆς γῆς τῆς ὑπὲρ Βαβυλῶνος Χαλδαίων λεγομένης. μετ᾿ οὐ πολὺν δὲ χρόνον ἐξαναστὰς καὶ ἀπὸ ταύτης τῆς χώρας σὺν τῷ σφετέρῳ λαῷ εἰς τὴν τότε μὲν Χαναναίαν λεγομένην, νῦν δὲ Ἰουδαίαν, μετῴκησε, καὶ οἱ ἀπ᾿ ἐκείνου πληθύναντες, περὶ ὧν ἐν ἑτέρῳ λόγῳ διέξειμι τὰ ἱστορούμενα. τοῦ δὲ Ἀβράμου ἔτι καὶ νῦν ἐν τῇ Δαμασκηνῇ τὸ ὄνομα δοξάζεται, καὶ κώμη ἀπ᾿ αὐτοῦ δείκνυται Ἀβράμου οἴκησις λεγομένη." [Iosephus Ant. Iud. 1, 7, 2.]

Μέμνηται δὲ τούτου τοῦ βασιλέως (Ἀδάδου) καὶ 25
Νικόλαος ἐν τῇ τετάρτῃ τῶν Ἱστοριῶν, λέγων οὕτως· "Μετὰ δὲ ταῦτα πολλῷ χρόνῳ ὕστερον τῶν ἐγχωρίων τις, Ἄδαδος ὄνομα, πλεῖον ἰσχύσας Δαμασκοῦ τε καὶ τῆς ἄλλης Συρίας ἔξω Φοινίκης ἐβασίλευσε. πόλεμον δὲ ἐξενέγκας πρὸς Δαυίδην βασιλέα τῆς Ἰου-

θαίας καὶ πολλαῖς μάχαις κριθείς, ὑστάτῃ τῇ παρὰ τὸν Εὐφράτην, ἐν ᾗ ἡττᾶτο, ἄριστος ἔδοξεν εἶναι βασιλέων ῥώμῃ καὶ ἀνδρείᾳ." *πρὸς τούτοις δὲ καὶ περὶ τῶν ἀπογόνων αὐτοῦ φησιν ὡς μετὰ τὴν ἐκείνου τελευτὴν ἐξεδέχοντο παρ' ἀλλήλων καὶ τὴν βασιλείαν καὶ τὸ ὄνομα, λέγων οὕτως· "Τελευτήσαντος δ' ἐκείνου οἱ ἀπόγονοι ἐπὶ δέκα γενεὰς ἐβασίλευον, ἑκάστου παρὰ τοῦ πατρὸς ἅμα τῇ ἀρχῇ καὶ τοὔνομα τοῦτο ἐκδεχομένου, ὥσπερ οἱ Πτολεμαῖοι ἐν Αἰγύπτῳ. μέγιστον δὲ πάντων δυνηθεὶς ὁ τρίτος, ἀναμαχέσασθαι βουλόμενος τὴν τοῦ προπάτορος ἧτταν, στρατεύσας ἐπὶ Ἰουδαίους ἐπόρθησε τὴν νῦν Σαμαρεῖτιν καλουμένην."* *οὐ διήμαρτε δὲ τῆς ἀληθείας· οὗτος γάρ ἐστιν Ἄδαδος ὁ στρατευσάμενος ἐπὶ Σαμάρειαν, Ἀχάβου βασιλεύοντος τῶν Ἰσραηλιτῶν.* [Iosephus Ant. Iud. 7, 5, 2.]

26 *Ἡ δὲ Πελοπόννησος τρεῖς ἔχει ἐπωνυμίας, ὡς Νικόλαος ὁ Δαμασκηνὸς γράφει ἐν τετάρτῃ Ἱστορίᾳ· "Μέγιστον οὖν τῶν τότε ἴσχυον οἱ Πελοπίδαι, καὶ ἡ Πελοπόννησος εἰς αὐτοὺς ἀφεώρα, καὶ αὐτὸ τοὔνομα ἔχουσα ἀπ' ἐκείνων, τρεῖς ἤδη πρότερον ἀλλάξασα τὰς ἐπωνυμίας. ἐπὶ μὲν γὰρ Ἀπίου (Ἄπιδος* vel *Ἄπεως) τοῦ Φορωνέως ἐκαλεῖτο Ἀπίη, ἐπὶ δὲ Πελασγοῦ τοῦ αὐτόχθονος Πελασγία, ἐπὶ δὲ Ἄργου καὶ αὐτὴ ὁμωνύμως ἐκαλεῖτο Ἄργος, ἐπὶ δὲ Πέλοπος τοῦ τὸν Οἰνόμαον νικήσαντος Πελοπόννησος ἔσχε τοῦτο τὸ κύριον ὄνομα."* [Constantin. De them. 2, 6, p. 52, 11.]

27 *Ὅτι ἐδόκει φρονήσει τὸ τῶν Ἀμυθαονιδῶν γένος τὸ παλαιὸν ἐν τοῖς Ἕλλησι πρωτεύειν· ὥσπερ καὶ Ἡσίοδός φησιν ἐν τούτοις·*

Ἀλκὴν μὲν γὰρ ἔδωκεν Ὀλύμπιος Αἰακίδῃσι,
νοῦν δ' Ἀμυθαονίδαις, πλοῦτον δ' ἔπορ' Ἀτρείδῃσι.
[Exc. de virt. et vit. p. 445.]

Ὅτι Αἴγισθος Ἀγαμέμνονα κτείνας τὸν βασιλέα 28
συμβουλῇ τῆς γυναικὸς Κλυταιμνήστρας καὶ τὸν Ὀρέστην τὸν τοῦ Ἀγαμέμνονος υἱὸν ἔμελλεν ἀνελεῖν. τοῦτον δὲ ἐρρύσατο Ταλθύβιος ἐξαρπάσας καὶ ἐκθέμενος εἰς τὴν Φωκίδα παρὰ Στρόφιον. δεκάτῳ δ' ἔτει ἐκ Φωκέων ἐλθὼν μετὰ Πυλάδου τοῦ Στροφίου, Αἴγισθον καὶ τὴν μητέρα κτείνας τῶν Μυκηνῶν ἐβασίλευσεν. ἐλαυνόμενος δὲ ὑπὸ τῶν Αἰγίσθου φίλων, κατὰ δὲ τὸν πλεῖστον λόγον ὑπὸ Ἐρινύων, ὡς ἐναγής, θεοῦ κελεύσαντος εἰς Ἀθήνας ἀφίκετο, καὶ ἐν Ἀρείῳ πάγῳ κριθεὶς ἀπέφυγεν. αὕτη ἡ δίκη φόνου τετάρτη ἐν Ἀθήναις ἐκρίθη. [Exc. Esc. p. 76 Fed., 374—375 Müll.]

Καρνία, πόλις Ἰωνίας. Νικόλαος δ'. [Steph. Byz.] 29

Ὅτι τὸν Ἀμυκλαῖον νομὸν κατὰ τὰς ὁμολογίας 30
τῷ προδότῃ Φιλονόμῳ ἐξελόντες οἱ Ἡρακλεῖδαι ἀφῆκαν. ὁ δὲ αἰσχυνόμενος ἐπὶ τῇ προδοσίᾳ οὐδαμοῦ ἐφαίνετο. οἱ δὲ Ἡρακλεῖδαι ἀναδασάμενοι καὶ τοῦτον ἐνέμοντο. ὕστερόν γε μὴν ἀφικομένῳ ἐκ Λήμνου σὺν λαῷ, ὅντινα ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ (συνεπήγετο), πάλιν ἀπέδοσαν. καὶ ὃς τοῖς ἥκουσι διελὼν τὴν γῆν ᾤκει ἅμα αὐτοῖς βασιλεύων Ἀμυκλῶν. [Exc. de virt. et vit. p. 445.]

Θόρναξ, ὄρος τῆς Λακωνικῆς. Νικόλαος τετάρτη. 31
[Steph. Byz.]

Ὅτι Τήμενος ὑπὸ τῶν ἑαυτοῦ παίδων ἀπέθανε δι' 32
αἰτίαν τοιάνδε. ἦσαν αὐτῷ τέτταρες υἱεῖς, Κίσσος καὶ Φάλκης καὶ Κερύνης καὶ Ἀγαῖος, θυγάτηρ δὲ τοὔνομα Ὑρνηθώ, ἥντινα ἔδωκε γυναῖκα Δηιφόντῃ τῷ Ἀντι-

μάχου τοῦ Θρασυάνορος τοῦ Κτησίππου τοῦ Ἡρακλέους. στέργων οὖν ταύτην καὶ τὸν γαμβρὸν πολὺ μᾶλλον ἢ τοὺς υἱεῖς καὶ εἰς ἅπαντα χρώμενος διετέλει. ἐπὶ τούτῳ οἱ νεανίσκοι βαρέως φέροντες ἐξηῦρον κακούργους ἀνθρώπους, οὓς ἐπὶ μισθῷ ἔπεισαν τὸν Τήμενον ἀνελεῖν. Ἀγαῖος δὲ ὁ νεώτατος οὐ μετεῖχε τοῦ βουλεύματος. καὶ οἱ μὲν τὸν ἄνθρωπον λουόμενον παρὰ τὸν ποταμὸν ἐν ἐρημίᾳ ἐπιπεσόντες καὶ κατατρώσαντες ἐκποδὼν ἐγένοντο, ἔτι ζῶντα ὑπὸ θορύβου λιπόντες. ὁ δὲ κομισθεὶς εἰς τὸ στράτευμα ἀγνοῶν τοὺς φονέας θνήσκει, τὴν ἀρχὴν Ὑρνηθοῖ καὶ Δηιφόντῃ καταλιπὼν καὶ τὰ λόγια φράσας ἅπερ ᾔδει τοῦ πολέμου πέρι. μετὰ ταῦτα δὲ ζητουμένου τοῦ φόνου τὸ σύμπαν ἐγνώσθη ὅτι ὑπὸ τῶν περὶ Κίσσον ἐβουλεύθη, καὶ οἱ μὲν διὰ τὴν Τημένου ἐπισκίασιν ἐξεώσθησαν ἐκ τῆς ἀρχῆς, Δηιφόντης δὲ καὶ Ὑρνηθὼ ἐβασίλευον διά τε ταῦτα καὶ ὅτι τὰ λόγια ᾔδεσαν, ἐν οἷς τῆς καθόδου ἡ ἐλπὶς ἦν. οἵ γε μὴν παῖδες ἔξαρνοι ἦσαν τὸν φόνον κοὐκ ἄρα ἔμελλον τῆς ἀρχῆς πέρι ἀτρεμήσειν. τοὐντεῦθεν Δηιφόντης πρῶτον μὲν ὑποπέμψας πρέσβεις κρύφα Τροιζηνίους καὶ Ἀσιναίους καὶ Ἑρμιονεῖς καὶ πάντας ὅσοι τῇδε Δρύοπες ᾤκουν ἀφίστησι τῶν Ἀργείων ἐθελοντὰς καὶ αὐτούς, μὴ τῷ χρόνῳ ὁμοῦ κείνοις ὑπὸ Δωριέων ἐξανασταῖεν. [Exc. Esc. p. 76—78 Fed., 376 Müll.]

33 Ὅτι Κρεσφόντης πάντων ἐβασίλευε τῶν Σπαρτιατῶν· ὃς ἐπειδὴ διένειμε τὴν γῆν εἰς πέντε, μετεμέλησε δ' αὐτῷ ἐξ ἴσου διελόντι, εἰς ὃ συνετέλουν οἱ λοιποί. ταῦτα δὲ μεταβουλευσάμενος κινεῖν τὰ πράγματα ἐπειρᾶτο, ἐκ μὲν τοῦ εὐπρεποῦς λέγων ἅπερ καὶ οἱ ἐν Λακεδαίμονι, ὅτι οὐ δίκαιον εἴη τῶν ἴσων μετέχειν τοὺς ἐγχωρίους τοῖς Δωριεῦσι. συν-

ἔβη δ' αὐτῷ πρός τ' ἐκείνους διαβεβλῆσθαι καὶ πρὸς τοὺς Δωριέας, οἳ καὶ τότε αὐτοῦ ἤχθοντο τῇ βίᾳ, οὐκ ἀνεχόμενοι τὸ ἰσόμοιρον, καὶ πάλαι δ' αὐτῷ προσεκεκρούκεσαν ἄνευ σφῶν συμβαίνοντι τοῖς ἐγχωρίοις καὶ μετὰ ταῦτα τῶν ἴσων αὐτοῖς μεταδιδόντι· πάντων δὲ μάλιστα ὑφεωρῶντο τὴν μετακόσμησιν τῶν τότε καθεστώτων, πρὸ ἧς ἄμεινον ἡγήσαντο εἶναι ἀνελόντες αὐτὸν κατὰ χώραν ἀτρεμεῖν. καὶ ἐποίησαν ταῦτα, καὶ Κρεσφόντην μὲν δι' ἐπιβουλῆς ἀπέκτειναν, ταχὺ δὲ καὶ τοὺς υἱεῖς ἤθελον, οὓς ποτε ὁ μητροπάτωρ ἅμα τῇ θυγατρὶ κυούσῃ θύειν μέλλων Διὶ Ἀκραίῳ εἰς Τραπεζοῦντα μετεπέμψατο· καὶ παρ' αὐτῷ ἔτεκεν ἡ θυγάτηρ Αἴπυτον τὸν τρίτον. ἐτεχνάσαντο οὖν οἱ φονεῖς ἀφικόμενοι παρὰ Κύψελον ὡς ἂν παραλαβόντες τοὺς Κρεσφόντου παῖδας ἀνέλοιεν, λέγοντες ὅτι ὁ πατὴρ αὐτοὺς εἰς Μεσσήνην μέτεισιν ἱερὰ θύειν μέλλων εὐκταῖα. ὁ δὲ Κύψελος τοὺς μὲν δύο ἐξέπεμψε σὺν αὐτοῖς ἐξαπατηθείς, οὓς ἐκεῖνοι κατὰ τὴν ὁδὸν ἀπέκτειναν, τὸν δὲ τρίτον ἅτε νεογενῆ οὐκ ἔδωκε, φήσας ἐν σπαργάνοις εἶναι· καὶ οὗτος μὲν παρὰ τῷ μητροπάτορι ἐτρέφετο.

Ὅτι Αἴπυτος ὁ υἱὸς Κρεσφόντου ἐπεβουλεύθη 34 παρὰ τῶν ἐμπρησάντων τὴν αὐτοῦ οἰκίαν, καὶ τῆς ἐπιβουλῆς ἀνώτερος γέγονεν. αὖθις δὲ πάλιν ἐπεβουλεύετο ὑπὸ τοῦ δήμου καὶ αὐτὸς καὶ οἱ ἀπόγονοι, καὶ οὐ διέλιπον ἀλλήλοις διαστασιάζοντες, ἄχρι ὅτου ὑπὸ Λακεδαιμονίων ἠνδραποδίσθησαν. [Exc. Esc. p. 78—80 Fed., 376—378 Müll.]

Μεσόλα, πόλις Μεσσήνης, μία τῶν πέντε. Νικόλαος τετάρτῳ. 35

(Ὑάμεια, πόλις Μεσσήνης, τῶν πέντε μία.)

Νηρίς, πόλις Μεσσήνης. Νικόλαος τετάρτῳ. [Steph. Byz.]

36 Ὅτι Φείδων κατὰ φιλίαν στασιάζουσι Κορινθίοις βοηθῶν ἐπιθέσεως ἐκ τῶν ἑταίρων γενομένης ἀπέθανεν.

37 Ὅτι Κορίνθῳ, ἐξ οὗ Κόρινθος ἡ πόλις, ὑπὸ τῶν ἐγχωρίων ἐξ ἐπιβουλῆς σφαγέντι Σίσυφος ἀμύνων τούς τε αὐτόχειρας ἐτιμωρήσατο καὶ ἀντὶ τούτου βασιλεὺς γίγνεται. [Exc. Esc. p. 80 Fed., 378 Müll.]

38 Ἀρκαδία· ἐκαλεῖτο δὲ Πελασγία, ὡς Νικόλαος πέμπτῃ. [Steph. Byz.]

39 Ὅτι Λυκάων ὁ Πελασγοῦ υἱός, βασιλεὺς Ἀρκάδων, ἐφύλαττε τὰ τοῦ πατρὸς εἰσηγήματα ἐν δικαιοσύνῃ. ἀποστῆσαι δὲ βουλόμενος καὶ αὐτὸς τῆς ἀδικίας τοὺς ἀρχομένους, ἔφη τὸν Δία ἑκάστοτε φοιτᾶν παρ' αὐτὸν ἀνδρὶ ξένῳ ὁμοιούμενον εἰς ἔποψιν τῶν δικαίων τε καὶ ἀδίκων. καί ποθ', ὡς αὐτὸς ἔφη, μέλλων ὑποδέχεσθαι τὸν θεὸν θυσίαν ἐπιτελεῖν. τῶν δὲ υἱῶν αὐτοῦ πεντήκοντα, ὥς φασιν, ὄντων ἐκ πολλῶν γυναικῶν, βουλόμενοι γνῶναι οἱ τῇ θυσίᾳ παρόντες εἰ τῷ ὄντι θεὸν μέλλουσι ξενοδοκεῖν, θύσαντές τινα παῖδα ἐγκατέμιξαν τοῖς τοῦ ἱερείου κρέασιν, ὡς οὐ λήσοντες, εἴπερ ὄντως θεὸς ἔπεισιν. ὑπὸ δὲ τοῦ δαιμονίου χειμώνων μεγάλων καὶ κεραυνῶν ῥαγέντων, φασὶ τοὺς αὐτόχειρας ἅπαντας τοῦ παιδὸς ἀπολέσθαι. [Exc. de virt. p. 445—446.]

40 Βωταχίδαι τόπος Ἀρκαδίας, ἀπὸ Βωτάχου. Νικόλαος ε'· "Ἰοκρίτου δὲ τοῦ Λυκούργου Βώταχος, ἀφ' οὗ ὁ τόπος Βωταχίδαι ἐν τῇ Τεγέᾳ ἐκλήθη."

Παρώρεια, πόλις Ἀρκαδίας. λέγεται δὲ καὶ

Παρωραία. οἱ πολῖται Παρωρεῖς. Νικόλαος δὲ Παρωρεάτας φησίν. [Steph. Byz.]

Μεσημβρία, πόλις Ποντική. Νικόλαος πέμπτῳ. 41
ἐκλήθη ἀπὸ Μέλσου. βρίαν γὰρ τὴν πόλιν φασὶ Θρᾷκες. ὡς οὖν Σηλυμβρία ἡ τοῦ Σήλυος πόλις, Πολτυμβρία ἡ Πόλτυος, οὕτω Μελσημβρία ἡ Μέλσου πόλις, καὶ διὰ τὸ εὐφωνότερον λέγεται Μεσημβρία. [Steph. Byz.]

Χρυσόπολις ἐπίνειον ἀρχαῖόν ἐστιν, ὃ κεῖται μὲν 42
ἐν ἀρχῇ τοῦ Βοσπόρου, μέμνηνται δὲ αὐτοῦ πολλοὶ τῶν παλαιῶν συγγραφέων καὶ Στράβων τε καὶ ὁ Δαμασκηνὸς Νικόλαος καὶ ὁ ἐν λόγοις δὲ θαυμαστὸς Ξενοφῶν ἔν τε τῇ ἕκτῃ τῆς Κύρου ἀναβάσεως καὶ ἐν τῇ πρώτῃ τῶν Ἑλληνικῶν. [Socrates Hist. eccles. VII, 25.]

Σίφνος, περὶ τὴν Κρήτην νῆσος ἀπὸ Σίφνου 43
τοῦ Σουνίου, ὡς Νικόλαος πέμπτῳ. ἐκαλεῖτο δὲ πρότερον Μερόπη.

Σκῦρος νῆσος, περὶ ἧς Νικόλαος ἐν πέμπτῳ· 44
„Σκῦρον δὲ τὸ μὲν παλαιὸν ᾤκουν Πελασγοί τε καὶ Κᾶρες."

Ἀμοργός, νῆσος μία τῶν Κυκλάδων, ἔχουσα πό- 45
λεις τρεῖς, Ἀρκεσίνην, Μινῴαν, Αἰγιάλην. ἐκαλεῖτο δὲ καὶ Παγκάλη καὶ Ψυχία … Νικόλαος δ' Ἀμοργίτην αὐτὸν [civem] *καλεῖ.* [Steph. Byz.]

Ἀγαμήδη, τόπος περὶ Πύρραν τῆς Λέσβου ἀπὸ 46
Ἀγαμήδης τῆς Μάκαρος τῆς καὶ Πύρρας ἐπίκλην. ἔστι καὶ κρήνη Ἀγαμήδη, ὡς Νικόλαος ε΄.

Ὑπερδέξιον, χωρίον Λέσβου, ἐν ᾧ Ζεὺς Ὑπερ- 47
δέξιος καὶ Ὑπερδεξία Ἀθηνᾶ. Ὑπερδέξιος τὸ ἐθνικόν. Νικόλαος δὲ πληθυντικῶς Ὑπερδεξίους φησίν. [Steph. Byz.]

Ὅτι Σαδυάττεω τοῦ Λυδῶν βασιλέως παῖδες δί- 48

δυμοι, Κάδυς καὶ Ἄρδυς· τούτοις κατέλιπε τὴν ἀρχήν, καὶ ὁμοῦ ἐβασίλευον ἀμφότεροι στέργοντες ἀλλήλους καὶ αὐτοὶ ὑπὸ τοῦ πλήθους στεργόμενοι. καί πως ἡ τοῦ Κάδυος γυνή, Δαμαννὼ λεγομένη, ὑπό τινος ἀνεψιοῦ τοῦ ἀνδρός, Σπέρμου ὄνομα, μοιχευθεῖσα, σὺν ἐκείνῳ θάνατον ἐβουλεύετο τῷ ἀνδρί· δοῦσα δὲ αὐτῷ φάρμακον ἔκτεινε μὲν οὔ, εἰς νόσον δ' ἐνέβαλεν. θεραπευθεὶς δ' ὑπὸ ἰατροῦ ὁ Κάδυς ῥᾷον ἔσχεν. ἐκ τούτου τὸν ἰατρὸν ἀνελεῖν βουλομένη ἡ γυνὴ φάρμακα μὲν αὐτῷ οὐκ ἔκρινε διδόναι διὰ τὴν τέχνην, βόθρον δ' ἐν τῇ οἰκίᾳ ὀρύξασα καὶ ἐπιπολῆς αὐτὸν ἄδηλον ποιήσασα, κλίνην καθύπερθεν ἔστρωσεν καὶ ἄλλας ἐφεξῆς. καλέσασα δ' αὐτὸν ἐπὶ δεῖπνον, ἐλθόντα κατέκλινεν ἵναπερ ὁ βόθρος ἦν. οἰχομένου δὲ κάτω, ἐπαμησαμένη τὴν γῆν ἄδηλον ἐποίησεν.

Μετ' οὐ πολὺ δὲ καὶ ὁ Κάδυς ἀπέθανεν· αὐτὴ δὲ σὺν τῷ μοιχῷ πρῶτον μὲν ἐξελαύνει τὸν ἐκείνου ἀδελφὸν Ἄρδυν, πολλοὺς Λυδῶν χρήμασι θεραπεύσασα, ἔπειτα συνῴκησεν αὐτῷ καὶ βασιλέα ἀπέδειξεν. ὁ δὲ Ἄρδυς ἐξαπιναίως φυγὼν ὁμοῦ γυναικί τε καὶ θυγατρί, οὕτω σφόδρα ἐπενήτευσεν ὥστε ἐν Κύμῃ ἁμαξοπηγῶν διέζη, ὕστερον δὲ πανδοκεύων. φασὶ δ' αὐτὸν τοὺς ἐγκαταγομένους Λυδῶν φιλανθρωπευόμενον φίλους πάντας ἀποπέμπεσθαι. τῷ δὲ μοιχῷ Σπέρμῃ οὐκ ἤρκεσε ταῦτα δράσαντι, ἀλλὰ καὶ εἰς Κύμην πέμψας τινὰ λῃστήν, Κέρσην ὄνομα, κτεῖναι τὸν ἄνδρα παρεκελεύετο. ὁ δὲ ὑπέστη τὸ ἔργον ἐπὶ τῷ γῆμαι τοῦ Σπέρμου τὴν θυγατέρα καὶ χιλίους στατῆρας λαβεῖν δωρεάν.

Ἀφικόμενος δ' ὁ Κέρσης εἰς Κύμην κατήγετο ἐν

τῷ Ἄρδυος πανδοκείῳ· ὁ δὲ αὐτὸν ὁμοίως ἐθεράπευε, καὶ τοῖς τε ἄλλοις ἠρέσκετο Κέρσης καὶ δὴ καὶ τὴν θυγατέρα αὐτοῦ διακονοῦσαν ἠγάσθη· καί πως αὐτὸν εἰς γάμον αἰτεῖται τὴν κόρην ἐπὶ τῷ τὰ μέγιστα ὑπ' αὐτοῦ εὖ πείσεσθαι. ὁ δ' ἄλλως οὐκ ἂν διδοὺς διὰ τὴν φαυλότητα τἀνθρώπου, ἐπ' εὐγενείᾳ μέγα φρονῶν, ὅμως διὰ τὴν ὑπόσχεσιν δώσειν ὡμολόγησεν. ὡς δὲ ταῦτα συνέθεντο, πᾶσαν αὐτῷ κατεῖπεν ὁ Κέρσης τὴν ἀλήθειαν ὅτι ἥκοι ἀναπεισθεὶς ὑπὸ Σπέρμου ἐπὶ τῷ γάμῳ τῆς ἐκείνου θυγατρὸς ἀνελεῖν τὸν Ἄρδυν, ἕτοιμος δὲ νῦν εἶναι τὴν Σπέρμου κεφαλὴν κομίσας ἐπὶ τούτοις τὴν Ἄρδυος γῆμαι θυγατέρα. ὡς δὲ συνεπῄνεσεν, ἐκέλευσεν αὐτὸν ἀποκείρασθαι τέως κομῶντα, κατασκευάσας δὲ ξυλίνην κεφαλὴν ἐοικυῖαν τῇ Ἄρδυος, καὶ τὰς κόμας αὐτῇ προσπλάσας, ἵετο εἰς Λυδίαν. ἀφικόμενος δὲ τῷ Σπέρμῃ πυνθανομένῳ περὶ ὧν αὐτὸν ἔπεμψεν ἔφη, Πάντα διαπέπρακται, καταθεὶς πρότερον τὴν κεφαλὴν ἐν οἰκίσκῳ. κελεύσαντος δὲ τοῦ Σπέρμου δεῖξαι τὴν κεφαλὴν ἣν ἐκόμισεν, ἔφη ἄτοπον εἶναι πολλῶν ὁρώντων δεικνύναι, ἀλλὰ παρελθόντα αὐτὸν εἰς τὸ οἴκημα ἐκέλευσεν ὁρᾶν μόνον μετὰ μόνου. καὶ ὃς ἐπείσθη, καὶ δείξαντος αὐτῷ χαμαὶ κειμένην, ἐπέκυπτεν ὡς καταμάθοι· ἐν τῷδε ξίφει αὐτὸν παίσας κατέβαλε, καὶ τὴν κεφαλὴν ἀποτεμὼν διεξέπεσε διὰ τῆς θύρας καὶ ἔξω πρὸς τὸν Ἄρδυν ἠπείγετο. οἱ δὲ πρὸς ταῖς θύραις Λυδοὶ τέως μὲν εἰσελθόντος τοῦ Σπέρμου προσέμενον· ὡς δ' οὐκ ἐξῄει πολλοῦ χρόνου διαγενομένου, εἰσελθόντες ὁρῶσι χαμαὶ νεκρὸν κείμενον, κεφαλὴν οὐκ ἔχοντα. γνόντες δὴ τὸ γεγονὸς ἡσυχίαν ἦγον, ἐπιχαίροντες αὐτῷ· ἦν γὰρ δὴ κάκιστος καὶ ἄλλως βασιλεύοντος αὐτοῦ ηὔχμησεν ἡ γῆ.

Σπέρμης μὲν οὕτως ἐτελεύτησε βασιλεύσας ἔτη δύο· ἐν δὲ τοῖς βασιλείοις οὐκ ἀναγράφεται.

Κέρσης δὲ φεύγων εἴς τι καπηλεῖον ἀφίκετο· ἐγκαταχθεὶς δέ, ἅτε περιχαρὴς τῷ ἔργῳ, εἰς μέθην ὥρμησε, καὶ τῷ καπήλῳ πάντα διηγήσατο καὶ τὴν κεφαλὴν ἔδειξε τὴν Σπέρμου. ὁ δὲ συμφρονήσας ὅτι ἐκ τούτων Ἄρδυς βασιλεύσει, τὸν Κέρσην μεθύσας πολλῷ οἴνῳ ἀπέκτεινε, καὶ τὴν κεφαλὴν αὐτοῦ τε καὶ τοῦ Σπέρμου λαβὼν εἰς Κύμην ἦλθε παρὰ τὸν Ἄρδυν. ἐν φροντίδι δ' αὐτῷ ὄντι περὶ τούτων ἔλεξεν ὅτι ἀγαθὰ μέγιστα ἥκοι κομίζων. ὁ δ' εἶπε, Σπέρμον ἄρα τεθνηκέναι καὶ Κέρσην οὐκ ἔσεσθαί μοι γαμβρόν; ἐμοὶ γὰρ ταῦτα μέγιστά ἐστιν. ἀποκρίνεται Θυεσσός, τοῦτο γὰρ ἦν ὄνομα τῷ καπήλῳ, Ἀλλ' αὐτὰ δὴ ταῦτα φέρω· καὶ ἅμα δείκνυσιν ἀμφοτέρας τὰς κεφαλάς. ὁ δὲ ἡσθεὶς ἐκέλευεν αἰτεῖν αὐτὸν ὅ,τι θέλοι ἀντὶ τούτων. Θυεσσὸς δ' εἶπεν, Οὔτι σε οὔτε τὴν θυγατέρα οὔτε χρυσὸν αἰτῶ, ἀλλά μοι τὸ καπηλεῖον τοὐμὸν ἀτελὲς ἔχειν δός, ὅταν βασιλεὺς γένῃ. καὶ ὃς ἔδωκεν αὐτῷ. καὶ Θυεσσὸς ἀνὰ χρόνον ἐκ τοῦ καπηλεύειν ἐπλούτησε, καὶ ἀπὸ τούτου ἀγορὰν πλησίον αὐτοῦ καὶ Ἑρμαῖον εἵσατο, Θυεσσοῦ λεγόμενον. Λυδοὶ δὲ Ἄρδυν ἐπὶ βασιλείαν καλοῦσιν ἀγγέλους τε ἄλλους πέμψαντος καὶ τῶν Ἡρακλειδῶν τινας. κατελθὼν δὲ ὁ Ἄρδυς ἐβασίλευσε μετὰ Ἀκίμιον πάντων ἄριστα, καὶ σφόδρα γίγνεται Λυδοῖς καταθύμιος καὶ φιλοδίκαιος. συνηρίθμησε δὲ καὶ τὸν Λύδιον στρατὸν ὁ Ἄρδυς· ἦν δ' ἱππότης ὁ πλεῖστος, καὶ ηὗρεν, ὥς φασι, τρεῖς μυριάδας ἱππέων.

Ἄρδυϊ δὲ γηράσκοντι ἤδη προσφιλέστατος ἦν Δάσκυλος Γύγεω γένος Μερμνάδης. οὗτος ἅπασαν

ὡς εἰπεῖν τὴν Λυδῶν ἀρχὴν διὰ χειρὸς εἶχε. δείσας οὖν Σαδυάττης ὁ Ἄρδυος μὴ τοῦ πατρὸς τελευτήσαντος ἐκεῖνος πάνθ᾽ ὑφ᾽ ἑαυτῷ ποιήσαιτο, ἀποκτείνει κρύφα τὸν Δάσκυλον. ἡ δ᾽ ἐκείνου γυνὴ κυοῦσα ἔφυγεν εἰς Φρυγίαν, ὅθεν καὶ ἦν, δείσασα τοὺς φονέας τοῦ ἀνδρός. ὡς δὲ ταῦτα ᾔσθετο ὁ Ἄρδυς, σφόδρα ἠχθέσθη, καὶ Λυδοὺς ἐκάλεσεν εἰς ἐκκλησίαν· καὶ αὐτὸς εἰς τούτους κομισθείς, δεμνιοπετὴς γὰρ ἦν ὑπὸ γήρως, κατηγόρει τῶν αἰτίων, οὐδὲν εἰδὼς οἵτινες ἦσαν, καὶ Λυδοὺς παρεκάλει ζητεῖν τὸν Δασκύλου φόνον, ἐπηρᾶτό τε μυρία τοῖς φονεῦσι καὶ τέλος ἀνεῖπεν ἐξεῖναι τῷ χρῄζοντι κτείνειν αὐτούς, εἰ ἀνεύροι. Ἄρδυς μὲν οὖν βασιλεύσας ἑβδομήκοντα ἔτη θνήσκει.

Ἐπὶ Μήλεω δὲ βασιλεύσαντος Λυδῶν σφόδρα ἐλίμηνε Λυδία, καὶ οἱ ἄνθρωποι ἐπὶ μαντείας ἐτράποντο. τοῖς δ᾽ ἐσήμαινε τὸ δαιμόνιον δίκας πράττεσθαι τοῦ Δασκύλου φόνου παρὰ τῶν βασιλέων. ταῦτα ἀκούσας παρὰ τῶν χρησμολόγων, καὶ ὅτι δεῖ φεύγοντα ἐπὶ τρία ἔτη καθήρασθαι τὸν φόνον, ἔφυγεν ἐθελουσίως εἰς Βαβυλῶνα. ἔπεμψε δὲ καὶ εἰς Φρυγίαν παρὰ τὸν Δασκύλου παῖδα, Δάσκυλον καὶ αὐτὸν ὄνομα, ὅντινα ἡ μήτηρ ἐν γαστρὶ ἔχουσα ἔφυγε, κελεύων εἰς Σάρδεις ἀφικνεῖσθαι καὶ δίκας δέχεσθαι τοῦ πατρῴου φόνου παρ᾽ αὐτῶν, οὕτω γὰρ ἐθέσπιζον οἱ μάντεις. ὁ δὲ οὐκ ἐπείσθη, λέγων μὴ ἑορακέναι τὸν πατέρα· κυεῖσθαι γὰρ ἔτι ὅτε ἀνῄρητο· οὔκουν προσήκειν αὐτῷ ταῦτα πολυπραγμονεῖν. Μήλης δὲ φεύγων τὴν ἀρχὴν ἐπίστευσε Σαδυάττῃ τῷ Κάδυος, γένος ὄντι τὸ ἀνέκαθεν ἀπὸ Τύλωνος, ὅστις φεύγοντα ἐπετρόπευσε καὶ κατιόντα

ἐκ Βαβυλῶνος ἐδέξατο μετὰ τρία ἔτη καὶ τὴν βασιλείαν οἱ ἀπέδωκε πιστῶς.

Βασιλεύοντος δὲ Μύρσου Δάσκυλος ὁ Δασκύλου τοῦ σφαγέντος ὑπὸ Σαδυάττεω, μὴ τὴν ἐπιβουλὴν εἰς ἑαυτὸν ἐπισπάσηται ὑπὸ τῶν Ἡρακλειδῶν φοβηθείς, ἐκ Φρυγίας φεύγων ᾤχετο εἰς Σύρους τοὺς ἐν τῷ Πόντῳ ὑπὲρ Σινώπης οἰκοῦντας· ἐκεῖ δὲ καταμείνας γυναῖκα τῶν ἐγχωρίων ἔγημε Σύραν, ἐξ ἧς αὐτῷ γίγνεται Γύγης.

Ὅτι Σαδυάττης ὁ ἔσχατος βασιλεὺς Λυδῶν κατελύθη τρόπῳ τοιούτῳ. ἦν τις ἐν Σάρδεσι Δασκύλου θεῖος τοῦ εἰς Πόντον ἀποχωρήσαντος, Ἄρδυς ὄνομα, Γύγεω παῖς· οὗτος Σαδυάττῃ τῷ βασιλεῖ ἐνέτυχεν ἀχθόμενος ἀτεκνίᾳ δοῦναί οἱ μεταπεμψαμένῳ Δάσκυλον ἐκ τοῦ Πόντου θέσθαι παῖδα, ὡς μὴ ἔρημος αὐτοῖς ὁ οἶκος γένοιτο, αὐτοῦ μὲν ὄντος ἄπαιδος, ἐκείνων δὲ οἰχομένων· ἐπιεικὲς δὲ ἤδη εἶναι σπένδεσθαι τοῖς Δασκυλίοις· καὶ γὰρ τοὺς τοῦ βασιλέως προπάτορας ἔφη καλεῖν αὐτοὺς εἰς Λυδίαν ἀπὸ τῆς φυγῆς. ταῦτα δεομένῳ τῷ Ἄρδυϊ δίδωσιν ὁ βασιλεύς, καὶ ὃς ἐπὶ Δάσκυλον πέμψας εἰς Λυδίαν αὐτὸν ἐκάλει. ὁ δὲ φιλοχωρῶν οὐχ ὑπήκουσε, τὸν μέντοι παῖδα Γύγην ἔπεμψε, περὶ ὀκτωκαίδεκα ἔτη γεγονότα. τοῦτον ἐλθόντα δέχεται ὁ Ἄρδυς καὶ παῖδα ἀπέδειξεν. ἦν δὲ ὁ Γύγης κάλλει τε καὶ μεγέθει διαφέρων, τά τε πολέμια γενναῖος καὶ τῶν ἡλίκων μακρῷ τὰ πάντα ἄριστος, ἵππων τε καὶ ὅπλων χρῆσιν ἤσκει. καί τις ὑπὲρ αὐτοῦ λόγος ἐφοίτησε πρὸς βασιλέα οἷος εἴη κατά τε ἔργα καὶ ἰδέαν, εἴτε καὶ ὄντως ἐπαινοῦντος τοῦ λέγοντος εἴτε καὶ ὑπὸ φθόνου, ὡς ἂν αὐτῷ κακόν τι γένοιτο. βασιλεὺς δὲ ἡσθεὶς μετεπέμψατο τὸν Γύγην, καὶ θεασάμενος

ἠγάσθη τό τε εἶδος καὶ τὸ μέγεθος, ἐκέλευσέ τε μετὰ τῶν δορυφόρων εἶναι. ὀλίγου δὲ χρόνου καὶ αὐτός, ὥς φασιν, ὑποτοπήσας τὸ γενναῖον τοῦ νεανίσκου, ἐκ μὲν τοῦ φανεροῦ διαφθείρειν αὐτὸν οὐκ ἐβούλετο, μηδεμιᾶς ὑπούσης αἰτίας, ἑτέρῳ μέντοι τρόπῳ, πόνους προστάττων χαλεπούς τε καὶ μεγάλους, ἐπί τε κάπρους καὶ ἄλλα θηρία στέλλων. ἅπαντα δὲ Γύγης ῥώμῃ κατειργάζετο· κἄπειτα ὑπ' αὐτῶν τούτων μεταβαλὼν ὁ Σαδυάττης ἔστεργεν αὐτόν, θαυμάζων τὸ δραστήριον, καὶ τῆς πρόσθεν ὑποψίας λήξας γῆν αὐτῷ πολλὴν ἐνεχείρισεν· ἐν ᾧ ἄριστα ἔπραξεν ὁ Γύγης. ἐπεὶ δὲ αὐτὸν σφόδρα ἔστεργε καὶ πάντων μάλιστα προυτίμα, πολλοὶ δὴ διὰ φθόνον ἤχθοντό οἱ καὶ ἐμέμφοντο τῷ βασιλεῖ, ὧν καὶ Λίξος τοῦ Τυλωνείου γένους. οὗτος τὸν Σαδυάττην ᾐτιᾶτο ὅτι τὸν Γύγην ἐχθρὸν πατρῷον ὄντα μεγάλως ἀσπάζεται καὶ πάντων ἡγεμόνα ἀποδείξει. ὁ δ' οὐ προσεῖχε τὸν νοῦν, ἀλλ' ὑπὸ φθόνου ᾤετο ταῦτα λέγειν. ἐπεὶ δὲ πολλάκις ταὐτὰ λέγων ὁ Λίξος οὐκ ἔπειθε, μαίνεσθαι προσποιηθεὶς διὰ τοῦ Σάρδεων ἄστεως φοιτῶν ἐβόα ὅτι Σαδυάττην τὸν βασιλέα κτείνειν μέλλοι Γύγης ὁ Δασκύλου. ἐκ τούτων γαμεῖν ἔμελλε Σαδυάττης τὴν Ἀρυωσσοῦ θυγατέρα ὄνομα Τουδὼ τοῦ Μυσῶν βασιλέως, ὅστις πόλιν Ἀρδύνιον ἔκτισεν ἐν Θήβης πεδίῳ. ἐπεὶ δὲ καιρὸς ἦν μετιέναι τὴν γυναῖκα, ἅρμα ζεύξας καὶ Γύγην ἐπιβιβάσας ἐπ' αὐτὸ ἐξέπεμψε παρὰ τὸν πενθερόν, ὡς ἂν κομίσειε τὴν νύμφην. φασὶ δὲ τέρας αὐτοῖς τοιόνδε συνενεχθῆναι· ἀετοὺς δύο ὑπερμεγέθεις, ἡνίκ' ἔμελλεν ἐξορμᾶν, ἐφίζεσθαι ἐπὶ τὸν θάλαμον ἔνθα ἦν, τοὺς δὲ μάντεις εἰπεῖν ὅτι δυοῖν βασιλέων ἡ παῖς γυνὴ ἔσοιτο ἐν τῇ πρώτῃ νυκτί. μετ' οὐ πολὺ

δὲ Γύγης παρῆν, καὶ τοῦ πατρὸς δόντος τὴν νύμφην ἀπεκόμιζεν· ὀχούμενος δ' ἐπὶ τοῦ ἅρματος ὁ Γύγης εἰς ἔρωτα ἐνέπεσε, καὶ καρτερεῖν οὐ δυνάμενος ἐπειρᾶτο αὐτὴν καί τι καὶ προσεφιλοφρονεῖτο. ἡ δὲ μάλα καρτερῶς ἀναινομένη ἐξεπικραίνετό τε καὶ ἠπείλει αὐτῷ πολλὰ καὶ δεινά. ὡς δὲ ἀφίκετο παρὰ τὸν βασιλέα, πάντ' ἔφρασεν ὅσα ὁ Γύγης ἐποίει καὶ ὡς μιγῆναί οἱ ἤθελεν. ὁ δὲ ὀργισθεὶς ὤμοσε τῇ ὑστεραίᾳ Γύγην κτείνειν. ταῦτα ἤκουσε θεράπαινα παροῦσα ἐν τῷ δωματίῳ, στέργουσα σφόδρα τὸν Γύγην· ἡ δὲ πάντ' ἐκείνῳ παραχρῆμα ἤγγειλεν. ὁ δὲ νυκτὸς ἔτι οὔσης περιδραμὼν τοῖς φίλοις κοινοῦται τὸν λόγον καὶ ἀξιοῖ βοηθεῖν ὁρμῶντι κτείνειν τὸν βασιλέα. προσανεμίμνησκε δὲ καὶ τῆς Ἄρδυος ἀρᾶς, ὅτι ἐπηράσατο τοῖς Δασκύλου φονεῦσι. κρίνων δ' οὖν ἐκ τῶν παρόντων ἀνελεῖν Σαδυάττην μᾶλλόν περ ἢ αὐτὸς ἀποθανεῖν ὑπ' αὐτοῦ, ἐπεὶ τοὺς πιστοτάτους τῶν φίλων ηὐτρεπίσατο, ἵεται σὺν ξίφει ἐπ' αὐτόν, τῆς δὲ θεραπαίνης τὰς θύρας τοῦ δωματίου διοιξάσης, ἐπεισελθὼν κτείνει καθεύδοντα Σαδυάττην βασιλεύσαντα ἔτη τρία.

Ἕωθεν δὲ καθ' ἡσυχίαν μετεπέμπετο ἕκαστον τῶν φίλων καὶ τῶν ἐχθρῶν, ὡς τοῦ βασιλέως αὐτοὺς καλοῦντος, καὶ τοὺς μὲν ἀνῄρει οὓς ᾤετο ἐναντίους ἔσεσθαι, τοῖς δὲ δῶρα διδοὺς ἐπικούρους ἐποιεῖτο. ἐπεὶ δὲ αὐτῷ πολλοὶ συνηλίσθησαν, ἐπιβατεύων τῆς ἀρχῆς πασσυδεὶ ἐξοπλίζεται, καὶ ἐξέρχεται εἰς τὴν ἀγορὰν καὶ συγκαλεῖ Λυδοὺς εἰς ἐκκλησίαν. οἱ δὲ τὸ μὲν πρῶτον ἐταράχθησαν, δυσανασχετοῦντες τὸ ἔργον, καὶ ἐπὶ Γύγην ὡρμῶντο· πραΰνοντος δ' αὐτοὺς ἐκείνου καὶ λόγον αἰτουμένου, ὡς ἂν διδάξῃ τὸ πλῆθος περὶ ὧν ἠγνόει, μόλις τοῦ θορύβου

ἔληξαν, τὰ μὲν ἀκοῦσαί τι σαφὲς ἐπιποθοῦντες, τὰ δὲ καὶ φοβούμενοι τοὺς ὁπλίτας, καὶ ἐσιώπησαν. καὶ ἔπεμψαν εἰς Δελφοὺς πευσόμενοι εἰ Γύγην στήσαιντο ἑαυτῶν βασιλέα. θεὸς δ᾽ ἐκέλευσε τοσόνδε προειπὼν ὅτι τοῖς Ἡρακλείδαις εἰς πέμπτην γενεὰν ἥξοι τίσις παρὰ τῶν Μερμναδῶν. τοὐντεῦθεν Γύγης ὁ Δασκύλου Λυδῶν βασιλεύει, καὶ γαμεῖ τὴν Μυσὴν γυναῖκα, ἥντινα Σαδυάττης ἠγάγετο, οὐδὲν μνησικακήσας ὧν αὐτοῦ κατεῖπε πρὸς ἐκεῖνον. Λίξον δὲ προεῖπεν εἰς ὄψιν μὴ ἀφικνεῖσθαι ἐπομόσας ἦ μὴν κατορύξειν αὐτὸν ἐν ᾧ ἂν ἴδῃ χωρίῳ πρῶτον. ὁ δ᾽ ἐξετρέπετο τὸν πάντα χρόνον καθ᾽ ἑτέρας ὁδοὺς φοιτῶν, εἰργόμενος τῶν βασιλείων. συλλαβεῖν δ᾽ οὖν αὐτὸν ἐπιθυμῶν Γύγης, ὅμως οὐκ ἐβούλετο παρὰ τὴν ῥήτραν. καί τις αὐτῷ τῶν φίλων ὑπέθετο, εἰ κατὰ τὰ συγκείμενα λαβεῖν αὐτὸν ἐθέλοι, τρέπεσθαι κατὰ τὰς ὁδοὺς ἃς ἔθος ἦν ἐκείνῳ διεξιέναι· αὐτὸς δ᾽ ἔφη ταύτας γιγνώσκειν. ὁ δὲ Γύγης ἐκέλευε τὸν ἄνθρωπον ἡγεῖσθαι· καὶ αὐτὸς ἐκείνῃ τὸ ἅρμα κατήλαυνε. καί πως αὐτῷ κατὰ δαίμονα συντυγχάνει Γύγης ἐν ἐπικάμψει τῆς ὁδοῦ. στενῆς δ᾽ οὔσης, οὐκ ἔχων ὅπῃ τράπηται ἐξ ὀφθαλμῶν τοῦ βασιλέως ὁ Λίξος, ὑποδύεται ὑπὸ τὸ ἅρμα καὶ κρύπτεται. Γύγης δὲ προνοήσας ἐκσπᾶν αὐτὸν ἐκέλευε, καὶ ἐπεὶ ἐξείλκυσαν οἱ θεράποντες καὶ ἐναντίον ἔστησαν τοῦ ἅρματος, εἶπεν ὁ Γύγης· ἐνταῦθα δή σε χρή, ὦ Λίξε, κατορύξαι· τοῦτο γὰρ ἡμῖν συγκείμενον. καὶ ὃς οὐδὲν ὑποθωπεύσας, Σὲ μὲν οὖν, ἔφη, ταῦτα παθεῖν δικαιότερον, ὃς ἐμὲ διώκων ἐκτρεπόμενον ὁδοὺς ἦλθες οὐ πρεπούσας βασιλεῖ. οἱ δὲ φίλοι τὸν Γύγην, ἐπὶ συννοίας γενόμενον πολὺν χρόνον, ἔπεισαν ἀφεῖναι Λίξον τοῦ θανάτου. καὶ ὃς ἔφη ὀμωμοκέναι κατο-

ρύξειν αὐτὸν ἔνθα ἂν τύχῃ πρῶτον· οἱ δ' ἔφασαν, Ἐπειδὰν τελευτήσῃ τοιγαροῦν, ἐνταῦθα κατόρυξον, καὶ εὔορκά σοι ἔσται. ὁ δὲ ἐπείσθη τε καὶ διὰ ταῦτα ἀφῆκε Λίξον. μετὰ δὲ ταῦτα ἐπὶ δεῖπνον ἐκάλεσε, χαμαί τε ἀνέκλινε καὶ τὰ ὀστᾶ παρετίθει φαῦλά τε σιτία, πίνειν τε ὄξος ἐνέχει· καί πως δειπνοῦντα ἤρετο πῶς τε δειπνοίη. ὁ δ' εἶπεν, Ὡς εἰκὸς παρὰ ἀνδρὶ ἐχθρῷ. ὁ δὲ γελάσας εὖ μάλα τῶν αὐτῷ παρακειμένων ἐπεδαψιλεύετό τε καὶ εὐμενέστερος ἐγένετο. χρόνου δὲ προϊόντος διαλλαγεὶς φίλον ἐποιήσατο καὶ οὐδὲν ἔτι εἶχεν ἐν γνώμῃ τῶν πάλαι. [Exc. Esc. p. 80—92 Fed., 380—386 Müll.]

49 Ὅτι ἐν Ἀθήναις Δημοφῶν ἐβασίλευσεν, ἐφ' οὗ Ὀρέστης μητροκτονήσας εἰς Ἀθήνας ἧκε, μετὰ δὲ τοῦτον Ὀξύντης, μετὰ δὲ ἐκεῖνον Θυμοίτης, ὃς τοῦ πατρὸς τελευτήσαντος εἰδὼς τὴν βασιλείαν τῷ γνησίῳ ἀδελφῷ προσήκουσαν, δολοφονήσας αὐτὸν κατέσχε τὴν ἀρχήν. [Exc. Esc. p. 92 Fed., 386 Müll.]

50 Ὅτι Ἱππομένης ὁ Ἀθηναίων ἄρχων ἐξέπεσε τῆς ἀρχῆς δι' αἰτίαν τοιάνδε. ἦν αὐτῷ θυγάτηρ, ἥντινα τῶν ἀστῶν τινος λάθρᾳ αἰσχύναντος ὑπ' ὀργῆς καθεῖρξεν εἰς οἴκημα δήσας σὺν ἵππῳ, καὶ τροφὴν οὐδετέρῳ εἰσέπεμπεν. πιεσθεὶς οὖν λιμῷ ὁ ἵππος, ἐφορμήσας τῇ παιδὶ ἀναλώσας τε αὐτήν, καὶ αὐτὸς ὕστερον ἀπέθανεν. μετὰ ταῦτα ἐπισκαφείσης αὐτοῖς τῆς οἰκήσεως ἀπ' ἐκείνου ὁ χῶρος ἐκαλεῖτο Ἵππου καὶ Κόρης. [Exc. de virt. et vit. p. 446.]

51 Ὅτι Κυρηναίοις οἱ Βάττου παῖδες Ἀρκεσίλαος καὶ Λέαρχος πρὸς ἀλλήλους στασιάσαντες μάχην ἤγειραν Λίβυας ἐπ' αὐτοὺς ἐνεγκόντες. καὶ ἡττῶνται Κυρηναῖοι· ἑπτακισχίλιοι γὰρ ἀπέθανον ἐν τῷ πολέμῳ. Ἀρκεσίλαος δ' ἐπὶ τούτοις φάρμακον πίνει· δυσθνητοῦντα δ' αὐτὸν ὁ

ἀδελφὸς ἦγξε Λέαρχος. τὸν δὲ Λέαρχον ἡ τοῦ Ἀρκεσίλεω, γυνὴ κτείνει Ἐρυξώ· τὴν δὲ ἀρχὴν ὁ τοῦ Ἀρκεσίλεω παῖς ἐκδέχεται Βάττος χωλὸς ὤν. [Exc. Esc. p. 92 Fed., 387 Müll.]

Ὅτι Ἴωνες ἐν τῷ πρὸς Ὀρχομενίους πολέμῳ 52 καταδραμόντες αὐτῶν τὰς κώμας γυναῖκας αἰχμαλώτους πολλὰς ἠγάγοντο· καταπαλλακεύοντες δ' αὐτὰς παῖδας ἐξεγέννησαν. ὑποτραφείσης δὲ τῶν νόθων νεότητος οὐκ ὀλίγης, δείσαντες οἱ γνήσιοι ἐκ τῆς χώρας αὐτοὺς ἐξανέστησαν. οἱ δ' εἰς Θορικὸν τῆς Ἀττικῆς ἀποχωρήσαντες, ἡγεμόνας αὐτῶν προστησάμενοι ὁμοῦ τοῖς Ἴωσιν ἐξέπλευσαν. συνῆσαν δὲ αὐτοῖς πολλοὶ Πελοποννήσιοι· σχόντες δὲ πρὸς τῷ Ἕρμῳ ταῖς ναυσὶ καί τινα νησῖδα καταλαβόμενοι οὐχ ἑκὰς τῆς ἠπείρου, πολλῶν αὐτοῖς βαρβάρων ἐπιόντων, ἀντεῖχον κρατοῦντες, καὶ ἐπί τινα λόφον τῆς ἠπείρου περάσαντες τὸ μεταξὺ πᾶν χωννύναι διενοοῦντο. κἀνταῦθα τειχοδομεῖν κωλύοντος αὐτοὺς Μέννεω τοῦ Κύμης τυράννου, ὃς τότε τῶν ταύτῃ χωρίων ἐκράτει, Οὐατίας ἀδελφὸς αὐτοῦ φιλίαν καὶ ἐπιγαμίαν συντίθεται πρὸς αὐτοὺς ἐπὶ τῷ κεῖνον καταλῦσαι καὶ αὐτοῖς χώραν δοῦναι αὐτάρκη. οἱ δὲ ὡμολόγησαν ἐκείνοις τε καὶ τῶν Κυμαίων ὅσους ἐδύναντο ἐπηγάγοντο καὶ ἐπεξῆλθον ἐπὶ τὸν Μέννην. ταχὺ δὲ καὶ τοῦ δήμου προσθεμένου αὐτῷ, νικήσας μάχῃ παραδίδωσι τοῖς Κυμαίοις τὸν ἀδελφόν· οἱ δ' ἐκ χειρὸς βαλόντες αὐτὸν κατέλευσαν καὶ τὸν Οὐατίαν ἐστήσαντο βασιλέα. ὁ δ' εὐθέως τὰς πρὸς Φωκαέας συνθήκας ἠξίου ἐμπεδοῦν, ἃς ὑπὲρ τῆς ἐκείνων ἐλευθερίας συνέθετο· οἱ δ' ἐπείσθησαν καὶ τῆς γῆς ἔδοσαν. [Exc. Esc. p. 92—94 Fed., 387—388 Müll.]

Ὅτι Λεωδάμας ἐβασίλευσε Μιλησίων, καὶ ἐν 53

τοῖς μάλιστα ἐπῃνεῖτο, δίκαιός τε ὢν καὶ τῇ πόλει καταθύμιος, εἰς ὃ φόνον αὐτῷ βουλεύσας Ἀμφίτρης ἐν ἑορτῇ Ἀπόλλωνος ἄγοντα ἑκατόμβην τῷ θεῷ Λεωδάμαντα κατὰ τὴν ὁδὸν ἀπέκτεινεν, αὐτὸς δὲ μετὰ τῶν αὐτοῦ στασιωτῶν τὴν πόλιν κατελάβετο καὶ τύραννος ἐγένετο, ἰσχύϊ προύχων Μιλησίων. οἱ δὲ Λεωδάμαντος παῖδες καὶ φίλοι νυκτὸς ἀπεχώρησαν εἰς Ἀσσησόν, ὑποδεχομένου αὐτοὺς προθύμως τοῦ ἐνόντος ἄρχοντος, ὅντινα Λεωδάμας πρότερον κατέστησεν. μετ' οὐ πολὺ δὲ Ἀμφίτρης ἐπ' αὐτοὺς σὺν στρατῷ ἦλθε, καὶ προσκαθίσας ἐπολιόρκει. οἱ δὲ μέχρι μέν τινος ταλαιπωρούμενοι ἀντεῖχον· μετὰ δὲ ταῦτα εἰς μαντεῖον πέμψαντες ἐχρηστηριάζοντο περὶ τοῦ πολέμου. θεὸς δ' ἔφη ἐκ Φρυγίας αὐτοῖς ἥξειν βοηθούς, οἳ τίσιν τε πράξονται τοῦ Λεωδάμαντος φόνου κἀκείνους τε καὶ Μιλησίους κακῶν ἀπαλλάξουσιν. χρονιζομένης δὲ τῆς πολιορκίας, ἀφικνοῦνται νεανίσκοι Τόττης καὶ Ὄννης ἐκ Φρυγίας, ἱερὰ ἔχοντες Καβείρων ἐν κίστει κεκαλυμμένα· ἐχόμενοι δὲ τῆς κίστεως ἀμφότεροι, ὁ μὲν ἔνθεν, ὁ δὲ ἔνθεν, νυκτὸς ἔτι οὔσης προῆλθον εἰς τὸ τεῖχος, καὶ ἐκέλευον σφᾶς δέχεσθαι. βαρυνόμενοι δὲ ὑπὸ τῶν φυλάκων καὶ ἐρωτώμενοι τίνες εἶεν, ἔφασαν ὅτι κατὰ πρόσταξιν θεοῦ ἱερὰ ἐκ Φρυγίας κομίζοιεν ἐπὶ τῷ Μιλησίων τε καὶ Ἀσσησίων ἀγαθῷ. οἱ δ' εἰς νοῦν βαλόμενοι τὸν χρησμὸν δέχονται τοὺς νεανίσκους. ἕωθεν δ' εἰς ἐκκλησίαν συνῆλθον οἵ τε τοῦ Λεωδάμαντος παῖδες καὶ οἱ ἄλλοι ἅπαντες, καὶ τοὺς Φρύγας ἤροντο οἵτινές τε εἶεν καὶ ἐφ' ὅτῳ ἥκοιεν. οἱ δ' ἔφασαν θεὸν αὐτοῖς κελεῦσαι σὺν τοῖς ἱεροῖς εἰς Ἀσσησὸν ἐλθεῖν, τιμωροὺς ἐσομένους τοῦ Λεωδάμαντος φόνου, ὅστις αὐτοῖς εἴη ὁ Λεωδάμας·

αὐτοὶ γὰρ οὐ γιγνώσκειν· καὶ κακῶν ῥύεσθαι Μιλησίους καὶ Ἀσσησίους. δεῖν οὖν, ὅπως ἂν ταῦτα γένοιτο ἐπιτελῆ, θῦσαι τὰ νομιζόμενα αὐτοῖς. οἱ δὲ ταῦτα ἀκούοντες ὁ πᾶς δῆμος ἐν χαρᾷ ἦσαν· τοῖς γὰρ λογίοις σύνδρομα ἐφαίνετο. ὑπέσχοντό τε τὰ ἱερὰ ἱδρύσειν παρὰ σφίσι καὶ τιμήσειν, εἰ ταῦτα γένοιτο. ἐκ τούτου μετὰ τὰς ἱερουργίας ἐκέλευον αὐτοὺς οἱ Φρύγες ὁπλισαμένους πανστρατιᾷ χωρεῖν ἐπὶ τοὺς πολεμίους, ἡγουμένων τῶν ἱερῶν πρὸ τῆς φάλαγγος. καὶ ἐποίησαν ταῦτα. οἱ δὲ περὶ Ἀμφίτρην ὑπαντιάσαντες, ὡς ἤδη πλησίον ἐγένοντο, εἰς φυγὴν ἐτράποντο, δείματος θείου ἐμπεσόντος· οἱ δ' ἑπόμενοι τοὺς μὲν ἔσφαττον, τοὺς δ' ἐδίωκον, Ἀμφίτρην δ' οἱ Λεωδάμαντος παῖδες κτείνουσι καὶ ὁ πόλεμος καὶ ἡ τυραννὶς ἐπέπαυτο Μιλησίοις.

Ὅτι Ἐπιμένης μετὰ ταῦτα αἰσυμνήτης ὑπὸ τοῦ δήμου χειροτονεῖται, λαβὼν ἐξουσίαν κτείνειν οὓς βούλεται· καὶ ὃς τῶν μὲν παίδων Ἀμφίτρητος οὐδενὸς οἷός τ' ἦν ἐγκρατὴς γενέσθαι· ὑπεξῆλθον γὰρ παραχρῆμα δείσαντες· τὰ δὲ ὄντα αὐτοῖς ἐδήμευσε, καὶ ἀργύριον ἐκήρυξεν, εἴ τις αὐτοὺς κτείνειεν· τῶν δὲ κοινωνῶν τοῦ φόνου τρεῖς ἀπέκτεινε, τοῖς δὲ ἄλλοις φυγὴν προεῖπεν· οἱ δὲ ᾤχοντο. οἱ μὲν δὴ Νηλεῖδαι κατελύθησαν ὧδε. [Exc. Esc. p. 94—96 Fed., 388—389 Müll.]

Ὅτι μετὰ τὸ ἀγαγεῖν τὸ νάκος τοὺς Ἀργοναύτας 53
τῷ Πελίᾳ Ἰάσων εὐθὺς ἐλθὼν Πελίᾳ φόνον ἐβούλευε τῆς ἀρχῆς πέρι, Μήδεια δ' αὐτῷ ὑπέστη ἀνιδρωτὶ τοῦτο πράξειν. ταχὺ δὲ ταῖς ἐκείνου θυγατράσιν ἐν ὁμιλίᾳ γενομένη ἔπειθεν ὅτι αὐταῖς τὸν πατέρα γηραιὸν ὄντα ἀνηβῆσαι ποιήσει διὰ φαρμάκων, εἴ μιν κατακόψασαι εἰς λέβητα ζέοντα ἐμβάλοιεν· εἰς δὲ

πίστιν τοῦ λόγου, ὥς φασιν, ἄλλα ἄττα κατακόψασα πρόβατα νέα ἐκ παλαιῶν ἐποίει. αἱ δὲ διὰ τοῦτο μάλιστα πεισθεῖσαι τὸν πατέρα ἔκτειναν· καὶ ὡς οὐδὲν ἐγίγνετο ὧν προσεδόκων, ἐν πένθει μεγάλῳ ἦσαν. οἱ δὲ Ἰωλκοὶ ἐπὶ τῷ ἔργῳ ἤχθηραν Μήδειάν τε καὶ Ἰάσονα, καὶ τοὺς μὲν φυγῇ ἐζημίωσαν· οἱ δ' εἰς Κόρινθον ἀπεχώρησαν· ταῖς δὲ παισὶ συνέγνωσαν ὑπὸ ἀκακίας ἐξαπατηθείσαις· θανάτου γὰρ ῥυόμεναι τὸν πατέρα ἐκ γήρως ἄκουσαι ἀπέκτειναν. ἐπὶ δὲ τῷ Πελίου τάφῳ ἆθλα ἐτέθη μέγιστα καὶ τὰς θυγατέρας αὐτοῦ ἠγάγοντο, ὡς ἂν καθαρὰς φόνου, οἱ ἄριστοι. ἐκ Πελοπείας δὲ Κύκνος ἐγένετο, ᾧ Ἡρακλῆς ἐμαχέσατο ἐν Ἰτώνῳ τῆς Ἀχαΐας· Ἄκαστος δ' ὁ Πελίου ἐν Ἰωλκῷ ἐβασίλευε, τοῦ πατρὸς τελευτήσαντος, Ἰάσονος φυγόντος εἰς Κόρινθον σὺν Μηδείᾳ. [Exc. Esc. p. 96—97 Fed., 389 Müll.]

54 *Ὅτι ἡ Ἀκάστου γυνὴ Πηλέως ἐρασθεῖσα λόγους ὑπὲρ μίξεως εἰσφέρει· ἀναινομένου δὲ δείσασα μή μιν κατείποι πρὸς τὸν ἄνδρα, ὑποφθάσασα αὐτὸν προδιαβάλλει πρὸς τὸν ἄνδρα ὡς εὐνηθῆναί οἱ θέλοντα. ὁ δὲ λόχον ὑφείσας ἐπεβούλευσε Πηλεῖ. καὶ ὃς αἰσθόμενος εἰς πόλεμον κατέστη πρὸς αὐτόν, ἐπικαλεσάμενος βοηθοὺς τούς τε Τυνδαρίδας καὶ Ἰάσονα, ἐχθρὸν ὄντα ἐκείνῳ, φίλος αὐτὸς ὢν διὰ τὸ σύμπλους ἐν τῇ Ἀργοῖ γεγονέναι· καὶ τήν τε Ἰωλκὸν αἱρεῖ καὶ τὴν Ἀκάστου γυναῖκα σφάττει.* [Exc. de virt. et vit. p. 446.]

55 *Ὅτι Λυκούργῳ τοιάδε ἡ τελευτὴ τοῦ βίου ἐγένετο. βουλόμενος, ὥς φασι, θεὸν ἐρέσθαι περί τινων ὑπολοίπων νόμων, ὥρκωσε Λακεδαιμονίους ἄχρι ἐπάνεισι μηδένα λῦσαι τῶν κειμένων. ὁμοσάντων δ', ἐπεὶ χρηστηριαζόμενος ἤκουσε παρὰ τοῦ*

θεοῦ ὡς εὐδαίμων ἡ πόλις ἔσοιτο, εἰ τοῖς ἐκείνου νόμοις ἐμμένοι, ἔγνω μηκέτι ἐπανελθεῖν, τὸ βέβαιον τῆς φυλακῆς ἐκ τοῦ ὅρκου ποιησάμενος. καταβὰς δὲ εἰς Κρῖσαν αὑτὸν διεργάζεται. Λακεδαιμόνιοι δὲ αἰσθόμενοι, διά τε τὴν προτέραν ἀρετὴν καὶ τὴν τότε κριθεῖσαν περὶ τὸν θάνατον ναόν τε αὐτῷ ἐτεμένισαν καὶ βωμὸν ἱδρυσάμενοι θύουσιν ὡς ἥρωι ἀνὰ πᾶν ἔτος. περιφανῶς γὰρ δὴ Σπαρτιάταις αἴτιος ἐγένετο τῆς εἰς ἅπαν ἀρετῆς τε καὶ ἡγεμονίας, οὐδὲν ἄμεινον τῶν ἄλλων πάλαι διακειμένοις, οὐ μόνον ὅτι αὐτοῖς νόμους ἔθετο ἀρίστους, ἀλλὰ καὶ ὅτι ἄκοντας προυτρέψατο χρῆσθαι αὐτοῖς τρόπῳ τοιῷδε. δύο σκύλακας λαβὼν ἀπὸ τῆς αὐτῆς μητρὸς ἔτρεφε, χωρὶς δὲ ἀλλήλων ἀνομοίοις ἔθεσι, τὸν μὲν κατ᾽ οἶκον, ὄψα τε διδοὺς καὶ τὴν ἄλλην λιχνείαν, τὸν δὲ ἐν κυνηγεσίοις θηρᾶν ἀναγκάζων καὶ στιβεύειν ἐν ὄρεσιν. ὡς δ᾽ ἑκάτερος αὐτῶν ὅμοιος ἐγένετο τῇ τροφῇ, Σπαρτιάταις ἐκκλησιάζουσι πρὸς τοὺς περιοίκους πολέμου πέρι καὶ ἀμηχανοῦσι παραγαγὼν ἀμφοτέρους εἰς μέσον καὶ σὺν αὐτοῖς δόρκους τε καὶ ζωμοὺς καὶ ὄψα ἐσκευασμένα ἔλεξεν, Ἀλλ᾽ ὅτι μέν, ὦ Σπαρτιᾶται, τοῦ εὖ τε καὶ κακῶς πράττειν οὐκ ἄλλο ἐστὶν αἴτιον πλὴν τὸ ἔθεσι χρῆσθαι φαύλοις ἢ σώφροσι πάρεστιν ὑμῖν ὁρᾶν. οἵδε γέ τοι, τοὺς σκύλακας δείξας, τῆς αὐτῆς μητρὸς ὄντες, ἐναντίον δὲ ἀλλήλοις τεθραμμένοι, παρ᾽ αὐτὸ τοῦτο ἀνόμοιοι ἐκβεβήκασιν. ὁ μὲν γὰρ θηρᾶν μαθών, ὁ δὲ λιχνεύειν, οὐδὲν ἂν ἀντὶ τοῦδε, εἰ παρείκοι, ποιήσειεν. καὶ ἅμα προσέταξε τῷ κυνουλκῷ μεθεῖναι ἀμφοτέρους ἐπὶ τὰ ἡτοιμασμένα. τῶν δ᾽ ὁ μὲν κατοικίδιος ἐπὶ τοὔψον ὥρμησεν, ὁ δὲ θηράτωρ ἐπὶ τὸν δόρκον, καὶ καταλαβὼν ἐσπάραττεν. καὶ Λυκοῦργος

πάλιν, Ταῦτα, ἔφη, νομίσατε, ὦ Σπαρτιᾶται, καὶ εἰς ὑμᾶς τείνειν καὶ τοὺς ἄλλους πάντας ἀνθρώπους· ὁποίοις γὰρ ἂν ἔθεσι καὶ νόμοις χρῆσθε, τοιούτους ἀποβαίνειν ἀνάγκη πρός τε πόνους καὶ τρυφήν· πάντα γὰρ ἀνθρώποις μαθητὰ οἱ θεοὶ ἔδοσαν. ἕπεται δὲ τῷ μὲν πονεῖν ἐθέλειν τὸ ἐλευθέροις εἶναι καὶ τὸ εὖ πράττειν καὶ κρατεῖν πάντων, τῷ δὲ ἡδυπαθεῖν τό τε δουλεύειν καὶ κακουργεῖν καὶ μηδενὸς ἀξίους εἶναι. ὁ μὲν τοιαῦτα λέγων προυτρέπετο τοὺς Σπαρτιάτας μεταβαλεῖν τε τὸν καθεστῶτα τρόπον τοῦ βίου καὶ βελτίοσι νόμοις ἐθισθῆναι. οἱ δὲ πεισθέντες οὐ τῶν περιοίκων μόνον, ἀλλὰ καὶ πάντων Ἑλλήνων διαφανῶς ἄριστοι ἐγένοντο, ἡγεμόνες τε συνεχῶς, ἐξ ὅτου παρεδέξαντο τοὺς νόμους, ἐπὶ ἔτη πεντακόσια, καὶ οὐ πολλοῦ χρόνου ἐπὶ μέγα ἐχώρησαν δυνάμεως. (Τέλος τοῦ ἕκτου λόγου Νικολάου Δαμασκηνοῦ.) [Exc. de virt. et vit. p. 446—450.]

56 Ὅτι Κύψελος Βακχιάδης καὶ αὐτὸς ὢν ἐκ κήδους γυναικείου, πρῶτος κτείνας τὸν τελευταῖον Ἱπποκλείδην ἐβασίλευσεν ἀντ᾽ αὐτοῦ τρόπῳ τοιῷδε. λόγιον ἦν τοῖς Βακχιάδαις ὑπὸ τοῦ Κυψέλου τοῦ Ἀετίωνος καταλυθεῖσι τὴν ἀρχὴν ἀφαιρεθῆναι. γενόμενον οὖν αὐτὸν καὶ ἐν σπαργάνοις ἔτι ὄντα ὑποπέμψαντες τῶν ὑπασπιστῶν τινὰς ἐκέλευον κτεῖναι. τῶν δὲ ἐπὶ τούτῳ ἐλθόντων ἐπὶ τὴν οἰκίαν καὶ μελλόντων ἀναιρεῖν, ὀρέγον τὰς χεῖρας τὸ παιδάριον προσεμειδία τοῖς ἀνθρώποις· τοὺς δὲ οἶκτος εἰσῆλθε, καὶ ἔγνωσαν μηκέτι ἀναιρεῖν, ἀλλὰ φράσαντες τῷ πατρὶ τὰς ἀληθείας ἐκποδὼν ἀπιέναι. δόξαν δὲ οἱ μὲν εἶπον, ὁ δὲ Ἀετίων εἰς Ὀλυμπίαν αὐτὸ ὑπεκτίθεται καὶ ἔτρεφεν, ὡς ἂν ἱκέτην τοῦ θεοῦ. μετὰ δὲ

ταῦτα θαρρήσας εἰς Κλεωνὰς ἤγαγε, μειράκιον ἔτι ὄντα καὶ πολλῶν διαφέροντα τὴν ἰδέαν καὶ τὴν ἀρετήν. ἀνὰ δὲ χρόνον ὁ Κύψελος βουλόμενος κατελθεῖν εἰς Κόρινθον, ἐχρηστηριάζετο ἐν Δελφοῖς. συμφέρουσαν δὲ δεξάμενος φήμην οὐδὲν μελλήσας ἧκεν εἰς Κόρινθον, καὶ ταχὺ τῶν ἀστῶν ἐν τοῖς μάλιστα ἀγαστὸς ἦν, ἀνδρεῖός τε καὶ σώφρων καὶ δημωφελὴς δοκῶν εἶναι παρὰ τοὺς ἄλλους Βακχιάδας ὑβριστάς τε ὄντας καὶ βιαίους. πολεμαρχήσας δ' ἔτι μᾶλλον ἐστέρχθη, τῶν πώποτε ταύτην ἀρξάντων τὴν ἀρχὴν μακρῷ ἄριστος γενόμενος· τἄλλα τε γὰρ ὀρθῶς ἔπραξε καὶ τόδε· νόμος καθειστήκει Κορινθίοις τοὺς ἐν δικαστηρίῳ ἁλισκομένους ἀπάγεσθαι πρὸς τὸν πολέμαρχον καὶ καθείργνυσθαι τῶν ἐπιτιμίων ἕνεκα, ὧν καὶ αὐτοῦ μέρος τι ἦν. ὁ δὲ οὔτε καθεῖρξέ τινα πολίτην οὔτε ἔδησεν, ἀλλὰ τοὺς μὲν ἀπέλυε δεχόμενος ἐγγυητάς, τῶν δὲ καὶ αὐτὸς ἐγίγνετο, πᾶσι δὲ ἠφίει τὸ αὐτοῦ μέρος· ἐξ ὧν μάλιστα ἐν τῷ πλήθει ἐστέργετο. ὁρῶν δὲ τοὺς Κορινθίους ἐχθρωδῶς πρὸς Βακχιάδας διακειμένους, προστάτην δ' οὐκ ἔχοντας, ᾧ χρησάμενοι καταλύσειαν αὐτούς, ἐπέδωκεν αὑτόν, καὶ ἐδημαγώγει τὸ πλῆθος, τόν τε χρησμὸν λέγων, ὅτι ὑπ' αὐτοῦ πέπρωται καταλυθῆναι αὐτούς, ἀνθ' ὅτου καὶ πάλαι γενόμενον αὐτὸν ὁρμήσειαν ἀνελεῖν, καὶ νῦν ἐπιβουλεύειν, ἀλλ' οὐ δεδυνῆσθαι παρατρέψαι τὰ μοιρίδια. οἱ δ' ἀσμένως προσίεντο τοὺς λόγους, τοῖς μὲν δυσμενεῖς ὄντες, τῷ δὲ εὖνοι, καὶ τὸ βέβαιον τοῦ κατορθώσειν τὸ ἔργον ἐκ τῆς περὶ αὐτὸν ἀνδρείας ἔχοντες. τέλος δὲ συστήσας ἑταιρικὸν κτείνει βασιλεύοντα Πατροκλείδην, παράνομον ὄντα καὶ ἐπαχθῆ. ταχὺ δὲ ἀντ' ἐκείνου ὁ δῆμος αὐτὸν βασιλέα κατέστησεν. ὁ δὲ

τούς τε φυγάδας κατάγει καὶ τοὺς ἀτίμους ὑπὸ τῶν Βακχιαδῶν γενομένους ἐπιτίμους πάλιν ἐποίησε· καὶ διὰ τοῦτο ἐχρῆτο εἰς ὅ,τι βούλοιτο αὐτοῖς· εἴς τε ἀποικίαν ἐξῆγε τοὺς μὴ φίλους, ὅπως ἂν ῥᾷον ἄρχοι τῶν λοιπῶν· ἔπεμψε δὲ εἴς τε Λευκάδα καὶ Ἀνακτόριον, οἰκιστὰς αὐτῶν Πυλάδην καὶ Ἐχιάδην τάξας, παῖδας αὐτοῦ νόθους· τοὺς δὲ Βακχιάδας φυγαδεύσας ἐδήμευσε τὰς οὐσίας αὐτῶν. οἱ δὲ εἰς Κέρκυραν ἀπεχώρησαν. Κύψελος δὲ Κορίνθου πρᾴως ἦρχεν, οὔτε δορυφόρους ἔχων οὔτ' ἀποθύμιος ὢν Κορινθίοις. βασιλεύσας δὲ ἔτη τριάκοντα ἐτελεύτησε τέτταρας υἱοὺς καταλιπών, ὧν γνήσιος μὲν ἦν Περίανδρος, οἱ δὲ λοιποὶ νόθοι. [Exc. Esc. p. 97—99 Fed., 391—393 Müll.]

57 Ὅτι Περίανδρος ὁ Κυψέλου υἱὸς τοῦ βασιλέως Κορινθίων τὴν βασιλείαν παρὰ τοῦ πατρὸς κατὰ πρεσβεῖον παραλαμβάνει, καὶ ὑπὸ ὠμότητος καὶ βίας ἐξέτρεψεν αὐτὴν εἰς τυραννίδα, καὶ δορυφόρους εἶχε τριακοσίους. ἐκώλυέ τε τοὺς πολίτας δούλους κτᾶσθαι καὶ σχολὴν ἄγειν, ἀεί τινα αὐτοῖς ἔργα ἐξευρίσκων. εἰ δέ τις ἐπὶ τῆς ἀγορᾶς καθέζοιτο, ἐζημίου, δεδιὼς μή τι βουλεύοιντο κατ' αὐτοῦ. λέγεται καὶ ἄλλο αὐτὸν ἔργον ἄνομον ἐργάσασθαι, νεκρᾷ τῇ ἑαυτοῦ γυναικὶ μιγέντα ὑπ' ἔρωτος. ἐστρατεύετο δὲ συνεχῶς καὶ ἦν πολεμικός· τριήρεις τε ναυπηγησάμενος ἀμφοτέραις ἐχρῆτο ταῖς θαλάτταις. φασὶ δέ τινες αὐτὸν καὶ τῶν ἑπτὰ σοφῶν γεγονέναι· τὸ δὲ οὐκ ἦν. [Exc. de virt. et vit. p. 450.]

58 Ὅτι Περιάνδρῳ τῷ τυράννῳ Κορινθίων γηραιῷ ἤδη ὄντι πάντες οἱ υἱεῖς ἐτελεύτησαν, ὧν Εὐαγόρας μὲν ἀποικίαν εἰς Ποτίδαιαν ἐξαγαγών, Λυκόφρων δὲ τυραννίδα κατασκευαζόμενος παρὰ τοῖς περιοίκοις,

Γόργος δὲ ἅρμα ἡνιοχῶν καὶ πεσὼν ἐπὶ τράχηλον, Νικόλαος δέ, ὅσπερ ἐδόκει μετριώτατος εἶναι, ὑπὸ Κερκυραίων δολοφονηθεὶς τρόπῳ τοιῷδε. Περίανδρος βουλόμενος τελευτήσαντος αὐτοῦ μένειν τοῖς ἐκγόνοις τὴν ἀρχὴν καὶ λογιζόμενος ὅτι αὐτῷ μὲν ἐπίθοιντο Κορίνθιοι, Νικόλαον δὲ βασιλεύοντα ἂν ἀνάσχοιντο διὰ τὴν ἐπιείκειαν, ἔγνω ἀποχωρήσας αὐτὸς εἰς Κέρκυραν Νικολάῳ παραδοῦναι τὴν Κόρινθον. αἰσθόμενοι δὲ Κερκυραίων τινὲς τὴν Περιάνδρου γνώμην, καὶ ἐλευθεροῦν τὴν μητρόπολιν θέλοντες, τόν τε Περίανδρον, εἰ ἀφίκοιτο, ὀρρωδοῦντες, συστάντες κτείνουσι τὸν Νικόλαον διαιτώμενοι παρὰ σφίσιν. ὁ δὲ Περίανδρος ἀθροίσας στράτευμα ἐνέβαλεν εἰς Κέρκυραν, καὶ τὴν πόλιν ἑλὼν πεντήκοντα τοὺς αἰτίους τοῦ φόνου ἀπέκτεινε, τοὺς δὲ τούτων υἱέας πλείστους ὄντας ἔπεμψε πρὸς Ἀλυάττην τὸν Λυδῶν βασιλέα ἐπ' ἐκτομῇ. οἱ δὲ προσσχόντες Σάμῳ ἱκέται τῆς Ἥρας ἐγένοντο, καὶ αὐτοὺς Σάμιοι αἰσθόμενοι τὸ σύμπαν ἐρρύσαντο. Περίανδρος δὲ Ψαμμητίχῳ Κέρκυραν παραδούς, ὅστις ἦν Γόργου μὲν υἱός, ἀδελφιδοῦς δὲ ἑαυτῷ, ἐπανῆλθεν εἰς Κόρινθον.

Ὅτι ἐκδέκτορα τῆς βασιλείας κατέλιπε Περίανδρος Κύψελον τὸν Γόργου παῖδα, τοῦ σφετέρου ἀδελφοῦ, ὃς ἐκ Κερκύρας ἀφικόμενος ἐτυράννευσε Κορίνθου ἄχρι αὐτὸν συστάντες τινὲς τῶν Κορινθίων ἔκτειναν, βραχὺν χρόνον κατασχόντα τὴν τυραννίδα, καὶ τὴν πόλιν ἠλευθέρωσαν. ὁ δὲ δῆμος τάς τε οἰκίας τῶν τυράννων κατέσκαψε καὶ τὰς οὐσίας ἐδήμευσεν, ἄταφόν τε ἐξώρισε τὸν Κύψελον καὶ τῶν προγόνων τοὺς τάφους ἀνορύξας τὰ ὀστᾶ ἐξέρριψεν, αὐτὸς δὲ παραχρῆμα κατεστήσατο πολιτείαν

τοιάνδε· μίαν μὲν ὀκτάδα προβούλων ἐποίησεν, ἐκ δὲ τῶν λοιπῶν βουλὴν κατέλεξεν ἀνδρῶν θ΄. (Ζήτει ἐν τῷ Περὶ πολιτικῶν.) [Exc. Esc. p. 99—102 Fed., 393—394 Müll.]

59 Ὅτι Μύρων ὁ Σικυωνίων βασιλεύς, ἀπὸ Ὀρθαγόρου κατάγων τὸ γένος, ἦν περί τε τὰ ἄλλα καὶ περὶ τὰς γυναῖκας ἀκόλαστος· ἃς οὐ λάθρᾳ μόνον, ἀλλὰ καὶ φανερῶς βιασάμενος ᾔσχυνεν· τελευτῶν δὲ καὶ τὴν Ἰσοδήμου τοῦ ἀδελφοῦ γυναῖκα ἐμοίχευσεν. ὁ δὲ ᾐσθημένος πρότερον μὲν ἡσύχαζεν, ἐλθόντι δὲ ἐκ Λιβύης τῷ ἑτέρῳ ἀδελφῷ ἔφρασεν ἀδημονῶν. ἦν δ', ὥς φασιν, αὐτὸς μὲν ἁπλοῦς τὸ ἦθος καὶ ἄκακος, ὁ δὲ Κλεισθένης δόλιος. καί ποτε πυνθανομένου τί χρὴ ποιεῖν, αὐτὸς μὲν εἶπεν οὐδ' ἂν μίαν ἡμέραν ἀνασχέσθαι τοιαῦτα παθών, ἀλλὰ δι' αὐτοχειρίας ἂν τὸν δράσαντα τιμωρήσασθαι. ἔλεγε δὲ ταῦτα καὶ παρώξυνε τὸν Ἰσόδημον ἐπὶ τὸν Μύρωνα, ἐπιβουλεύων τῇ τυραννίδι, τοῦ μὲν ἀποθανόντος, τοῦ δὲ θύειν τοῖς θεοῖς οὐκ ἂν ἔτι δυναμένου διὰ τὸ αἷμα τοῦ ἀδελφοῦ. ὅπερ ἐδήλωσεν· ὡς γὰρ ὁ Ἰσόδημος ἔκτεινε τὸν Μύρωνα ἑπτὰ ἔτη τυραννεύσαντα, εὑρὼν ἐπὶ τῇ γυναικί, καὶ πρὸς τὸν Κλεισθένη ἔφρασε μέγα στενάξας, ἐκεῖνος συνάχθεσθαι ἀμφοτέροις ἔφη, τῷ μὲν θανόντι, ὅτι ὑπὸ τἀδελφοῦ πάθοι ταῦτα, ἐκείνῳ δ' αὖ, ὅτι τὸν ἀδελφὸν κτείνας οὐκ ἂν ἔτι δύναιτο τοῖς θεοῖς θύειν, ἀλλὰ δεῖν ἕτερον τοῦτο ποιεῖν. ὁ δ' ἵνα μὴ τῆς ἀρχῆς διὰ τοῦτ' ἐκπέσοι, πεισθεὶς ἀληθῆ λέγειν αὐτόν, ἐνιαυτὸν διαλιπὼν προσείλετο κοινωνόν. καὶ ὁ μὲν τοῦθ' ὅπερ ἐτέχναξε κατειργάσατο διὰ τὴν εὐήθειαν ἐκείνου, καὶ ἀμφότεροι Σικυῶνος ἦρχον. πολὺ μέντοι μᾶλλον Κλεισθένει προσεῖχον οἱ ἄνθρωποι, ἅτε φοβερῷ ὄντι καὶ δρα-

στηρίῳ, καὶ οἱ ἐκείνου φίλοι τούτῳ προσεχώρουν. τελευτῶν δὲ καὶ τῆς ἀρχῆς τὸν Ἰσόδημον ἀπεστέρησε τοιόνδε τι τεχνάσας. ἦν τις Χαιρέδημος, ἀνὴρ τῶν ἀστῶν Ἰσοδήμου φίλος. οὗτος ὁρῶν τὸν Κλεισθένη ἐργασιμώτερον, προσιὼν περὶ φιλίας διελέγετο. πολλὰ δὲ ὑπισχνουμένου, Κλεισθένης ἐκέλευσεν αὐτὸν εἰς πίστιν ὧν ἔφη παρελθόντα Ἰσοδήμῳ παραινεῖν ἀπενιαυτίσαι διὰ τὸν φόνον, ὅπερ ἔθος ἦν ποιεῖν, ὡς καὶ θύειν αὐτῷ καὶ τὰ ἱερὰ ἐξέσται κεκαθαρμένῳ καὶ τοῖς ἐκείνου παισὶν ἄρχειν· εἰ δὲ μή, ἔνοχον ὄντα χαλεπῶς μὲν αὐτὸν ἐμμενεῖν τῇ τυραννίδι, χαλεπῶς δὲ ἐγγόνοις λείψειν. ταῦτα λέγοντα ὁ Χαρίδημος ἐδέξατο, καὶ τῷ Ἰσοδήμῳ συνεβούλευε μεταστῆναι ἐπ' ἐνιαυτόν. ὁ δὲ οἷα ἀνὴρ ἄκακος πεισθεὶς ἐπ' εὐνοίᾳ λέγειν αὐτόν, ἀπεχώρησεν εἰς Κόρινθον, παραδοὺς Κλεισθένει τὴν τυραννίδα. ὁ δὲ παραχρῆμα ἐξελθόντος διέβαλλεν ὡς μετὰ τῶν Κυψελιδῶν οἱ ἐπιβουλεύοντα, ὅπως ἂν μόνος ἄρχοι. καὶ διὰ τοῦτο στράτευμα ὁπλίσας ἐξεῖργε κατιόντα, καὶ αὐτὸς ἐτυράννει, βιαιότατος ὢν τῶν πρὸ αὐτοῦ καὶ ὠμότατος, καὶ βοηθείας πολλοῖς ἐκπέμπων, ὡς ἂν ἔχοι συμμάχους. κατασχὼν δὲ τὴν ἀρχὴν ἓν καὶ τριάκοντα ἔτη ἐτελεύτησεν. [Exc. Esc. p. 103—106 Fed., 394—395 Müll.]

Ὅτι Μάγνης ἦν ἀνὴρ Σμυρναῖος, καλὸς τὴν 60
ἰδέαν εἴ τις καὶ ἄλλος, ποιήσει τε καὶ μουσικῇ δόκιμος. ἤσκητο δὲ καὶ τὸ σῶμα διαπρεπεῖ κόσμῳ, ἁλουργῆ ἀμπεχόμενος καὶ κόμην τρέφων χρυσῷ στρόφῳ κεκορυμβωμένην· περιῄει τε τὰς πόλεις ἐπιδεικνύμενος τὴν ποίησιν. τούτου δὲ πολλοὶ μὲν καὶ ἄλλοι ἤρων, Γύγης δὲ μᾶλλόν τι ἐφλέγετο καὶ αὐτὸν εἶχε παιδικά. γυναῖκάς γε μὴν πάσας ἐξεμη-

νεν, ἔνθα ἐγένετο ὁ Μάγνης, μάλιστα δὲ τὰς Μαγνήτων, καὶ συνῆν αὐταῖς. οἱ δὲ τούτων συγγενεῖς, ἀχθόμενοι ἐπὶ τῇ αἰσχύνῃ, πρόφασιν ποιησάμενοι ὅτι ἐν τοῖς ἔπεσιν ᾖσεν ὁ Μάγνης Λυδῶν ἀριστείαν ἐν ἱππομαχίᾳ πρὸς Ἀμαζόνας, αὐτῶν δὲ οὐδὲν ἐμνήσθη, ἐπάξαντες περικατέρρηξάν τε τὴν ἐσθῆτα καὶ τὰς κόμας ἐξέκειραν καὶ πᾶσαν λώβην προσέθεσαν. ἐφ' οἷς ἤλγησε μάλιστα Γύγης, καὶ πολλάκις μὲν εἰς τὴν Μαγνήτων γῆν ἐνέβαλε, τέλος δὲ χειροῦται τὴν πόλιν· ἐπανελθὼν δὲ εἰς Σάρδεις πανηγύρεις ἐποιήσατο μεγαλοπρεπεῖς. [Exc. de virt. et vit. p. 450—453.]

61 Ὅτι Σαδυάττης ὁ Λυδῶν βασιλεύς, Ἀλυάττεω παῖς, ἦν μὲν τὰ πολέμια γενναῖος, ἄλλως δὲ ἀκόλαστος. καὶ γάρ ποτε τὴν ἑαυτοῦ ἀδελφήν, γυναῖκα Μιλήτου, ἀνδρὸς δοκίμου, καλέσας ἐφ' ἱερὰ βίᾳ ᾔσχυνε καὶ τὸ λοιπὸν αὐτὴν ἴσχει γυναῖκα. ὁ δὲ Μίλητος ἦν Μέλανος τοῦ Γύγου γαμβροῦ ἀπόγονος. δυσανασχετῶν δ' ἐπὶ τούτοις, φεύγων ᾤχετο εἰς Δασκύλιον. Σαδυάττης δὲ κἀκεῖθεν αὐτὸν ἐξέωσεν. ὁ δὲ ἀπεχώρησεν εἰς Προκόννησον. Σαδυάττης δὲ ὀλίγον ὕστερον ἔγημεν ἑτέρας δύο γυναῖκας ἀλλήλαις ἀδελφάς, καὶ ἴσχει παῖδας ἐκ μὲν τῆς Ἀττάλην, ἐκ δὲ τῆς Ἄδραμυν νόθους, ἐκ δὲ τῆς αὐτοῦ ἀδελφῆς γνήσιον Ἀλυάττην. [Exc. de virt. et vit. p. 453.]

62 Ὅτι Ἀλυάττης ὁ Σαδυάττεω υἱός, βασιλεὺς Λυδῶν, ἕως μὲν νέος ἦν, ὑβριστὴς ἦν καὶ ἀκόλαστος, ἐκβὰς δὲ εἰς ἄνδρα σωφρονέστατος καὶ δικαιότατος. ἐπολέμησε δὲ Σμυρναίοις, καὶ εἷλεν αὐτῶν τὸ ἄστυ. [Exc. de virt. et vit. p. 453.]

Ὅτι Ἀλυάττης ὁ Κροίσου πατὴρ τοῦ Λυδῶν 63
βασιλέως ἐπὶ Καρίαν στρατεύων περιήγγειλε τοῖς ἑαυτοῦ στρατὸν ἄγειν εἰς Σάρδεις ἐν ἡμέρᾳ τακτῇ, ἐν οἷς καὶ Κροίσῳ, ὅστις ἦν αὐτοῦ πρεσβύτατος τῶν παίδων, ἄρχων ἀποδεδειγμένος Ἀδραμυττείου καὶ Θήβης πεδίου. ὁ δέ, ὥς φασιν, ὑπὸ ἀκολασίας οὐχ οἷός τε ἦν καί πως διεβέβλητο πρὸς τὸν πατέρα. βουλόμενος δὲ ἐν τῷδε τῷ ἔργῳ ἀπολύσασθαι τὰς αἰτίας, καὶ ἀπορῶν ὁπόθεν μισθώσαιτο ἐπικούρους, μισθωτοῖς γὰρ ἐχρῶντο, ἦλθεν ἐπὶ Σαδυάττην τὸν ἔμπορον, πλουσιώτατον Λυδῶν ὄντα, δανείζεσθαι βουλόμενος. ὁ δὲ αὐτὸν πρῶτον μὲν ἀναμένειν ἐκέλευσε πρὸ τῶν θυρῶν, ἄχρι ἂν λούσηται· μετὰ δὲ ἐντυγχάνοντι ἀποκρίνεται ὅτι πολλοὶ παῖδες εἶεν Ἀλυάττῃ, οἷς πᾶσιν εἰ δεήσοι αὐτὸν ἀργύριον διδόναι, οὐκ ἐξαρκέσει· οὔκουν δοῦναι δεομένῳ. Κροῖσον δὲ ἀποτυχόντα τἀνθρώπου εἰς Ἔφεσον ἀφικέσθαι κατὰ ζήτησιν ἀργυρίου. καὶ τότε μὲν εὔξασθαι τῇ Ἀρτέμιδι, εἰ βασιλεύσειε, τὸν οἶκον ἅπαντα καθιερώσειν τοῦ ἐμπόρου. ἦν δέ τις Κροίσῳ φίλος, ἀνὴρ Ἴων ὄνομα Παμφάης, υἱὸς Θεοχαρίδου εὖ μάλα εὐπόρου. οὗτος ὁρῶν τὴν Κροίσου σπουδήν, ἐδεήθη τοῦ πατρὸς χιλίους στατῆρας δοῦναί οἱ πάσῃ μηχανῇ· τυχὼν δὲ παρ' αὐτοῦ δίδωσι Κροίσῳ. ἀνθ' ὧν μέγαν τε αὐτὸν Κροῖσος ὕστερον ἐποίησε βασιλεὺς γενόμενος καὶ εἰς τὴν ἀκρόπολιν εἰσαγαγὼν ἅμαξαν αὐτῷ ἔδωκε μεστὴν χρυσίου· τὸν δὲ τοῦ ἐμπόρου οἶκον Ἀρτέμιδι καθιέρωσε, καὶ αὐτὰ τὰ θεμέλια ἀποδόμενος διὰ τὴν εὐχήν, ὡς μηδὲν λείποιτο. ὁ δὲ Κροῖσος τοὺς χιλίους λαβὼν χρυσοῦς, στράτευμά τε ἤγειρε καὶ πρῶτος εἰς τὴν κυρίαν ἡμέραν ἄγων ἔδειξε τῷ πατρὶ καὶ συνεισέβαλεν εἰς

τὴν Καρίαν, κρείττων τε ἐξ ἐκείνου τοῦ ἔργου τῶν αὐτὸν διαβαλλόντων γίγνεται. [Exc. de virt. et vit. p. 453—454.]

64 Ὅτι ἐν τῇ Ἀσίᾳ τελευτήσαντος τοῦ Μήδων βασιλέως ἐκδέχεται τὴν ἀρχὴν Ἀστυάγης ὁ παῖς, ὅντινα μετὰ Ἀρβάκην λόγος ἔχει γενναιότατον γεγονέναι. ἐπὶ τούτου βασιλεύοντος ἡ μεγάλη γίγνεται μεταβολή, καθ' ἣν εἰς Πέρσας ἐκ Μήδων περιῆλθεν ἡ ἀρχή, δι' αἰτίαν τοιάνδε. νόμος ἐγένετο ἐν Μήδοις, ὅστις πένης τροφῆς ἕνεκα προσίοι ἀνδρὶ εὐπόρῳ, ἑαυτὸν διδοὺς ὅπως τρέφοιτό τε καὶ ἀμπέχοιτο, ἴσα καὶ δοῦλον νομίζεσθαι ἐκείνου· ἢν δὲ μὴ παρέχῃ ταῦτα ὁ λαβών, ἐξεῖναι παρ' ἄλλον ἀποχωρεῖν. προσέρχεται δή τις μειρακίσκος, ὄνομα Κῦρος, Μάρδος γένος, θεράποντι βασιλείῳ ὃς ἦν ἐπὶ τοῖς καλλύνουσι τὰ βασίλεια. ἦν δὲ ὁ Κῦρος Ἀτραδάτου παῖς, ὅστις ἐλῄστευεν ὑπὸ πενίας. ἡ δὲ γυνὴ αὐτοῦ, Ἀργόστη ὄνομα, ἡ Κύρου μήτηρ, αἰπολοῦσα ἔζη. ἐκδίδωσιν οὖν αὐτὸν ὁ Κῦρος ἐπὶ τῷ τρέφεσθαι τῷ ἀνδρί, καὶ ἐκάλλυνε τὰ βασίλεια καὶ ἦν ἐπιμελητής. βελτίω οὖν αὐτῷ στολὴν ὁ ἐπιστάτης δίδωσι, καὶ ἐκ τῶν ἔξω εἰσήγαγεν εἰς τοὺς εἴσω καλλύνοντας παρὰ βασιλεῖ, καὶ τῷ τούτων ἐπιστάτῃ συνίστησι. χαλεπὸς δ' ἦν οὗτος καὶ ἐμαστίγου πολλάκις Κῦρον· καὶ ὃς ἀφίσταται παρὰ τὸν λυχνοφόρον· κἀκεῖνος αὐτὸν ἠγάπα καὶ προσάγεται πλησίον βασιλέως, ἵν' ἐν τοῖς λυχνοφοροῦσιν αὐτῷ εἴη. εὐδοκιμῶν δὲ καὶ ἐν τούτοις μετῆλθε παρὰ Ἀρτεμβάρην, ὅστις τῶν οἰνοχόων ἐπεστάτει καὶ αὐτὸς βασιλεῖ ὤρεγε πιεῖν τὴν φιάλην. ὁ δὲ αὐτὸν προθύμως δέχεται καὶ οἰνοχοεῖν κελεύει τοῖς

ὁμοτραπέζοις βασιλέως. οὐ πολλοῦ δὲ χρόνου, ἐπεὶ ἑώρα αὐτὸν Ἀρτεμβάρης εὖ καὶ ἐπιστρεφῶς διακονοῦντα καὶ τὴν φιάλην εὐσχημόνως ἐπιδιδόντα, πυνθάνεται βασιλεὺς Ἀρτεμβάρου ὁπόθεν εἴη ὁ νεανίσκος, ὡς καλῶς οἰνοχοεῖ. ὁ δ' εἶπεν, Ὦ δέσποτα, σὸς δοῦλος, Πέρσης γένος, ἐκ τῶν Μάρδων, τροφῆς δὲ χάριν ἑαυτὸν δεδωκώς μοι. ἦν δὲ ὁ Ἀρτεμβάρης πρεσβύτης· καί ποτε δεῖται βασιλέως, ἐπεὶ ἐπύρεττε, μεθεῖναι αὐτὸν εἰς οἶκον ἔστ' ἂν ὑγιάνῃ. ἀντὶ δ' ἐμαυτοῦ, ἔφη, ὁ νεανίσκος ὅδε, Κῦρον λέγων, ὃν σὺ ἐπαινεῖς, οἰνοχοήσει· υἱὸν δ' αὐτὸν κἀγὼ ποιήσομαι, εὐνοῦχος ὤν, εἴ σοι τῷ δεσπότῃ οἰνοχοῶν καταθύμιος γένοιτο. ταῦτα ἐπῄνει ὁ Ἀστυάγης· καὶ ὁ μὲν ἀπελύετο, πολλὰ ἐντειλάμενος Κύρῳ καὶ φιλοφρονησάμενος ὡς ἂν υἱῷ. ὁ δὲ παρεστὼς βασιλεῖ τήν τε φιάλην ἐδίδου καὶ ᾠνοχόει νύκτα καὶ ἡμέραν, ὑπέφαινέ τε πολλὴν σωφροσύνην καὶ ἀνδρείαν. ὁ δ' Ἀρτεμβάρης ἐκ τῆς νόσου ταύτης θνήσκει υἱοποιησάμενος τὸν Κῦρον. δίδωσιν οὖν αὐτῷ ὁ Ἀστυάγης ὡς ἂν υἱεῖ τὸν σύμπαντα βίον Ἀρτεμβάρεω καὶ ἄλλα πολλὰ δῶρα, μέγας τε ἦν καὶ ὄνομα αὐτοῦ πάντῃ διεφέρετο.

Ἦν δὲ Ἀστυάγῃ θυγάτηρ πάνυ γε γενναία καὶ 65
εὐειδής, ἥντινα Σπιτάμᾳ δίδωσι τῷ Μήδῳ ἐπὶ προικὶ πάσῃ Μηδίᾳ. Κῦρος δὲ μεταπέμπεται τόν τε πατέρα Ἀτραδάταν καὶ Ἀργόστην τὴν μητέρα ἐκ Μάρδων. οἱ δὲ ἧκον ἐπ' αὐτῷ μεγάλῳ ὄντι. ἐξηγήσατο δ' αὐτῷ καὶ ἡ μήτηρ ὄνειρον, ὡς κυοῦσα αὐτὸν δόξαι κοιμηθεῖσα ἐν τῷ ἱερῷ, ἡνίκα ἐν Μάρδοις ἦν αἰπολοῦσα. Ἔδοξα γάρ, ἔφη, οὐρῆσαι τοσοῦτον κυοῦσα, ὦ Κῦρε, σὲ ὥστε ποταμοῦ μεγά-

λου ῥεύματι ὅμοιον γενέσθαι τὸ πλῆθος τοῦ οὔρου καὶ κατακλύσαι πᾶσαν τὴν Ἀσίαν, ῥυῆναι δὲ αὐτὸ ἄχρι θαλάττης. καὶ ὁ πατὴρ ἀκούσας κελεύει τοῖς ἐν Βαβυλῶνι Χαλδαίοις ὑπερθεῖναι. Κῦρος δὲ τὸν λογιώτατον αὐτῶν καλέσας ἐξηγήσατο· καὶ ὃς ἀποκρίνεται μέγα τε εἶναι τὸ προφαινόμενον ἀγαθὸν καὶ τὴν πρώτην αὐτῷ τιμὴν φέρον ἐν Ἀσίᾳ· δεῖν δὲ κρύπτειν, ὡς μὴ Ἀστυάγης ἀκούσῃ· κάκιστα γὰρ σέ τε ἀποκτενεῖ κἀμὲ τὸν κριτῆρα αὐτοῦ. ὤμοσαν δὲ ἀλλήλοις μηδενὶ κατερεῖν τὴν ὄψιν μεγάλην τε οὖσαν καὶ οἵαν οὐκ ἄλλην. ἐκ τούτου πολὺ μείζων ὁ Κῦρος γενόμενος σατράπην τὸν αὐτοῦ πατέρα Περσῶν ἐποίησε καὶ τὴν μητέρα πλούτῳ τε καὶ δυνάμει Περσίδων πρώτην.

Καδούσιοι δὲ τότε πολέμιοι ἦσαν βασιλεῖ, ἄρχοντα ἔχοντες Ὀναφέρνην, ὅστις προδιδοὺς τὸ ἔθνος τὰ βασιλέως ἐφρόνει, καὶ πέμψας ἄγγελον παρὰ Ἀστυάγην ᾐτεῖτο ἄνδρα πιστόν, ὡς σὺν αὐτῷ βουλεύσειε τὰ περὶ τῆς προδοσίας. καὶ ὃς ἐκπέμπει Κῦρον, ὡς ἂν πάντα συμπράξειεν· ἡμέρᾳ δὲ τετταρακοστῇ ὥρισεν αὐτῷ παρ᾽ αὐτὸν εἰς Ἐκβάτανα ἀνελθεῖν. καὶ ὁ τοῦ ὀνείρου κριτὴς παρεθάρρυνεν αὐτὸν εἰς Καδουσίους ἀπελθεῖν, καὶ φρονήματος ἐνεπίμπλη. εἰσῄει δὲ Κῦρον, ἅτε φύσει γενναῖον καὶ μεγαλόφρονα, ὡς χρὴ θεοῦ συλλαμβανομένου Πέρσας ἀποστῆσαι καὶ Ἀστυάγην πειρᾶσθαι τῆς ἀρχῆς παύειν, πιστεύειν τε τῷ Βαβυλωνίῳ τὰ θεῖα κάλλιστα ἐξεπισταμένῳ. ἐθάρρυνον δὲ ἀλλήλους· ὁ μὲν Βαβυλώνιος Κῦρον ὅτι εἱμαρμένον εἴη αὐτὸν καταλῦσαι Ἀστυάγην καὶ τὴν ἐκείνου βασιλείαν ἑλεῖν, καὶ τοῦτ᾽ αὐτὸς ἄριστα γιγνώσκειν· ὁ δ᾽ αὖ Κῦρος τὸν Βαβυλώνιον, ὅτι μεγάλων αὐτὸν κατα-

ξιώσει γενομένων τούτων, ἐὰν αὐτὸς βασιλεὺς γένηται. ἐνεθυμεῖτο δὲ ὡς καὶ Ἀρβάκης παύσας Σαρδανάπαλλον πρότερον τὴν ἐκείνου τιμὴν ἀφέλοιτο. καίτοι οὔτε Μῆδοι κρείττους Περσῶν, οἷς ἐκεῖνος ἐπίστευσεν, οὔτε Ἀρβάκης φρονιμώτερος ἐμοῦ· τύχη δὲ καὶ μοῖρα κἀμοὶ προδείκνυσιν, ὥσπερ ἄρα κἀκείνῳ. ταῦτα ἐνθυμουμένῳ ὑπήντησε μεμαστιγωμένος ἀνὴρ κόπρον ἐν κοφίνῳ ἐκφέρων, ἐπειδὴ ἐν τοῖς ὅροις γίγνεται Καδουσίων· οἰωνισάμενος καθυπερτίθεται τῷ Βαβυλωνίῳ. ὁ δὲ ἐκέλευσε πυθέσθαι τίς τε εἴη ὁ ἀνὴρ καὶ ποδαπὸς τὸ γένος. πυθομένῳ δὲ Κύρῳ ἀποκρίνεται ἐκεῖνος ὅτι Πέρσης εἴη Οἰβάρας ὄνομα. καὶ ὃς ἥσθη πάνυ· ὁ γὰρ οἰβάρας δύναται Ἑλλάδι γλώττῃ ἀγαθάγγελος. ἔφη δ᾽ ὁ Βαβυλώνιος πρὸς Κῦρον καὶ τἄλλα σύμβολα εἶναι ἄριστα, ὅτι τε Πέρσης ἐστί σοι πολίτης καὶ ὅτι κόπρον ἱππίαν φέρει, ἥτις πλοῦτον καὶ δύναμιν προσημαίνει, ὥσπερ καὶ τοὔνομα λέγει. ταχὺ δὲ τὸν ἄνθρωπον ὁ Κῦρος μεταλαμβάνει, συνεῖναί τε ἐκέλευεν αὐτῷ· ὁ δὲ πείθεται.

Ἐκ τούτου παρὰ Ὀναφέρνην εἰς Καδουσίους ἦκε, καὶ πίστεις λαμβάνει τε καὶ δίδωσι περὶ τῆς προδοσίας· ἐπανῄει τε εἰς Μηδίαν· τὸν δὲ Οἰβάραν ἵππῳ τε καὶ στολῇ Περσίδι καὶ θεραπείᾳ ἐτίμησεν, εἶχέ τε πέλας, τὴν γνώμην ὁρῶν ἀγαθόν, καὶ ἅμα τοῦ Βαβυλωνίου κελεύοντος διαλέγεσθαι αὐτῷ. ἐκ δὲ τοῦ κατ᾽ ὀλίγον ἑταιριζόμενος ἐποιεῖτο καὶ σύμβουλον καί ποτ᾽ εἰς λόγους ἦλθε τοιούτους ὡς ἄχθοιτο ὁρῶν Πέρσας ὑπὸ Μήδων κακουμένους, καὶ ταῦτα οὐδὲν χείρους ὄντας τὰς φύσεις. καὶ ὁ Οἰβάρας εἶπεν, Ὦ Κῦρε, οὐ γάρ ἐστιν ἀνὴρ τὰ νῦν μεγαλόφρων τε καὶ μεγαλογνώμων, ὃς παῦσαι Μή-

δους ἐθελήσει τῶν κρειττόνων ἄρχειν ἀξιοῦντας. καὶ Κῦρος ἔφη, Πῶς οὐκ ἔστιν, ὦ Οἰβάρα; Ἔστι μὲν ἴσως, ἀλλὰ πολλῇ καὶ κακῇ ἀτολμίᾳ χρῆται, δι' ἣν οὐδὲν δρᾷ δυνάμενος. καὶ ὁ Κῦρος ἐκπειρώμενος, Εἰ δὲ φανείη τολμητὴς ἀνήρ, πῶς ἂν δύναιτο τοῦτο κατεργάζεσθαι; ὁ δὲ ἀποκρίνεται, Πρῶτον μὲν Καδουσίους προσαγαγόμενος ἐθέλοντας· Πέρσας μὲν γὰρ φιλοῦσι, Μήδους δὲ πάνυ μισοῦσι· ἔπειτα δὲ καὶ Πέρσας θαρρύνας τε καὶ ὁπλίσας περὶ τετταράκοντα ὄντας μυριάδας, καὶ ἀσμένως ἂν ἐθελήσαντας δι' ἃ πάσχουσιν ὑπὸ Μήδων· ἐπιτηδειοτάτη δ' αὐτοῖς πρὸς τοῦτο καὶ ἡ χώρα πετρώδης τε καὶ ὀρεινὴ οὖσα, ἐφ' ἣν εἰ στρατεύειν Μῆδοι θέλοιεν, κακῶς ἀπαλλάξουσι. Κῦρος δὲ ἠρώτα,[1] Εἰ ἀνὴρ φανείη ταῦτα δρῶν, συνανακινδυνεύσεις αὐτῷ; καὶ ὅς, Εἰ γάρ, ὦ Ζεῦ, ἔφη, μάλιστα μὲν σὺ εἴης ὁ τούτοις ἐγχειρῶν, ἐπειδὴ καὶ ὁ σὸς πατὴρ ἄρχει Περσῶν καὶ σὺ ἐν αὐτοῖς ἰσχυρότατος εἶ καὶ δυνατώτατος· εἰ δὲ μή, ὅστις οὖν εἴη.

Ἐκ τούτου τὸ ὅλον βούλευμα ἐκκαλύπτει τε αὐτῷ ὁ Κῦρος καὶ συμβούλῳ χρῆται, ὁρῶν ἄνδρα φρόνιμον καὶ ἀνδρεῖον καὶ ἐν αὐτῷ πάσας ἔχοντα τὰς ἐλπίδας. καὶ ὃς συνεπῄνει τε καὶ συνεξώτρυνε, γνώμας τε ἀγαθὰς ὑφηγεῖτο, καὶ ὡς χρὴ πέμψαντα παρὰ Ἀτραδάταν τὸν πατέρα κελεύειν ὁπλίζειν Πέρσας, τῷ λόγῳ μέν, ὡς ἕτοιμοι εἶεν βασιλεῖ ἐπὶ Καδουσίους, τῷ ἔργῳ δ' εἰς ἀπόστασιν· ἔπειτα ὡς χρὴ παρὰ Ἀστυάγου αἰτησάμενον ἡμέρας ἐλθεῖν αὐτὸν εἰς τὴν Περσίδα, ὡς ἱερὰ εὐκταῖα θύσειεν ὑπὲρ βασιλέως καὶ τῆς ἐκείνου σωτηρίας, ἅμα δὲ καὶ τοῦ πατρός, ἐπειδὴ φαύλως ἔχει ὑπὸ νόσου. εἰ δὲ ταῦτα πράξει, ἐγχειρητέον ἔσται τῷ σύμπαντι ἀν-

δρείως. οὔτοι δεινόν, ὦ Κῦρε, καὶ ἀποκινδυνεύειν τῇ ψυχῇ μεγάλοις ἐγχειροῦντα ἔργοις, καὶ παθεῖν, εἰ δέοι, τοῦτο ὃ καὶ μηδὲν δρῶντας ἀναμένει παθεῖν. ἥσθη τε οὖν ὁ Κῦρος ἐπὶ τῇ γενναιότητι τοῦ ἀνδρὸς καὶ ἅμα θαρρύνων αὐτὸν καὶ τὸν ὄνειρον ἐξηγήσατο τῆς μητρὸς καὶ τὴν τοῦ Βαβυλωνίου γνώμην, ἣν εἶπε περὶ αὐτοῦ. καὶ ὁ Οἰβάρας ἅτε ἀγχίνους πολὺ μᾶλλον αὐτὸν ἐξώτρυνε, καὶ διεκελεύσατο φυλάττειν τὸν Βαβυλώνιον, ὡς μὴ ἐξάγγελος εἴη βασιλεῖ τοῦ ὀνείρου, εἰ ἄρα κτείνειν αὐτὸν οὐχ ὑπομένοις, ὅπερ ἦν ἄριστον. καὶ ὁ Κῦρος, Ἀποτρόπαιον ἂν εἴη τοῦτό γ', εἶπεν. συνεσιτοῦντο δὴ καὶ συνῆσαν Κύρῳ τὸ ἀπὸ τοῦδε ὅ τε Οἰβάρας καὶ ὁ Βαβυλώνιος. ἐν δέει δὲ ὢν ὁ Πέρσης μὴ κατείποι πρὸς Ἀστυάγην ὁ Βαβυλώνιος περὶ τοῦ ὀνείρου, προσεποιήσατο ἱερὰ πάτρια νύκτωρ ἐπιτελεῖν τῇ σηλήνῃ, καὶ τὸν Κῦρον ᾔτησε θύματά τε καὶ οἶνον καὶ οἰκέτας καὶ στρώματα καὶ τἄλλα ὧν ἔδει. ἠξίου δὲ Κῦρον προστάξαι τοῖς θεραπεύουσι πείθεσθαι αὐτῷ. καὶ ὃς προσέταξέ τε καὶ τῆς θυσίας οὐ μετεῖχεν, Οἰβάρα τεχνήσαντος, ὃς παρασκευάζεται τά τε ἄλλα* νύκτα καὶ στιβάδας βαθείας, ἐφ' ὧν εὐωχήσονται, καὶ βόθρον ὤρυξεν ἐν τῇ αὐτοῦ σκηνῇ βαθύτατον. ἐπεὶ δὲ πάντα ἔπραξε, καὶ εὐώχησε τὸν Βαβυλώνιον καὶ ἐμέθυσεν, ὑπέρ τε τὸν βόθρον αὐτῷ κοίτην στορέσας, ὡς κατακλίνει εἰς ταύτην, ὦσεν αὐτὸν εἰς τὸν βόθρον κάτω. συνενέβαλε δ' αὐτῷ καὶ τὸν οἰκέτην. καὶ ἅμα ὄρθρῳ Κύρου ἀπάραντος συνωδοιπόρει. οὐ πολὺ δὲ προελθόντων ἐπεζήτει τὸν ἄνθρωπον ὁ Κῦρος· ὁ δὲ τὸ μὲν πρῶτον ἔφη καταλελοιπέναι αὐτὸν ἔτι καθεύδοντα ὑπ' μέθης. ἀγανακτοῦντος δὲ τοῦ Κύρου,

τελευταῖον ἐξέφηνε τἀληθές, ὅτι αὐτὸν κτείνειεν, ἐπειδὴ μόνην σωτηρίαν ταύτην ἑώρα Κύρῳ τε καὶ τοῖς Κύρου παισὶν οὖσαν. λυπηθεὶς δὲ πάνυ ἐπὶ τοῖς πραχθεῖσι καὶ ἔτι μᾶλλον ὀργισθείς, ὥστε μηκέτι προσίεσθαι τὸν Οἰβάραν, αὖθις μετέγνω καὶ προσίετο αὐτόν, συμβούλῳ τε ἐχρῆτο περὶ τῶν αὐτῶν. τῇ δὲ τοῦ Βαβυλωνίου γυναικὶ πυνθανομένῃ περὶ τοῦ ἀνδρὸς εἶπεν ὅτι ὑπὸ λῃστῶν ἀποθάνοι καὶ ταφείη ὑπ᾽ αὐτοῦ.

Μετὰ ταῦτα παρὰ βασιλέα Κῦρον ἀφικόμενον ὁ Οἰβάρας ἀνεδίδασκε καὶ ἐξώτρυνε τὰ βεβουλευμένα σφίσι δρᾶν καὶ πέμπειν τε εἰς Πέρσας καὶ ὁπλίζειν τοὺς ἐν ἥβῃ καὶ Ἀστυάγην αἰτεῖσθαι δοῦναί οἱ ἡμέρας, ὡς τά τε ἱερὰ θύσειε καὶ τὸν πατέρα νοσηλεύσειε φαύλως ἔχοντα. καὶ ὃς ἐπείσθη, τά τε ἄλλα ὅπλα ἤδη ἦν ἕτοιμα, καὶ ὁ Κῦρος ᾐτήσατο βασιλέα τὴν εἰς Πέρσας πορείαν, ὡς ἂν θύσειεν ὑπὲρ αὐτοῦ καὶ ἅμα τὸν πατέρα ἴδοι κακῶς διακείμενον. ὁ δ᾽ οὐ δίδωσιν αὐτῷ, ὑπ᾽ εὐνοίας συνεῖναι θέλων· καὶ ὁ Κῦρος ἐν ἀθυμίᾳ ἦν, Οἰβάρᾳ δηλώσας ὡς ἀποτύχοι. καὶ ὃς ἐθάρρυνέ τε αὐτὸν καὶ αὖθις ἐκέλευε διαλιπόντα ἡμέρας δεῖσθαι αὐτοῦ περὶ τῶν αὐτῶν, καὶ τεύξεσθαι· δεῖν δὲ αὐτὸν θεραπεύειν προθύμως ἔτι μᾶλλον ἢ πρότερον· καὶ ἐπειδὰν δέηται, δι᾽ ἑτέρου τοῦτο ποιεῖν καὶ μὴ δι᾽ αὐτοῦ. καὶ ὁ μὲν ᾤχετο παρὰ βασιλέα, καὶ τοῦ πιστοτάτου τῶν εὐνούχων ἔχρῃζεν, ὅταν ᾖ καιρός, αἰτήσασθαι αὐτῷ τὴν ἄφοδον παρὰ βασιλέως. ἐπεὶ δ᾽ οὖν ποτε ἑώρα βασιλέα ἐν πολλῇ ὄντα παιδιᾷ τε καὶ μέθῃ, νεύει τῷ εὐνούχῳ λέγειν βασιλεῖ ὅτι Κῦρος ὁ σὸς δοῦλος αἰτεῖται δοῦναι αὐτῷ ἃ ποτε ηὔξατο ἱερὰ ὑπὲρ σοῦ, ὅπως ἂν αὐτῷ εὐμενὴς εἴης, θῦσαι, καὶ

ἅμα τὸν αὑτοῦ πατέρα ἀσθενῶς ἔχοντα θεραπεῦσαι. καὶ ὁ Ἀστυάγης καλέσας Κῦρον καὶ μειδιῶν δίδωσιν αὐτῷ πέντε μῆνας ὁρίσας, τῷ δὲ ἕκτῳ ὅπως ἐπάνεισι διεκελεύσατο. προσκυνήσας δὲ καθίστησιν ἀνθ' ἑαυτοῦ Τιριδάτην οἰνοχόον βασιλεῖ, ἄχρι αὐτὸς ἐπανίοι. καὶ ἐπὶ Οἰβάραν ἦλθε γεγηθώς. ὁ δὲ αὐτὸν ἐκέλευσε παραχρῆμα τοὺς οἰκέτας συλλαβόντα ἀπαίρειν· καί, ἦν γὰρ αὐτὸς ἐπιμελητής, νύκτωρ πάντα εὐτρεπίζει, καὶ ἕωθεν εἰς Πέρσας ὡδοιπόρουν.

Ἡ δὲ τοῦ Βαβυλωνίου γυνή, ὃς τὸν ὄνειρον ἔφρασε Κύρῳ, προακηκοῦΐα ἄρα παρὰ τοῦ ἑαυτῆς ἀνδρός, ἡνίκα ἔζη, τὴν ὄψιν, ἥντινα ἔφρασεν αὐτῷ ὁ Κῦρος, τελευτήσαντος αὐτῇ τοῦ ἀνδρός, συνοικοῦσα τῷ ἐκείνου ἀδελφῷ, ἐκείνης τῆς νυκτὸς συναναπαυομένη ἤκουσε παρ' αὐτοῦ ὅτι μέγας γενόμενος οἴχοιτο εἰς Πέρσας. ἡ δὲ αὐτῷ διηγεῖτο τὸν ὄνειρον καὶ τὴν τούτου κρίσιν, ὥσπερ ἤκουσε παρὰ τοῦ ἀνδρός, ὅτι βασιλεύσει Περσῶν. ἕωθεν δὲ ὁ ἀνὴρ ἀτρέμας ἧκε παρὰ Ἀστυάγην, καὶ δι' εὐνούχου ἐρόμενος τὴν εἴσοδον πάντα ἀπήγγειλεν, ὡς ἀκούσειε παρὰ τῆς ἑαυτοῦ γυναικὸς ὅτι Κύρῳ ἐφράσθη ὑπὸ τοῦ ἀποθανόντος ἀνδρὸς θεολόγου πρὸς τὴν γενομένην ὄψιν βασιλεύσειν, καὶ τοῦδ' ἕνεκα ἄρα οἴχοιτο νῦν εἰς Πέρσας· οὐ πάλαι δὲ καὶ αὐτὸς ταῦτα ἀκηκοέναι παρὰ τῆς γυναικός· ἕκαστά τε σαφῶς διηγήσατο τοῦ τε ὀνείρου καὶ τῆς κρίσεως. ἐν πολλῇ δὲ συννοίᾳ γενόμενος Ἀστυάγης πυνθάνεται τοῦ Βαβυλωνίου, Τί οὖν χρὴ ποιεῖν. καὶ ὃς ἔφη, Κτείνειν αὐτὸν ἐπανελθόντα ὡς τάχιστα· μόνη γὰρ αὕτη ἀσφάλεια ἂν εἴη. καὶ ὁ Ἀστυάγης ἀποπεμψάμενος τὸν Βαβυλώνιον μᾶλλόν τι ἐνεθυμεῖτο

τοὺς λόγους αὐτοῦ. εἰς ἑσπέραν δὲ πίνων ἐκάλεσε τὰς παλλακίδας ὀρχηστρίδας οὔσας καὶ κιθαριστρίας. καί τις αὐτῶν ᾄδουσα τοιαῦτ᾽ ἔλεγεν· Ὁ λέων τὸν κάπρον ὑποχείριον ἔχων μεθῆκεν εἰς τὰς λόχμας τὰς ἑαυτοῦ, ἐν αἷς κρείττων γενόμενος πολὺν πόνον αὐτῷ παρέξει καὶ τελευτῶν ἀσθενέστερος ὢν τὸν ἰσχυρότερον χειρώσεται. ταῦτα ᾀδούσης ἐνθύμια ποιεῖται Ἀστυάγης ὡς τείνοντα εἰς αὐτόν. παραχρῆμα δὴ πέμπει τριακοσίους ἱππεῖς ἐπὶ Κῦρον, οἷς ἐκέλευσεν αὐτὸν καλεῖν ὀπίσω· ἐὰν δὲ μὴ ἕπηται, τὴν κεφαλὴν ἀποτεμόντας φέρειν. οἱ δὲ ᾤχοντο, καὶ ἐπεὶ ἧκον παρὰ Κῦρον, ἔφρασαν τὰ παρ᾽ Ἀστυάγους. κἀκεῖνος, οἷα ἀγχίνους, εἴτε καὶ Οἰβάρα παραινοῦντος, εἶπε, Πῶς δ᾽ οὐ μέλλω ἰέναι, καλοῦντός με τοῦ δεσπότου; ἀλλὰ νῦν δειπνήσατε, πρῷ δὲ χωρῶμεν παρ᾽ αὐτόν. οἱ δὲ ταῦτ᾽ ἐπῄνουν. ὁ δὲ περσικῶς ὀπτὰ κατακόψας ἱερεῖα πολλὰ καὶ βοῦς εἱστία τε τοὺς ἱππέας καὶ μεθύσκει· προαπέσταλτο δ᾽ αὐτῷ ἄγγελος ἐπὶ τὸν πατέρα χιλίους ἱππεῖς κελεύων καὶ πεντακισχιλίους πεζοὺς ἐπὶ Ὕρβαν [ἑτέραν] πόλιν πέμπειν πρὸ ὁδοῦ κειμένην, τοὺς δὲ ἄλλους Πέρσας ὁπλίζειν αὐτὸν τάχιστα, ὡς βασιλέως προστάττοντος· οὐ γὰρ ἐδήλωσε τὸν ὄντα λόγον. μετὰ δὲ τὴν ἑστίασιν εἰς ὕπνον τετραμμένων τῶν ἱππέων, αὐτός τε καὶ Οἰβάρας ὡς εἶχον ἀναβάντες ἐπὶ τοὺς ἵππους ἀπελαύνουσι, καὶ ἧκον ἐπὶ τὴν Ὕρβαν ἔτι νυκτὸς οὔσης, καὶ ὁπλίζει ὁ Κῦρος τοὺς ἀνθρώπους· καὶ συντάττει τοὺς παρὰ τοῦ πατρὸς ἥκοντας ὡς εἰς μάχην· καὶ αὐτὸς μὲν ἐν τῷ δεξιῷ ἵσταται, καὶ Οἰβάρας ἐν τῷ εὐωνύμῳ. καὶ ὁ οἶνος ἀνῆκε τοὺς παρὰ Ἀστυάγους πρῷ οἰχομένους, καὶ γνόντες Κῦρον διώκουσι. καὶ ἧκον ἐπὶ τὴν

Ὕρβαν, καὶ εὑρόντες ἐκτεταγμένον συμβάλλουσιν ὡς εἰς μάχην. ἔνθα δὴ πρῶτον πολλὴν ἀνδρείαν Κῦρος ἀποδειξάμενος σὺν τρισὶ Πέρσαις κτείνει περὶ διακοσίους καὶ πεντήκοντα ἱππεῖς· οἱ λοιποὶ δὲ φεύγουσι παρὰ βασιλέα καὶ ταῦτ' ἀπήγγειλαν. καὶ ὃς παίσας τὸν μηρὸν εἶπεν, Οἴμοι ὡς πολλάκις γνοὺς ὅτι οὐ χρὴ κακοὺς εὖ ποιεῖν ὅμως ἁλίσκομαι χρηστοῖς λόγοις, ὃς καὶ Κῦρον παραλαβὼν πολλῶν κακῶν, Μάρδον γένος, ὄλεθρον τηλικοῦτον ἐποίησα κατ' ἐμαυτοῦ· ἀλλὰ καὶ νῦν οὐ χαιρήσει οἷς θέλει. καὶ παραχρῆμα καλέσας τοὺς στρατηγοὺς ἀθροίζειν τὴν δύναμιν κελεύει. ὡς δὲ ἠθροίσθη εἰς ἑκατὸν μὲν πεζῶν μυριάδας, εἴκοσι δὲ ἱππέων, τρισχίλια δὲ ἅρματα, ἐλαύνει δὴ ἐπὶ Πέρσας. ἤδη δὲ ὥπλιστο κἀκεῖ ἡ στρατιὰ ὑπὸ Ἀτραδάτα πάντα εἰδότος· καὶ ἦσαν τριάκοντα μὲν μυριάδες πελταστῶν, πέντε δὲ ἱππέων, ἑκατὸν δὲ δρεπανηφόρα. ὡς δ' εἰς ἓν συνῆλθε Κύρῳ ἡ δύναμις, παρήνεσε τούτοις. (Ζήτει ἐν τῷ Περὶ δημηγοριῶν.)

Ἐκ τούτου αὐτός τε καὶ ὁ πατὴρ συνέταττον τὴν στρατιάν, καὶ Οἰβάραν ἀποφαίνουσι στρατηγόν, ἄνδρα εὔβουλον καὶ δραστήριον, ὃς προκαταλαμβάνει μὲν τὰς στενοπόρους ὁδοὺς φυλακαῖς καὶ τὰ ὑψηλότατα ὄρη, τὸν δὲ ὄχλον ἐκ τῶν ἀτειχίστων πόλεων εἰς τὰς εὐερκεῖς μετάγει, φρούρια δ' ἔνθα καιρὸς ἦν ἐντειχίζεται. καὶ μετ' οὐ πολὺ Ἀστυάγης ἧκε σὺν τῷ στρατῷ καὶ τὰς ἐρήμους πόλεις κατέκαε· πρός τε Κῦρον καὶ Ἀτραδάταν τὸν τούτου πατέρα πέμψας ἀγγέλους πολλά τε ἠπείλει καὶ ὠνείδιζε τὴν πρόσθεν πτωχείαν, ἐκέλευέ τε ὀπίσω παρ' αὐτὸν ἰέναι· δήσειν γὰρ αὐτοὺς μόνον παχείαις

πέδαις· εἰ δ' ἁλώσεσθε, ἔφη, κακοὶ κακῶς ἀπολεῖσθε. Κῦρος δὲ ἀποκρίνεται, Οὐκ ἄρα σύγε, ὦ Ἀστυάγη, θεῶν δύναμιν ᾔδεις, ὃς οὐκ οἶσθα ὑπ' ἐκείνων τοὺς αἰπόλους ἐποτρυνθέντας ἐπὶ τάδε τὰ πράγματα, οἷς ἑπόμεθα καὶ εἰς τέλος. καὶ σοὶ παραινοῦμεν, ὅτι ἡμᾶς καὶ αὐτὸς εὖ ποιεῖς, θεῶν σοι ἐπὶ νοῦν ἀγόντων, ἀπάγειν τὴν δύναμιν καὶ Πέρσας ἐλευθέρους ἐᾶν κρείττους ὄντας Μήδων, ὡς μὴ τούτους δουλούμενος καὶ τῶν ἄλλων ἀποστερηθῇς. ταῦτα μὲν ὁ ἄγγελος ἀπήγγειλεν Ἀστυάγῃ. ὁ δὲ ὑπ' ὀργῆς ἐξάγει τὴν στρατιὰν εἰς μάχην καὶ ἐκτάττει· αὐτὸς δὲ προεκάθητο ἀναβὰς δισμυρίους ἔχων δορυφόρους περὶ αὑτόν. ἀντεπῄει δὲ Κῦρος, Ἀτραδάταν μὲν ἐν τῷ δεξιῷ κέρατι στήσας, Οἰβάραν δὲ ἐπὶ τῷ εὐωνύμῳ· αὐτὸς δὲ μετὰ τῶν ἀρίστων Περσῶν ἐν μέσοις ἦν. ἔνθα δὴ δεινὴ μάχη γίγνεται· καὶ πλείστους ἔκτεινε Κῦρός τε καὶ οἱ λοιποὶ Πέρσαι. σχετλιάζων δὲ ὁ Ἀστυάγης ἐπὶ τοῦ θρόνου εἶπεν, Οἴμοι τοὺς τερμινθοφάγους Πέρσας οἷα ἀριστεύουσι. καὶ πέμψας ἠπείλει τοῖς ἑαυτοῦ στρατηγοῖς, εἰ μὴ νικήσουσι τοὺς ἀντίους, οἷα πείσονται. κάμνοντες δὲ οἱ Πέρσαι ὑπὸ πλήθους πολεμίων, ἄλλων ἐπ' ἄλλοις ἐπιόντων, κλιθέντες ἀναχωροῦσιν εἰς τὴν πόλιν, πρὸ ἧς ἐμάχοντο. εἰσεληλυθότας δὲ θαρρύνει Κῦρος καὶ Οἰβάρας, ὅτι πλείους αὐτοὶ τῶν πολεμίων ἔκτειναν, καὶ παραινοῦσι παῖδας μὲν καὶ γυναῖκας εἰς Πασαργάδας τὸ ὑψηλότατον ὄρος ἀποπέμψαι, αὐτοὶ δὲ εἰς αὔριον ἐπεξελθόντες τέλος ἐπιθεῖναι τῇ νίκῃ. πρόκειται γὰρ ἀποθανεῖν πᾶσιν, ἢν ἡττηθῶσι· βέλτιον οὖν μετὰ τοῦ νικᾶν, εἰ δέοι, παθεῖν τοῦτο ἐλευθερώσαντας τὴν πατρίδα. ταῦτα εἰπόντος ὀργὴ καὶ μῖσος παρίσταται

*πᾶσιν ἐπὶ Μήδους, καὶ ἕωθεν ἀναπετάσαντες τὰς πύλας ἐπεξίασιν, ἡγουμένου Κύρου καὶ Οἰβάρα. ὁ δὲ Ἀτραδάτας μετὰ τῶν γερόντων ἐρρύετο τὸ τεῖχος. ἀντεπίασι δ' αὐτοῖς παμπληθεῖς Ἀστυάγου φάλαγγες σὺν ὁπλίταις τε καὶ ἱππεῦσι. τῶν δὲ μαχομένων, δέκα μυριάδες ἐκπεριελθοῦσαι, καθότι ἔταξεν Ἀστυάγης, αἱροῦσι τὴν πόλιν, καὶ Ἀτραδάταν πολλὰ τραύματα ἔχοντα ἀναπέμπουσιν ἐπὶ βασιλέα. γενναίως δὲ καὶ οἱ Κύρου ἀγωνισάμενοι φεύγουσιν εἰς Πασαργάδας, ἔνθ' αὐτοῖς τέκνα καὶ γύναια ἦν. Ἀστυάγης δ', ἐπεὶ αὐτῷ ἤχθη ὁ Κύρου πατήρ, ἔφη, Οὗτος σὺ δή μοι ἀγαθὸς σατράπης, ὃν ἐγὼ ἐτίμησα, τοιαύτας χάριτας σὺν τῷ υἱεῖ ἀπεδώκατε. καὶ ὁ γέρων ἐκπνέων ἤδη, Οὐκ οἶδ', ἔφη, ὦ δέσποτα, ὅστις θεῶν τήνδε τὴν μανίαν ἐφώρμησε τῷ ἐμῷ παιδί· σὺ δὲ μή με αἰκίζου· ταχὺ γὰρ ὧδ' ἔχων ἀποπνεύσομαί σοι. καὶ ὃς ᾤκτειρεν αὐτὸν καὶ εἶπε, Τοιγαροῦν σὲ ἐγὼ οὐδὲν αἰκίζομαι· οἶδα γὰρ ὅτι, εἴ σοι ὁ υἱὸς ἐπείσθη, οὐκ ἂν ταῦτα ἔπραξεν· ἀλλὰ καὶ θάπτειν σε κελεύω, οὐκ ὄντα ἐκείνῳ ὁμογνώμονα τῆσδε τῆς μανίας. τοῦτον μὲν οὖν ταχὺ ἀποθανόντα θάπτουσι καλῶς τε καὶ εὖ, Ἀστυάγης δ' ἐπὶ Πασαργάδας ᾔει διὰ στενῶν ὁδῶν. ἔνθεν δὲ καὶ ἔνθεν λισσάδες πέτραι καὶ τὸ ὄρος διερρωγὸς καὶ ὑψηλὸν ἦν· διὰ μέσου δὲ διεξιέναι * τὰς ἐμβολὰς Οἰβάρας ἐφύλαττε μυρίοις ὁπλίταις· καὶ ἦν ἀνέλπιστον διελθεῖν. ἃ δὴ γνοὺς Ἀστυάγης ἐκπεριελθεῖν ἐκέλευσε τὸ ὄρος δέκα μυριάσιν ἐν κύκλῳ. εἰς ὃ εὑρόντες ἄνοδον ἀνέρπουσι καὶ τῶν ἄκρων κρατοῦσιν. Οἰβάρας δὲ καὶ Κῦρος σὺν τῷ πλήθει παντὶ νύκτωρ φεύγουσιν εἰς ἄλλο ὄρος χθαμαλώτερον τοῦ προτέρου. εἵπετο δ' ἡ Ἀστυάγεω στρατιὰ κατ'*

ἴχνος διώκουσα ἤδη μεταξὺ τῶν ὀρῶν· ἐπῄει δὴ τοὐντεῦθεν ἡ Ἀστυάγου στρατιὰ καὶ ἐμάχετο πρὸς τὸ ὄρος ἀνιοῦσα μάλα εὐψύχως. κρημνοὶ δὲ πάντῃ καὶ δρυμῶνες ἀγριέλαιοί τε συνεχεῖς ἦσαν. γενναιότερον δ' ἔτι οἱ Πέρσαι ἐμάχοντο, ἔνθεν Κύρου ἐξορμῶντος, ἔνθεν Οἰβάρα, ὃς αὐτοὺς ἀνεμίμνησκε παίδων τε καὶ γυναικῶν καὶ πατέρων γερόντων καὶ μητέρων, οὓς αἰσχρὸν εἶναι προέσθαι Μήδοις κατατέμνειν τε καὶ αἰκίζεσθαι. ὧν ἀκούοντες ἐρρώσθησαν καὶ σὺν ἀλαλαγμῷ κατιόντες χερμάσι τε ἀπλέτοις βάλλοντες ἀπορίᾳ βελῶν καταράττουσιν ἐκ τοῦ ὄρους τοὺς πολεμίους. καί πως Κῦρος ἧκεν ἐπὶ τὸ πατρῷον οἴκημα αὐτοῦ, ἔνθα αἰπολῶν, ὅτε μικρὸς ἦν, ηὐλίζετο. καὶ ἐν αὐτῷ ἔθυσεν ἄλευρα πυρῶν καὶ κυπαρίττου ὕλην δάφνην τε ὑποθεὶς καὶ πῦρ ἐκτρίψας, ὡς ἂν κεκμηκώς τε καὶ ἀπόρως ἔχων. εὐθὺς δ' ἐκ δεξιᾶς ἤστραψέ τε καὶ ἐβρόντησε. Κῦρος δὲ προσεκύνησεν, οἰωνοί τε αἴσιοι ἐπὶ τῷ οἰκήματι αὐτῷ ἑζόμενοι προύφαινον ὡς εἰς Πασαργάδας ἀφίκοιτο. ἐκ τούτου δειπνοποιησάμενοι ἐκοιμήθησαν ἐν τῷ ὄρει· καὶ τῇ ὑστεραίᾳ τοῖς οἰωνοῖς πίσυνοι ἐπικαταβαίνουσιν ἐπὶ τοὺς πολεμίους ἀνέρποντας ἤδη εἰς τὸ ὄρος· καὶ ἐπὶ πολὺ ἐμάχοντο ἀνδρείως. Ἀστυάγης δὲ πεντακισμυρίους ἐπὶ τὸ ὄρος ἔστησε, καὶ ἐκέλευσε τοὺς κατορρωδοῦντας τὴν ἀνάβασιν ἢ φεύγοντας κάτω παρὰ σφᾶς ἀποκτείνειν. ἀνάγκῃ οὖν ἐχόμενοι Μῆδοί τε καὶ οἱ σύμμαχοι ἀνῄεσαν ἐπὶ τοὺς Πέρσας. ἔνθα δὴ κάμνοντες ὑπὸ τοῦ πλήθους οἱ Πέρσαι ἔφευγον ἐπὶ ἄκρον τὸ ὄρος, ἵνα αὐτοῖς αἱ γυναῖκες ἦσαν. αἱ δὲ ἀνασυράμεναι ἐβόων, Ποῖ φέρεσθε, ὦ κάκιστοι; ἢ ἄχρι ἂν εἰσδύητε ἔνθεν γεγένησθε;

διὰ τοῦτο ὁ Περσῶν βασιλεύς, ἐπειδὰν εἰς Πασαργάδας ἀφίκηται, χρυσὸν δωρεῖται ταῖς Περσίσι γυναιξί, καὶ διανέμει ἑκάστῃ εἰς λόγον δραχμῶν εἴκοσιν Ἀττικῶν. οἱ δὲ Πέρσαι, καταισχυνθέντες ἐφ' οἷς εἶδον καὶ ἤκουσαν, ἐπιστρέφουσιν ἐπὶ τοὺς πολεμίους, καὶ μιᾷ ὁρμῇ ἐπιδραμόντες ἐξωθοῦσιν αὐτοὺς ἐκ τοῦ ὄρους, καὶ κτείνουσιν οὐκ ἐλάττους ἑξακισμυρίων. οὐ μὴν Ἀστυάγης ἀφίστατο τῆς πολιορκίας. (Ζήτει ἐν τῷ Περὶ ἀνδραγαθημάτων καὶ στρατηγημάτων.)

Πολλῶν δὲ ἀναμεταξὺ γενομένων, Κῦρος εἰς τὴν σκηνὴν παρελθὼν καθίζει εἰς τὸν τοῦ Ἀστυάγου θρόνον, καὶ τὸ σκῆπτρον αὐτοῦ λαμβάνει. ἐπευφήμησαν δὲ Πέρσαι, καὶ Οἰβάρας αὐτῷ τὴν κίδαριν ἐπιτίθησιν εἰπών, Ἀξιώτερος σύγε εἶ Ἀστυάγου φορεῖν, θεοῦ σοι διδόντος δι' ἀρετὴν καὶ Πέρσας Μήδων βασιλεύειν. τὰ δὲ χρήματα πάντα εἰς Πασαργάδας ἀπεκόμιζον, ἐφεστῶτος Οἰβάρα καὶ ἐπιμελητὰς καταστήσαντος. ἄπλετα δ' ἦν καὶ ἃ οἱ Πέρσαι κατὰ σκηνὰς τρεπόμενοι τὰς ἰδιωτικὰς ὠφελοῦντο. καὶ μετ' οὐ πολὺ φήμη πάντῃ διήγγελλε τὴν Ἀστυάγου φυγήν τε καὶ ἧτταν, ὥς τε ὑπὸ θεῶν του ἀφῄρηται τὸ κράτος. καὶ οἱ ἄνθρωποι ἀφίσταντο καὶ τὰ ἔθνη. πρῶτος δ' Ὑρκανῶν ἄρχων Ἀρτασύρας ἧκε πέντε μυριάδας ἄγων στρατιᾶς Κύρῳ, καὶ προσεκύνησεν, εἶπέ τε ἑτοίμην εἶναι καὶ ἄλλην πολὺ πλείω, ἐὰν κελεύῃ· μετὰ δὲ ὅ τε Παρθυαῖος καὶ Σάκης καὶ Βάκτριος καὶ οἱ ἐφεξῆς ἅπαντες, ὥστε σπουδὴν εἶναι ἑκάστου τὸν ἕτερον φθῆναι θέλοντος· εἰς ὃ Ἀστυάγης μετ' ὀλίγων ὑπολειφθείς, ἐπάξαντος μετ' οὐ πολὺ Κύρου καὶ ἐκ τοῦ ῥᾳστου

μάχῃ κρατήσαντος, αἰχμάλωτος ἐπ᾽ αὐτὸν ἄγεται. [Exc. Esc. p. 107—126 Fed., 397—406 Müll.]

66 Ὅτι Κῦρος ὁ Περσῶν βασιλεὺς ἦν φιλοσοφίας, εἴ καί τις ἄλλος, ἔμπειρος, ἥντινα παρὰ τοῖς μάγοις ἐπαιδεύθη. δικαιοσύνην τε καὶ ἀλήθειαν ἐδιδάχθη κατὰ δή τινας πατρίους νόμους καθεστῶτας Περσῶν τοῖς ἀρίστοις· ὃς καὶ μετεπέμψατο Σίβυλλαν ἐξ Ἐφέσου τὴν Ἡροφίλαν καλουμένην χρησμῳδόν. [Exc. de virt. et vit. p. 454.]

67 Ὅτι ὁ Κῦρος ᾤκτειρε Κροῖσον τὸν Λυδῶν βασιλέα διὰ τὴν οἰκείαν ἀρετήν. καὶ οἱ Πέρσαι μεγάλην ἔνησαν πυρὰν Κροίσῳ ὑπό τινα ὑψηλὸν τόπον, ἀφ᾽ οὗ ἔμελλον θεάσασθαι τὰ γιγνόμενα. καὶ μετὰ ταῦτα Κῦρος ἐξήλαυνεν ἐκ τῶν βασιλείων, καὶ ἡ δύναμις παρῆν ἅπασα πολύς τε ὅμιλος καὶ ἀστῶν καὶ ξένων. ὀλίγον δ᾽ ὕστερον θεράποντες ἦγον Κροῖσον δεσμώτην καὶ Λυδῶν δὶς ἑπτά. ὡς δὲ ἐθεάσαντο Λυδοί, πάντες οἰμωγῇ καὶ στόνῳ ἀνέκλαυσαν καὶ ἔπληξαν τὰς κεφαλάς. τοσοῦτος δ᾽ ἐκ τοῦ ὁμίλου κωκυτὸς ἀνδρῶν ὁμοῦ καὶ γυναικῶν μετὰ δακρύων καὶ βοῆς ἐξερράγη ὁπόσος οὐδὲ ἁλισκομένης τῆς πόλεως. τότε δή τις ἂν καὶ τὴν τύχην ᾤκτειρε καὶ Κροῖσον ἐθαύμασε τῆς πρὸς τῶν ἀρχομένων φιλίας. ὥσπερ γὰρ πατέρα ἑορακότες, οἱ μὲν τὰς ἐσθῆτας κατερρήγνυντο, οἱ δὲ τὰς κόμας ἔτιλλον· γυναικῶν δὲ ἡγεῖτο πληθὺς μυρία μετὰ κόμμου καὶ ὀλολυγῆς. αὐτὸς δὲ ἄδακρυς προσῄει καὶ σκυθρωπός. ὁ δὲ Κῦρος, ταῦθ᾽ ὁρῶν γιγνόμενα οὐκ ἐκώλυε, βουλόμενος καὶ τοὺς Πέρσας οἶκτόν τινα λαβεῖν αὐτοῦ. ὡς δὲ προϊὼν κατ᾽ αὐτὸν γίγνεται ὁ Κροῖσος, ἐφθέγξατο μεγάλῃ τῇ φωνῇ, δεόμενος τὸν υἱὸν ἀχθῆναί οἱ, ὃς οὐκέτι ἐπεπήρωτο

τὴν φωνὴν ἐξ ὅτου τὸ πρῶτον ἐφθέγξατο· ἦν δὲ καὶ τἄλλα ἔμφρων. καὶ ὁ Κῦρος ἄγειν ἐκέλευσε τὸν νεανίσκον. καὶ μετ' οὐ πολὺ ἤγετο ἑπομένων αὐτῷ πολλῶν ἡλίκων. θεασάμενος δὲ αὐτὸν ὁ Κροῖσος οὐκέθ' ὁ αὐτὸς ἦν, ἀλλὰ τότε πρῶτον ἐδάκρυσεν. ὁ δὲ μετὰ κλαυθμοῦ καὶ βοῆς προσπεσὼν πρὸς τὸν Κροῖσον, Οἴμοι, πάτερ, ἔφη, ἡ σὴ εὐσέβεια. πότε δ' ἡμῖν οἱ θεοὶ βοηθήσουσιν; ἀποβλέψας δ' εἰς τοὺς Πέρσας, Ἄγεθ', ἱκετεύω, κἀμέ, ἔφη, καὶ συνεμπρήσατε· κἀγὼ γὰρ ὑμῶν πολέμιός εἰμι οὐχ ἧττον ἢ ὁ πατήρ. καὶ ὁ Κροῖσος, Οὐκ ὀρθῶς λέγεις, ἔφη· μόνος γὰρ ἐγὼ τὸν πόλεμον ἐξήνεγκα, ὑμῶν δὲ καὶ τῶν ἄλλων Λυδῶν οὐδείς· ἐμὲ χρὴ καὶ τὴν τιμωρίαν ὑποσχεῖν. ἐμφὺς δὲ τῷ πατρὶ ὁ νεανίσκος οὐκέτ' ἀφίστατο, ἀλλ' ὀδυρόμενος οἴκτου πάντα ἐνέπλησεν, ἀφιεὶς καὶ ἑαυτὸν ἄγειν ἐπὶ τὴν πυράν. Οὐ γάρ, ἔφη, λελείψομαι τῆς σῆς μοίρας, ὦ πάτερ. εἰ δὲ νῦν με οὐκ ἐάσουσιν, ἀλλὰ προσδέχου με ταχύ. τίς ἔτι μοι τοῦ βίου ἐλπίς; ὃς ἐξ ὅτουπερ ἔφυν, ἀεὶ μὲν σοὶ λυπηρὸς ἦν, ἀεὶ δ' ἐμαυτῷ· εὐτυχοῦντα μὲν ἐκτρεπόμενος ὑπ' αἰδοῦς διὰ τὴν τότε μοι προσοῦσαν ἀφωνίαν τε καὶ λώβην· ἐπεὶ δ' ἠρξάμεθα δυστυχεῖν, τότε πρῶτον φωνὴν ἀφῆκα, καί μ' εἰς τοῦτο μόνον ἤρθρωσαν οἱ θεοί, ὅπως ἂν ὀδύρωμαι τὰς ἡμετέρας τύχας. ὁ δὲ πατὴρ ἔφη, Μὴ παντάπασιν, ὦ παῖ, σεαυτὸν ἀπογνῷς νέος ὢν καὶ πολλοῦ σοι ἔτι ὄντος τοῦ λοιποῦ βίου, ὅπου γε κἀμοὶ λείπεταί τις ἐλπὶς ὅμως καὶ οὔπω τὰκ θεοῦ ἀπέγνων. ἅμα δὲ ταῦτα λέγοντι προσήεσαν πολλαὶ δή τινες θεράπαιναι κομίζουσαι ἐσθῆτας πολυτελεῖς καὶ ἄλλον παμπληθῆ κόσμον, ὃν ἔπεμψαν συγκατακαησόμενον αἱ τῶν Λυδῶν γυναῖκες. ὁ δὲ τὸν υἱὸν

ἀσπασάμενος καὶ τοὺς ἐν κύκλῳ Λυδοὺς ἐπὶ τὴν πυρὰν ᾔει. καὶ ὁ παῖς εἰς τὸν οὐρανὸν τὰς χεῖρας ἀνασχών, Ὦναξ Ἄπολλον καὶ θεοὶ πάντες, εἶπεν, οὕστινας ὁ πατὴρ ἐτίμησεν, ἔλθετε νῦν γε ἡμῖν βοηθοί, καὶ μὴ συναπόληται Κροίσῳ πᾶσα ἀνθρώπων εὐσέβεια. ταῦτα εἰπόντα μόλις ἀπῆγον οἱ φίλοι, βιαζόμενον εἰς τὴν πυρὰν αὐτὸν συνεμβαλεῖν. Κροίσου δ' ἐπιβαίνοντος αὐτῇ ἡ Σίβυλλα ὤφθη ἀπό τινος ὑψηλοῦ χωρίου καταβαίνουσα, ἵνα καὶ αὐτὴ ἴδῃ τὰ γιγνόμενα. ταχὺ δὲ θροῦς διῆλθε διὰ τοῦ ὁμίλου ὅτι ἡ χρησμῳδὸς ἥκει, καὶ ἐν προσδοκίᾳ πάντες ἐγένοντο, εἴ τι πρὸς τὰ παρόντα θειάσειε. καὶ μετ' οὐ πολὺ ἔντονόν τι φθεγξαμένη βοᾷ,

Ὦ μέλεοι, τί σπεύδεθ' ἃ μὴ θέμις; οὐ γὰρ ἐάσει
Ζεὺς ὕπατος Φοῖβός τε καὶ ὁ κλυτὸς Ἀμφιάραος·
ἀλλά γ' ἐμῶν ἐπέων πείθεσθ' ἀψευδέσι χρησμοῖς,
μὴ κακὸν οἶτον ὅλοισθε παρὲκ θεοῦ ἀφραίνοντες.

Κῦρος δ' ἀκούσας ἐκέλευσε τὸν χρησμὸν διενεγκεῖν τοῖς Πέρσαις, ὡς ἐξευλαβηθεῖεν ἁμαρτάνειν. οἱ δὲ δι' ὑποψίας γίγνονται, ὡς κατεσκευασμένης, ἵνα σώζοιτο Κροῖσος. ὁ δ' ἤδη ἐπὶ τῆς πυρᾶς καθῆτο, καὶ σὺν αὐτῷ δὶς ἑπτὰ Λυδῶν, ἐν κύκλῳ δὲ Πέρσαι δᾷδας ἔχοντες ἧπτον. σιωπῆς δὲ γενομένης, στενάξας μέγα εἰς τρὶς ἀνακαλεῖται πάλιν Σόλωνα. καὶ ὁ Κῦρος ἀκούσας ἐδάκρυσεν, ἐννοηθεὶς ὅτι νεμεσητὰ δρᾷ, βιασθεὶς ὑπὸ Περσῶν, βασιλέα οὐδὲν ἐλάττονα αὐτοῦ τὴν τύχην ἐμπιμπράς. συνεκέχυντο δ' ἤδη καὶ Πέρσαι τὰ μὲν ἐπὶ Κροίσῳ, τὰ δὲ ἐπὶ τῷ σφετέρῳ βασιλεῖ, ὁρῶντες ἀχθόμενον ἐπὶ τούτοις, καὶ ἐκέλευον σώζειν Κροῖσον. ταχὺ δὲ

Κῦρος πέμψας τοὺς ἀμφ' αὐτὸν ἐκέλευσε τὴν πυρὰν σβεννύναι. ἡ δ' ἥθετο, καὶ οὐκέθ' οἷόντ' ἦν ἐξημμένῃ ἐν κύκλῳ προσιέναι τινά. φασὶ δὴ Κροῖσον ἐμβλέψαντα εἰς τὸν οὐρανὸν εὔξασθαι τῷ Ἀπόλλωνι ἀρῆξαί οἱ, ὁπότε καὶ οἱ ἐχθροὶ σώζειν αὐτὸν ἐθέλοντες οὐ δύναιντο. χειμὼν δ' ἔτυχε τὴν ἡμέραν ἐκείνην ἐξ ἠοῦς, οὐ μὴν ὑετός γε. Κροίσου δ' εὐξαμένου ζοφερὸς ἐξαίφνης ἀὴρ συνέδραμε νεφούμενος πάντοθεν, βρονταί τε γίγνονται καὶ ἀστραπαὶ συνεχεῖς, τοσοῦτός τε κατερράγη ὑετὸς ὥστε μὴ μόνον τὴν πυρὰν σβεσθῆναι, ἀλλὰ καὶ τοὺς ἀνθρώπους μόλις ἀντέχειν. Κροίσῳ μὲν οὖν ταχὺ στέγασμα πορφυροῦν ὑπερέτειναν· τοῖς δὲ ἀνθρώποις τὰ μὲν ὑπὸ ζόφου καὶ λαίλαπος ταραττομένοις, τὰ δὲ ὑπὸ τῶν ἀστραπῶν, καὶ καταπατουμένοις ὑπὸ τῶν ἵππων, τραχυνομένων πρὸς τὸν ψόφον τῶν βροντῶν, δείματα δαιμόνια ἐνέπιπτε καὶ οἵ τε τῆς Σιβύλλης χρησμοὶ τά τε Ζωροάστρου λόγια εἰσῄει. Κροῖσον μὲν οὖν ἐβόων ἔτι μᾶλλον ἢ πάλαι σώζειν· αὐτοὶ δὲ καταπίπτοντες εἰς γῆν προσεκύνουν, εὐμένειαν παρὰ τοῦ θεοῦ αἰτούμενοι. φασὶ δέ τινες Θαλῆν, προϊδόμενον ἔκ τινων σημείων ὄμβρον γενησόμενον, καὶ ἀναμένειν τὴν ὥραν ἐκείνην. τόν γε μὴν Ζωροάστρην Πέρσαι ἀπ' ἐκείνου διεῖπον μήτε νεκροὺς κάειν μήτ' ἄλλως μιαίνειν πῦρ, καὶ πάλαι τοῦτο καθεστὸς τὸ νόμιμον τότε βεβαιωσάμενοι. Κῦρος δ' εἰς τὰ βασίλεια Κροῖσον ἄγων παρεκάλει τε καὶ ἐφιλοφρονεῖτο, πειθόμενος εἶναι θεοσεβέστατον· ἐκέλευέ τε, εἴ τι βούλεταί οἱ γενέσθαι, μὴ ὀκνεῖν, ἀλλ' αἰτεῖσθαι. ὁ δὲ εἶπεν, Ὦ δέσποτα, ἐπεί μέ σοι θεοὶ ἔδοσαν σύ τε χρηστὰ ἐπαγγέλλεις, αἰτοῦμαί σε δοῦναί μοι πέμψαι Πυθώδε

τὰς πέδας τάσδε, καὶ τὸν θεὸν ἐρέσθαι τί παθὼν ἐξηπάτα με τοῖς χρησμοῖς ἐπάρας στρατεύειν ἐπὶ σὲ ὡς περιεσόμενον, ἐξ ὅτου αὐτῷ τάδε ἀκροθίνια πέμπω, δείξας τὰς πέδας, καὶ τί δήποτε ἀμνημονοῦσι χάριτος οἱ τῶν Ἑλλήνων θεοί. Κῦρος δὲ γελάσας καὶ τάδε ἔφη δώσειν καὶ ἄλλων οὐκ ἀτυχήσειν αὐτὸν μειζόνων. Κῦρος δὲ ὀλίγου χρόνου φίλον ἐπεποίητο Κροῖσον, ἐξιών τε ἐκ Σάρδεων ἀπέδωκε παῖδας καὶ γυναῖκας καὶ σὺν αὐτῷ ἐπήγετο. φασὶ δέ τινες καὶ ἐπιτρέψαι ἂν αὐτῷ τὴν πόλιν, εἰ μὴ ᾤετο νεωτεριεῖν. [Exc. de virt. et vit. p. 454—462.]

68 [Ἐν ᾧ δὲ οὗτοι περὶ ταῦτα ἦσαν, ὁ Φαιστύλος ἀπάγεται πρὸς Ἀμόλιον. δεδοικὼς γὰρ μὴ οὐ πιστὰ δόξῃ τῷ Νεμέτορι λέγειν ὁ Φαιστύλος, ἄνευ σημείων ἐμφανῶν μεγάλου πράγματος μηνυτὴς γενόμενος, τὸ γνώρισμα τῆς ἐκθέσεως τῶν βρεφῶν τὴν σκάφην ἀναλαβὼν ὀλίγον ὕστερον ἐδίωκεν εἰς τὴν πόλιν. διερχόμενον δ᾽ αὐτὸν τὰς πύλας ταραχωδῶς πάνυ, καὶ περὶ πολλοῦ ποιούμενον μηδενὶ ποιῆσαι καταφανὲς τὸ λεγόμενον, τῶν φυλάκων τις καταμαθών, ἦν δὲ πολεμίων ἐφόδου δέος, καὶ τὰς πύλας οἱ μάλιστα πεπιστευμένοι παρὰ τοῦ βασιλέως ἐφρούρουν, συλλαμβάνει δὴ καὶ τὸ κρυπτὸν ὅ,τι δήποτ᾽ ἦν καταμαθεῖν ἀξιῶν ἀποκαλύπτει βίᾳ τὴν περιβολήν. ὡς δὲ τὴν σκάφην ἐθεάσατο καὶ τὸν ἄνθρωπον ἔμαθεν ἀπορούμενον, ἠξίου λέγειν τίς ἡ ταραχὴ καὶ τί τὸ βούλημα τοῦ μὴ φανερῶς εἰσφέρειν σκεῦος οὐδὲν δεόμενον ἀπορρήτου φορᾶς. ἐν δὲ τούτῳ πλείους τῶν φυλάκων συνέρρεον· καί τις αὐτῶν γνωρίζει τὴν σκάφην, αὐτὸς ἐν ἐκείνῃ τὰ παιδία κομίσας ἐπὶ τὸν ποταμόν, καὶ φράζει πρὸς

τοὺς παρόντας. οἱ δὲ συλλαβόντες τὸν Φαιστύλον ἄγουσιν ἐπ' αὐτὸν τὸν βασιλέα καὶ διηγοῦνται τὰ γενόμενα. Ἀμόλιος δέ, ἀπειλῇ βασάνων καταπληξάμενος τὸν ἄνθρωπον, εἰ μὴ λέξει τὰς ἀληθείας ἑκών, πρῶτον μὲν εἰ ζῶσιν οἱ παῖδες ἤρετο· ὡς δὲ ταῦτ' ἔμαθε, τῆς σωτηρίας αὐτοῖς ὅστις ὁ τρόπος ἐγένετο. διηγησαμένου δὲ αὐτοῦ πάντα ὡς ἐπράχθη, Ἄγε δή, φησὶν ὁ βασιλεύς, ἐπειδὴ ταῦτα ἀληθεύσας ἔχεις, φράσον ὅπου νῦν ἂν εὑρεθεῖεν· οὐ γὰρ ἔτι δίκαιοί εἰσιν ἐν βουκόλοις καὶ ἀδόξῳ βίῳ ζῆν, ἔμοιγε ὄντες συγγενεῖς, ἄλλως τε καὶ θεῶν προνοίᾳ σωζόμενοι. Φαιστύλος δὲ τῆς ἀλόγου πρᾳότητος ὑποψίᾳ κινηθεὶς μὴ φρονεῖν αὐτὸν ὅμοια τοῖς λόγοις, ἀποκρίνεται ὧδε· Οἱ μὲν παῖδές εἰσιν ἐν τοῖς ὄρεσι βουκολοῦντες, ὅσπερ ἐκείνων βίος, ἐγὼ δ' ἐπέμφθην παρ' αὐτῶν τῇ μητρὶ δηλώσων ἐν αἷς εἰσι τύχαις. ταύτην δὲ παρὰ σοὶ φυλάττεσθαι ἀκούων, δεήσεσθαι τῆς σῆς θυγατρὸς ἔμελλον, ἵνα με πρὸς αὐτὴν ἀγάγοι. τὴν δὲ σκάφην ἔφερον, ἵν' ἔχω δεικνύναι τεκμήριον ἐμφανὲς ἅμα τοῖς λόγοις. νῦν οὖν ἐπεὶ δέδοκται τοὺς νεανίσκους δεῦρο κομίσαι, χαίρω τε καὶ πέμψον οὕστινας βούλει σὺν ἐμοί. δείξω μὲν οὖν τοῖς ἐλθοῦσι τοὺς παῖδας, φράσουσι δ' αὐτοῖς ἐκεῖνοι τὰ παρὰ σοῦ. ὁ μὲν δὴ ταῦτ' ἔλεγεν, ἀναβολὴν εὑρέσθαι βουλόμενος τοῖς παισὶ τοῦ θανάτου, καὶ ἅμα αὐτὸς ἀποδράσεσθαι τοὺς ἄγοντας, ἐπειδὰν ἐν τοῖς ὄρεσι γένηται, ἐλπίσας. Ἀμόλιος δὲ τοῖς πιστοτάτοις τῶν φίλων ἐπιστείλας κρύφα, οὓς ἂν ὁ συοφορβὸς αὐτοῖς δείξῃ, συλλαβόντας ὡς αὐτὸν ἄγειν, ἀποστέλλει διὰ ταχέων. ταῦτα διαπραξάμενος αὐτίκα γνώμην ἐποιεῖτο καλέσας τὸν ἀδελφὸν ἐν φυλακῇ ἀδέσμῳ ἔχειν, ἕως ἂν εὖ θῆται τὰ παρόντα,

καὶ αὐτὸν ὡς ἐπ' ἄλλῳ δή τινι ἐκάλει. ὁ δὲ ἀποσταλεὶς ἄγγελος εὐνοίᾳ τε τοῦ κινδυνεύοντος καὶ ἐλέῳ τῆς τύχης ἐπιστρέψας κατήγορος γίγνεται Νεμέτορι τῆς Ἀμολίου γνώμης. ὁ δὲ τοῖς παισὶ δηλώσας τὸν κατειληφότα κίνδυνον αὐτοὺς καὶ παρακελευσάμενος ἄνδρας ἀγαθοὺς γενέσθαι, παρῆν ἄγων ὡπλισμένους ἐπὶ τὰ βασίλεια, τῶν τε ἄλλων πελατῶν καὶ ἑταίρων καὶ θεραπείας πιστῆς χεῖρα οὐκ ὀλίγην. ἧκον δὲ καὶ οἱ ἐκ τῶν ἀγρῶν συνελθόντες εἰς τὴν πόλιν, ἐκλιπόντες τὴν ἀγοράν, ἔχοντες ὑπὸ ταῖς περιβολαῖς ξίφη κεκρυμμένα, στῖφος καρτερόν. βιασάμενοι δὲ τὴν εἴσοδον ἀθρόᾳ ὁρμῇ πάντες, οὐ πολλοῖς ὁπλίταις φρουρουμένην, ἀποσφάττουσιν εὐπετῶς Ἀμόλιον, καὶ μετὰ τοῦτο τὴν ἄκραν καταλαμβάνουσι. ταῦτα εἴρηται τοῖς περὶ Φάβιον· ἕτεροι δὲ οὐδὲν τῶν μυθωδεστέρων ἀξιοῦντες ἱστορικῇ γραφῇ προσήκειν, τήν γε ἀπόθεσιν τὴν τῶν βρεφῶν οὐχ, ὡς ἐκελεύσθη τοῖς ὑπηρέταις, γενομένην, ἀπίθανον εἶναί φασι, καὶ τῆς λυκαίνης τὸ τιθασόν, ἣ τοὺς μαστοὺς ἐπεῖχε τοῖς παιδίοις, ὡς δραματικῆς μεστὸν ἀτοπίας διασύρουσιν. ἀντιδιαλλαττόμενοι δὲ πρὸς ταῦτα λέγουσιν ὡς ὁ Νεμέτωρ, ἐπειδὴ τὴν Ἰλουίαν ἔγνω κυοῦσαν, ἕτερα παρασκευασάμενος παιδία νεογνὰ διηλλάξατο τεκούσης αὐτῆς τὰ βρέφη, καὶ τὰ μὲν ὀθνεῖα δέδωκε τοῖς φυλάττουσι τὰς ὠδῖνας ἀποφέρειν, εἴτε χρημάτων τὸ πιστὸν τῆς χρείας αὐτῶν πριάμενος εἴτε διὰ γυναικῶν τὴν ὑπαλλαγὴν ποιησάμενος· καὶ αὐτὰ λαβὼν ὁ Ἀμόλιος ὅτῳ δὴ τρόπῳ ἀναιρεῖ, τὰ δὲ ἐκ τῆς Ἰλουίας γενόμενα περὶ παντὸς ποιούμενος ὁ μητροπάτωρ διασώζεσθαι δίδωσι τῷ Φαιστύλῳ.

69 Ὅτι τοῦ Ῥωμύλου πληθυσμοῦ ἕνεκεν ἀνδρῶν

ἁρπαγὴν ποιησαμένου τῶν παρθένων, ὡς διεβοήθη τὰ περὶ τὴν ἁρπαγὴν τῶν παρθένων καὶ τὰ περὶ τοὺς γάμους εἰς τὰς πλησιοχώρους πόλεις, αἱ μὲν αὐτὸ τὸ πραχθὲν πρὸς ὀργὴν ἐλάμβανον, αἱ δὲ ἀφ' ἧς ἐπράχθη διαθέσεως καὶ εἰς ὃ τέλος ἐχώρησεν ἀναλογιζόμεναι, μετρίως αὐτὸ ἔφερον. κατέσκηψε δ' οὖν ἀνὰ χρόνον εἰς πολέμους, τοὺς μὲν ἄλλους εὐπετεῖς, ἕνα δὲ τὸν πρὸς Σαβίνους μέγαν καὶ χαλεπόν. οἷς ἅπασι τέλος ἐπηκολούθησεν εὐτυχές, ὥσπερ αὐτῷ τὰ μαντεύματα προεθέσπισε, πρὶν ἐπιχειρῆσαι τῷ ἔργῳ, πόνους μὲν καὶ κινδύνους μεγάλους προσημαίνοντα, τὰς δὲ τελευτὰς αὐτῷ ἔσεσθαι καλάς. ἦσαν δὲ αἱ πρῶται πόλεις ἄρξασαι τοῦ πολέμου Καινίνη καὶ ἄλλαι, πρόφασιν μὲν ποιούμεναι τὴν ἁρπαγὴν τῶν παρθένων καὶ τὸ [μὴ] λαβεῖν ὑπὲρ αὐτῶν δίκας· ὡς δὲ τἀληθὲς εἶχεν, ἀχθόμεναι τῇ κτίσει τε καὶ αὐξήσει τῆς Ῥώμης, δι' ὀλίγου πολλῇ γενομένῃ, καὶ οὐκ ἀξιοῦσαι περιιδεῖν κοινὸν ἐπὶ τοῖς περιοίκοις ἅπασι κακὸν φυόμενον. τέως μὲν οὖν πρὸς τὸ Σαβίνων ἔθνος ἀποστέλλουσαι πρέσβεις ἐκείνους ἠξίουν τὴν ἡγεμονίαν τοῦ πολέμου παραλαβεῖν, ἰσχύν τε μεγίστην ἔχοντας καὶ χρήμασι πλείοσι δυναμένους, ἄρχειν τε ἀξιοῦντας τῶν πλησιοχώρων καὶ οὐκ ἐλάχιστα περιυβρισμένους τῶν ἄλλων· τῶν γὰρ ἡρπασμένων αἱ πλείους ἦσαν ἐκείνων. ἐπεὶ δ' οὐδὲν ἐπέραινον, ἀντικαθισταμένων αὐταῖς τῶν παρὰ τοῦ Ῥωμύλου πρεσβειῶν καὶ θεραπευουσῶν λόγοις τε καὶ ἔργοις τὸ ἔθνος, ἀχθόμεναι τῇ τριβῇ τοῦ χρόνου, μελλόντων ἀεὶ τῶν Σαβίνων καὶ ἀναβαλλομένων εἰς χρόνους μακροὺς τὴν περὶ τοῦ πολέμου βουλήν, αὐταὶ καθ' ἑαυτὰς ἔγνωσαν τοῖς Ῥωμαίοις πολεμεῖν, ἀποχρῆν οἰόμεναι τὴν

δύναμιν τὴν οἰκείαν, εἰ καθ' ἓν αἱ τρεῖς γένοιντο, μίαν αἱρῆσαι πόλιν οὐ μεγάλην. ἐβουλεύσαντο μὲν ταῦτα, συνελθεῖν δ' οὐκ ἔφθασαν εἰς ἓν ἅπασαι στρατόπεδον, προεξαναστάντων προχειρότερον τῶν ἐκ τῆς Καινίνης, οἵπερ καὶ μάλιστα ἐδόκουν τὸν πόλεμον ἐνάγειν. ἐξεστρατευμένων δὲ τούτων καὶ δῃούντων τὴν ὅμορον, ἐξαγαγὼν τὴν δύναμιν ὁ Ῥωμύλος ἀφυλάκτοις οὖσιν ἔτι τοῖς πολεμίοις ἀπροσδοκήτως ἐπιτίθεται καὶ τοῦ τε χάρακος αὐτῶν ἀρτίως ἱδρυμένου γίνεται κύριος, τοῖς τε φεύγουσιν εἰς τὴν πόλιν ἐκ ποδὸς ἑπόμενος, οὐδέπω τῶν ἔνδον πεπυσμένων τὴν περὶ τοὺς σφετέρους συμφοράν, τεῖχός τε ἀφύλακτον εὑρὼν καὶ πύλας ἀκλείστους, αἱρεῖ τὴν πόλιν ἐξ ἐφόδου, καὶ τὸν βασιλέα τῶν Καινινητῶν ὑπαντήσαντα σὺν καρτερᾷ χειρὶ μαχόμενος αὐτοχειρίᾳ κτείνει, καὶ τὰ ὅπλα ἀφαιρεῖται. τοῦτον δὲ τὸν τρόπον ἁλούσης τῆς πόλεως, τὰ ὅπλα παραδοῦναι τοὺς ἁλόντας κελεύσας καὶ παῖδας εἰς ὁμηρείαν οὓς ἐβούλετο λαβὼν ἐπὶ τοὺς λοιποὺς ἐχώρει. γενόμενος δὲ καὶ τῆς ἐκείνων δυνάμεως, ἐσκεδασμένης ἔτι κατὰ τὰς προνομάς, τῇ παρ' ἐλπίδας ἐφόδῳ, καθάπερ καὶ τῆς προτέρας, ἐγκρατὴς καὶ τὰ αὐτὰ τοὺς ἁλόντας διαθείς, ἀπῆγεν ἐπ' οἴκου τὴν δύναμιν, ἄγων σκῦλά τε ἀπὸ τῶν ἀποίκων κατὰ τὴν μάχην καὶ ἀκροθίνια θεοῖς λαφύρων. (Τέλος τοῦ ἑβδόμου λόγου τῆς Νικολάου Ἱστορίας. ζήτει τὰ λείποντα Περὶ Ἑλληνικῆς ἱστορίας.) [Exc. de virt. et vit. p. 462—470.]]

70 *Τὸ δὲ νῦν καλούμενον Θρᾳκησίων θέμα πάλαι μὲν καὶ κατ' ἀρχὰς Ἀσία μικρὰ ὠνομάζετο... Θρᾳκήσιοι δὲ ἐπεκλήθησαν ἀπὸ τῆς τοιαύτης αἰτίας. ἐπὶ τῶν ἡμερῶν Ἀλυάττου τοῦ τῶν Λυδῶν βασιλέως*

ἀνήρ τις μετὰ τῆς γυναικὸς καὶ τῶν αὐτοῦ τέκνων ἐκ Μυσίας τῆς τῶν Θρᾳκῶν χώρας ὁρμώμενος, ἧς καὶ Ὅμηρος μνημονεύει λέγων οὕτως,

Μυσῶν τ' ἀγχεμάχων καὶ ἀγαυῶν Ἱππημολγῶν,

διεπέρασεν εἰς τὰ μέρη τῆς Ἀσίας εἰς χώραν τὴν λεγομένην Λυδίαν, καὶ κατῴκησε πλησίον τῆς πόλεως Σάρδεων. τοῦ οὖν βασιλέως πρὸς τῷ τῆς πόλεως τείχει καθεξομένου διήρχετο ἡ γυνὴ τοῦ Θρᾳκὸς ἐπὶ μὲν τῆς κεφαλῆς βαστάζουσα στάμνον, ἐπὶ δὲ τῶν χειρῶν ἠλακάτην καὶ ἄτρακτον, ὄπισθεν δὲ πρὸς τὴν ζώνην ἵππος τις προσεδέδετο. καὶ ἐπὶ μὲν τῆς κορυφῆς ὁ στάμνος ἦν μεστὸς τοῦ ὕδατος, ἐν δὲ ταῖς χερσὶν εἰργάζετο νήθουσα ἐκ τῆς ἠλακάτης τὸν ἄτρακτον, ὄπισθεν δὲ πρὸς τὴν ζώνην ἠκολούθει ὁ ἵππος ἀπὸ τῆς πηγῆς πεποτισμένος. ταύτην ἰδὼν ὁ βασιλεὺς μεγάλως ἐθαύμασε, καὶ ἠρώτησε πόθεν καὶ τίς καὶ ποίας ἐστὶ πόλεως. ἡ δὲ ἀπεκρίνατο Μυσὴ μὲν εἶναι τὸ γένος, Θρᾴκης δ' ἔστιν αὕτη τὸ πολίχνιον. λαβὼν οὖν ὁ βασιλεὺς ἀπὸ τῆς γυναικὸς ἀφορμήν, πρεσβείαν πρὸς τὸν τῆς Θρᾴκης βασιλέα ποιησάμενος, Κότυν ὀνομαζόμενον, ἐκεῖθεν ἔλαβεν ἄνδρας μετοίκους μετὰ γυναικῶν καὶ τέκνων, ὄχλον ἱκανόν. ἐκ τούτου τοῦ γένους ὠνομάσθησαν οἱ τὴν μικρὰν Ἀσίαν οἰκοῦντες Θρᾳκήσιοι, διὰ τὸ εἶναι αὐτοὺς ἐργοπόνους ἐργώδεις τε καὶ χειρώνακτας.... ταύτην δὲ τὴν ἱστορίαν Νικόλαος ὁ Δαμασκηνὸς γράφει ἐν τῷ ιη' (l. η') αὐτοῦ βιβλίῳ, ὁ γεγονὼς ὑπογραφεὺς Ἡρώδου τοῦ βασιλέως. [Constantin Porph. de them. I, 3, p. 22, 13 ed. Bonn.]

Μυρρίνην δὲ τὴν Σαμίαν ἑταίραν Δημήτριος 71
εἶχεν ὁ βασιλεὺς ὁ τῆς διαδοχῆς τελευταῖος, καὶ ἔξω τοῦ διαδήματος κοινωνὸν εἶχε τῆς βασιλείας, ὥς

φησι Νικόλαος ὁ Δαμασκηνός. [Athenæus 13, p. 593, A.]

72 Quia vero Antiochus (Epiphanes) neque iustam fecit templi deprædationem, sed egestate pecuniarum ad hoc accessit, quum non esset hostis, et socios insuper nos suos et amicos aggressus est, nec aliquid dignum derisione illic invenit: multi et digni conscriptores super hoc quoque testantur, Polybius Megalopolitanus, Strabo Cappadox, Nicolaus Damascenus, Timagenes et Castor chronographus et Apollodorus: qui omnes dicunt pecuniis indigentem Antiochum transgressum fœdera Iudæorum et spoliasse templum auro argentoque plenum. [Iosephus C. Apion. 2, 7.]

73 *Ὑρκανὸς δὲ τὸν Δαυίδου τάφον ἀνοίξας, ὃς πλούτῳ τοὺς πώποτε βασιλεῖς ὑπερέβαλλε, τρισχίλια μὲν ἀργυρίου τάλαντα ἐξεκόμισεν, ὁρμώμενος δ' ἀπὸ τούτων πρῶτος Ἰουδαίων ξενοτροφεῖν ἤρξατο. γίνεται δ' αὐτῷ καὶ πρὸς Ἀντίοχον φιλία καὶ συμμαχία· καὶ δεξάμενος αὐτὸν εἰς τὴν πόλιν ἀφθόνως πάντα τῇ στρατιᾷ καὶ φιλοτίμως παρέσχε. καὶ ποιουμένῳ τὴν ἐπὶ Πάρθους αὐτῷ στρατείαν συνεξώρμησεν Ὑρκανός. μάρτυς δὲ τούτων ἡμῖν ἐστι καὶ Νικόλαος ὁ Δαμασκηνός, οὕτως ἱστορῶν· Τρόπαιον δὲ στήσας Ἀντίοχος ἐπὶ τῷ Λύκῳ ποταμῷ, νικήσας Ἰνδάτην τὸν Πάρθων στρατηγόν, αὐτόθι ἔμεινεν ἡμέρας δύο, δεηθέντος Ὑρκανοῦ τοῦ Ἰουδαίου διά τινα ἑορτὴν πάτριον, ἐν ᾗ τοῖς Ἰουδαίοις οὐκ ἦν νόμιμον ἐξοδεύειν. καὶ ταῦτα μὲν οὐ ψεύδεται λέγων.* [Iosephus Ant. Iud. 13, 8, 4.]

74 *Πτολεμαῖος δὲ μετὰ τὴν νίκην προσκαταδραμὼν τὴν χώραν, ὀψίας ἐπιγενομένης ἔν τισι κώμαις τῆς*

Ἰουδαίας κατέμεινεν· ἃς γυναικῶν εὑρὼν μεστὰς καὶ νηπίων ἐκέλευσε τοὺς στρατιώτας ἀποσφάττοντας αὐτοὺς καὶ κρεουργοῦντας, ἔπειτα εἰς λέβητας ζέοντας ἐνιέντας τὰ μέλη ἀπάρχεσθαι. τοῦτο δὲ προσέταξεν, ἵν' οἱ διαφυγόντες ἐκ τῆς μάχης καὶ πρὸς αὐτοὺς ἐλθόντες σαρκοφάγους ὑπολάβωσιν εἶναι τοὺς πολεμίους, καὶ διὰ τοῦτο ἔτι μᾶλλον αὐτοὺς καταπλαγῶσι ταῦτ' ἰδόντας. λέγει δὲ καὶ Στράβων καὶ Νικόλαος ὅτι τοῦτον αὐτοῖς ἐχρήσαντο τὸν τρόπον, καθὼς κἀγὼ προείρηκα. [Iosephus Ant. Iud. 13, 12, 6.]

Νικόλαος δὲ ὁ Δαμασκηνὸς ἐν τῇ ἐνενηκοστῇ 75
καὶ ἕκτῃ βίβλῳ ἱστορεῖ περὶ αὐτῶν, λέγων οὕτως· Ἔστιν ὑπὲρ τὴν Μιλυάδα μέγα ὄρος κατὰ τὴν Ἀρμενίαν, Βᾶρις λεγόμενον· εἰς ὃ πολλοὺς συμφυγόντας ἐπὶ τοῦ κατακλυσμοῦ λόγος ἔχει περισωθῆναι, καί τινα ἐπὶ λάρνακος ὀχούμενον ἐπὶ τὴν ἀκρώρειαν ὀκεῖλαι, καὶ τὰ λείψανα τῶν ξύλων ἐπὶ πολὺ σωθῆναι. γένοιτο δ' ἂν οὗτος, ὅντινα καὶ Μωυσῆς ἀνέγραψεν ὁ Ἰουδαίων νομοθέτης. [Iosephus Ant. Iud. 1, 3, 6.]

Νικόλαος δ' ὁ Περιπατητικὸς ἐν τῇ τρίτῃ πρὸς 76
ταῖς ἑκατὸν τῶν Ἱστοριῶν Μιθριδάτην φησὶ τὸν Ποντικὸν βασιλέα προθέντ' ἀγῶνα πολυφαγίας καὶ πολυποσίας, ἦν δὲ τὸ ἆθλον τάλαντον ἀργυρίου, ἀμφότερα νικῆσαι. τοῦ μέντοι ἄθλου ἐκστῆναι τῷ μετ' αὐτὸν κριθέντι Καλαμόδρυϊ τῷ Κυζικηνῷ ἀθλητῇ. [Athenæus 10, p. 415, E.]

Μιθριδάτου δ' ἀναγράφει κόλακα Σωσίπατρον, 77
ἄνθρωπον γόητα, Νικόλαος ὁ Περιπατητικός. [Athenæus 6, p. 252, F.]

Νικόλαος δ' ὁ Περιπατητικὸς καὶ Ποσειδώνιος ὁ Στωικὸς ἐν ταῖς Ἱστορίαις ἑκάτερος τοὺς Χίους φησὶν ἐξανδραποδισθέντας ὑπὸ Μιθριδάτου τοῦ Καππάδοκος παραδοθῆναι τοῖς ἰδίοις δούλοις δεδεμένους, ἵν' εἰς τὴν Κόλχων γῆν κατοικισθῶσιν. [Athenæus 6, p. 266, E.]

78 *Νικόλαος δ' ὁ Δαμασκηνὸς ἐν τῇ τετάρτῃ πρὸς ταῖς ἑκατὸν τῶν Ἱστοριῶν, Περὶ Ἀπάμειαν, φησί, τὴν Φρυγιακὴν κατὰ τὰ Μιθριδατικὰ σεισμῶν γενομένων ἀνεφάνησαν περὶ τὴν χώραν αὐτῶν λίμναι τε αἳ πρότερον οὐκ οὖσαι καὶ ποταμοὶ καὶ ἄλλαι πηγαὶ ὑπὸ τῆς κινήσεως ἀνοιχθεῖσαι· πολλαὶ δὲ καὶ ἠφανίσθησαν. τοσοῦτόν τε ἄλλο ἀνέβλυσεν αὐτῶν ἐν τῇ γῇ πικρόν τε καὶ γλαυκὸν ὕδωρ, πλεῖστον ὅσον ἀπεχούσης τῶν τόπων τῆς θαλάσσης, ὥστε ὀστρέων πλησθῆναι τὸν πλησίον τόπον ἅπαντα καὶ ἰχθύων τῶν τε ἄλλων, ὅσα τρέφει ἡ θάλασσα.* [Athenæus 8, p. 332, F.]

79 *Νικόλαος δ' ἐν τῇ ἑβδόμῃ καὶ ἑκατοστῇ τῶν Ἱστοριῶν Σύλλαν φησὶ τὸν Ῥωμαίων στρατηγὸν οὕτω χαίρειν μίμοις καὶ γελωτοποιοῖς, φιλόγελων γενόμενον, ὡς καὶ πολλὰ γῆς μέτρα αὐτοῖς χαρίζεσθαι τῆς δημοσίας. ἐμφανίζουσι δ' αὐτοῦ τὸ περὶ ταῦτα ἱλαρὸν αἱ ὑπ' αὐτοῦ γραφεῖσαι σατυρικαὶ κωμῳδίαι τῇ πατρίῳ φωνῇ.* [Athenæus 5, p. 261, C.]

80 *Νικόλαος δ' ὁ Δαμασκηνὸς ἐν τῇ ὀγδόῃ τῶν Ἱστοριῶν πρὸς ταῖς ἑκατὸν περὶ τὰς Ἄλπεις λίμνην τινά φησιν εἶναι πολλῶν σταδίων οὖσαν, ἧς περὶ τὸν κύκλον πεφυκέναι δι' ἔτους ἄνθη ἥδιστα καὶ εὐχρούστατα, ὅμοια ταῖς καλουμέναις κάλχαις.* [Athenæus 15, p. 682, A.]

Νικόλαος δ' ὁ Περιπατητικὸς ἐν τῇ δεκάτῃ καὶ ἑκατοστῇ τῶν Ἱστοριῶν Λεύκολλόν φησιν ἀφικόμενον εἰς Ῥώμην καὶ θριαμβεύσαντα, λόγον τε ἀποδόντα τοῦ πρὸς Μιθριδάτην πολέμου, ἐξοκεῖλαι εἰς πολυτελῆ δίαιταν ἐκ τῆς παλαιᾶς σωφροσύνης, τρυφῆς τε πρῶτον εἰς ἅπαν Ῥωμαίοις ἡγεμόνα γενέσθαι, καρπωσάμενον δυεῖν βασιλέοιν πλοῦτον, Μιθριδάτου καὶ Τιγράνου. [Athenæus 12, p. 543, A.]

Νικόλαος δ' ὁ Δαμασκηνός, εἷς τῶν ἀπὸ τοῦ 81 *περιπάτου φιλοσόφων, ἐν τῇ δεκάτῃ πρὸς ταῖς ἑκατὸν τῶν Ἱστοριῶν Ῥωμαίους ἱστορεῖ παρὰ τὸ δεῖπνον συμβάλλειν μονομαχίας, γράφων οὕτως· Τὰς τῶν μονομάχων θέας οὐ μόνον ἐν πανηγύρεσι καὶ θεάτροις ἐποιοῦντο Ῥωμαῖοι, παρὰ Τυρρηνῶν παραλαβόντες τὸ ἔθος, ἀλλὰ κἀν ταῖς ἑστιάσεσιν. ἐκάλουν γοῦν τινες πολλάκις ἐπὶ δεῖπνον τοὺς φίλους ἐπί τε ἄλλοις καὶ ὅπως ἂν δύο ἢ τρία ζεύγη ἴδοιεν μονομάχων, ὅτε καὶ κορεσθέντες δείπνου καὶ μέθης εἰσεκάλουν τοὺς μονομάχους, καὶ ὁ μὲν ἅμα ἐσφάττετο, αὐτοὶ δ' ἐκρότουν ἐπὶ τούτῳ ἡδόμενοι. ἤδη δέ τις κἀν ταῖς διαθήκαις γέγραφε γυναῖκας εὐπρεπεστάτας μονομαχῆσαι, ἃς ἐκέκτητο· ἕτερος δὲ παῖδας ἀνήβους ἐρωμένους ἑαυτοῦ. ἀλλὰ γὰρ οὐκ ἠνέσχετο ὁ δῆμος τὴν παρανομίαν ταύτην, ἀλλ' ἄκυρον τὴν διαθήκην ἐποίησεν.* [Athenæus 4, p. 153, F.]

Φίλος δέ τις Ὑρκανοῦ Ἰδουμαῖος, Ἀντίπατρος 82 *λεγόμενος, πολλῶν μὲν εὐπορῶν χρημάτων, δραστήριος δὲ τὴν φύσιν ὢν καὶ στασιαστής, ἀλλοτρίως εἶχε πρὸς τὸν Ἀριστόβουλον καὶ διαφόρως διὰ τὴν πρὸς Ὑρκανὸν εὔνοιαν. Νικόλαος μέντοι φησὶν ὁ Δαμασκηνὸς τοῦτον εἶναι γένος ἐκ τῶν πρώτων Ἰουδαίων τῶν ἐκ Βαβυλῶνος εἰς τὴν Ἰουδαίαν*

ἀφικομένων. ταῦτα δὲ λέγει χαριζόμενος Ἡρώδῃ τῷ παιδὶ αὐτοῦ, βασιλεῖ τῶν Ἰουδαίων ἐκ τύχης τινὸς γενομένῳ· περὶ οὗ κατὰ καιρὸν δηλώσομεν. [Iosephus Ant. Iud. 14, 1, 3.]

83 Μάθοι δ' ἄν τις ἐντεῦθεν τὴν ὑπερβολὴν ἧς ἔχομεν περὶ τὸν θεὸν εὐσεβείας καὶ τὴν φυλακὴν τῶν νόμων, μηδὲν ὑπὸ τῆς πολιορκίας διὰ φόβον ἐμποδιζομένων πρὸς τὰς ἱερουργίας, ἀλλὰ δὶς τῆς ἡμέρας, πρωί τε καὶ περὶ ἐνάτην ὥραν, ἱερουργούντων ἐπὶ τοῦ βωμοῦ, καὶ μηδ' εἴ τι περὶ τὰς προσβολὰς δύσκολον εἴη, τὰς θυσίας παριέντων. καὶ γὰρ ἁλούσης τῆς πόλεως περὶ τρίτον μῆνα τῇ τῆς νηστείας ἡμέρᾳ, κατὰ τὴν ἐνάτην καὶ ἑβδομηκοστὴν καὶ ἑκατοστὴν ὀλυμπιάδα, ὑπατευόντων Γαΐου Ἀντωνίου καὶ Μάρκου Τυλλίου Κικέρωνος, οἱ πολέμιοι μὲν εἰσπεσόντες ἔσφαττον τοὺς ἐν τῷ ἱερῷ, οἱ δὲ πρὸς ταῖς θυσίαις οὐδὲν ἧττον ἱερουργοῦντες διετέλουν, οὔτε ὑπὸ τοῦ φόβου τοῦ περὶ τῆς ψυχῆς οὔτε ὑπὸ τοῦ πλήθους τῶν ἤδη φονευομένων ἀναγκασθέντες ἀποδρᾶναι, πᾶν δ' ὅ,τι δέοι παθεῖν τοῦτο παρ' αὐτοῖς ὑπομεῖναι τοῖς βωμοῖς κρεῖττον εἶναι νομίζοντες ἢ παρελθεῖν τι τῶν νομίμων. ὅτι δὲ οὐ λόγος ταῦτα μόνον ἐστὶν ἐγκώμιον ψευδοῦς εὐσεβείας ἐμφανίζων, ἀλλ' ἀλήθεια, μαρτυροῦσι πάντες οἱ τὰς κατὰ Πομπήιον πράξεις ἀναγράψαντες, ἐν οἷς καὶ Στράβων καὶ Νικόλαος καὶ πρὸς τούτοις Τίτος Λίβιος ὁ τῆς Ῥωμαϊκῆς ἱστορίας συγγραφεύς. [Iosephus Ant. Iud. 14, 4, 3 (de Pompeio loquens Hierosolyma obsidente).]

84 Περὶ δὲ τῆς Πομπηίου καὶ Γαβινίου στρατείας ἐπὶ Ἰουδαίους γράφει Νικόλαος ὁ Δαμασκηνὸς καὶ

Στράβων ὁ Καππάδοξ, οὐδὲν ἕτερος ἑτέρου καινότερον λέγων. [Iosephus Ant. Iud. 14, 6, 4.]

Λικινίου δὲ Κράσσου τοῦ ἐπὶ Πάρθους στρατεύ- 85
σαντος κόλακά φησι γενέσθαι Νικόλαος ἐν τῇ τεσσαρεσκαιδεκάτῃ πρὸς ταῖς ἑκατὸν Ἀνδρόμαχον τὸν Καρρηνόν, ᾧ τὸν Κράσσον πάντα ἀνακοινούμενον προδοθῆναι Πάρθοις ὑπ' αὐτοῦ καὶ ἀπολέσθαι. οὐκ ἀτιμώρητος δ' ὑπὸ τοῦ δαιμονίου παρείθη ὁ Ἀνδρόμαχος. μισθὸν γὰρ λαβὼν τῆς πράξεως τὸ τυραννεῖν Καρρῶν τῆς πατρίδος διὰ τὴν ὠμότητα καὶ βίαν ὑπὸ τῶν Καρρηνῶν πανοικίᾳ ἐνεπρήσθη. [Athenæus 6, p. 252, D.]

Νικόλαος δ' ὁ Δαμασκηνός, εἷς δ' ἦν τῶν ἐκ 86
τοῦ περιπάτου, ἐν τῇ πολυβίβλῳ Ἱστορίᾳ, ἑκατὸν γὰρ καὶ τεσσαράκοντά εἰσι πρὸς ταῖς τέσσαρσι, τῇ ἑκκαιδεκάτῃ καὶ ἑκατοστῇ φησιν, Ἀδιάτομον τὸν τῶν Σωτιανῶν βασιλέα, ἔθνος δὲ τοῦτο Κελτικόν, ἑξακοσίους ἔχειν λογάδας περὶ αὑτόν, οὓς καλεῖσθαι ὑπὸ Γαλατῶν τῇ πατρίῳ γλώττῃ σιλοδούρους· τοῦτο δ' ἐστὶν ἑλληνιστὶ εὐχωλιμαῖοι. τούτους δ' οἱ βασιλεῖς ἔχουσι συζῶντας καὶ συναποθνήσκοντας, ταύτην ἐκείνων εὐχὴν ποιουμένων· ἀνθ' ἧς συνδυναστεύουσί τε αὐτῷ, τὴν αὐτὴν ἐσθῆτα καὶ δίαιταν ἔχοντες, καὶ συναποθνήσκουσι κατὰ πᾶσαν ἀνάγκην, εἴτ' ἐν νόσῳ τελευτήσειε βασιλεὺς εἴτε πολέμῳ εἴτ' ἄλλως πως. καὶ οὐδεὶς εἰπεῖν ἔχει τινὰ ἀποδειλιάσαντα τούτων τὸν θάνατον, ὅταν ἥκῃ βασιλεῖ, ἢ διεκδύντα. [Athenæus 6, p. 249, A.]

Τὸν δὲ Βροῦτον ὁ Ἀντώνιος ἀνευρὼν τεθνηκότα 87
τὸ μὲν σῶμα τῇ πολυτελεστάτῃ τῶν ἑαυτοῦ φοινι-

κίδων περιβαλεῖν ἐκέλευσεν, ὕστερον δὲ τὴν φοινικίδα κεκλεμμένην αἰσθόμενος ἀπέκτεινε τὸν ὑφελόμενον. τὰ δὲ λείψανα πρὸς τὴν μητέρα τοῦ Βρούτου Σερβιλίαν ἀπέπεμψε. Πορκίαν δὲ τὴν Βρούτου γυναῖκα Νικόλαος ὁ φιλόσοφος ἱστορεῖ καὶ Οὐαλέριος Μάξιμος βουλομένην ἀποθανεῖν, ὡς οὐδεὶς ἐπέτρεπε τῶν φίλων, ἀλλὰ προσέκειντο καὶ παρεφύλαττον, ἐκ τοῦ πυρὸς ἀνασπάσασαν ἄνθρακας καταπιεῖν καὶ τὸ στόμα συγκλείσασαν καὶ μύσασαν οὕτω διαφθαρῆναι. καίτοι φέρεταί τις ἐπιστολὴ Βρούτου πρὸς τοὺς φίλους ἐγκαλοῦντος αὐτοῖς καὶ ὀλοφυρομένου περὶ τῆς Πορκίας, ὡς ἀμεληθείσης ὑπ' αὐτῶν καὶ προελομένης διὰ νόσον καταλιπεῖν τὸν βίον. ἔοικεν οὖν ὁ Νικόλαος ἠγνοηκέναι τὸν χρόνον, ἐπεὶ τό γε πάθος καὶ τὸν ἔρωτα τῆς γυναικὸς καὶ τὸν τρόπον τῆς τελευτῆς ὑπονοῆσαι δίδωσι καὶ τὸ ἐπιστόλιον, εἴπερ ἄρα τῶν γνησίων ἐστίν. [Plutarchus Bruti c. 53.]

88 *Προσθείη δ' ἄν τις τούτοις καὶ τὰ παρὰ τοῦ Δαμασκηνοῦ Νικολάου. φησὶ γὰρ οὗτος ἐν Ἀντιοχείᾳ τῇ ἐπὶ Δάφνῃ περιτυχεῖν τοῖς Ἰνδῶν πρέσβεσιν ἀφιγμένοις παρὰ Καίσαρα τὸν Σεβαστόν. οὓς ἐκ μὲν τῆς ἐπιστολῆς πλείους δηλοῦσθαι, σωθῆναι δὲ τρεῖς μόνους, οὓς ἰδεῖν φησι, τοὺς δ' ἄλλους ὑπὸ μήκους τῶν ὁδῶν διαφθαρῆναι τὸ πλέον. τὴν δ' ἐπιστολὴν ἑλληνίζειν ἐν διφθέρᾳ γεγραμμένην, δηλοῦσαν ὅτι Πῶρος εἴη ὁ γράψας, ἑξακοσίων δὲ ἄρχων βασιλέων ὅμως περὶ πολλοῦ ποιοῖτο φίλος εἶναι Καίσαρι καὶ ἕτοιμος εἴη δίοδόν τε παρέχειν ὅπῃ βούλεται καὶ συμπράττειν ὅσα καλῶς ἔχει. ταῦτα μὲν ἔφη λέγειν τὴν ἐπιστολήν, τὰ δὲ κομισθέντα δῶρα προσενεγκεῖν ὀκτὼ οἰκέτας γυμνοὺς ἐν περιζώμασι, καταπεπασμέ-*

νους ἀρώμασιν· εἶναι δὲ τὰ δῶρα τόν τε Ἑρμᾶν ἀπὸ τῶν ὤμων ἀφῃρημένον ἐκ νηπίου τοὺς βραχίονας, ὃν καὶ ἡμεῖς εἴδομεν, καὶ ἐχίδνας μεγάλας καὶ ὄφιν πήχεων δέκα καὶ χελώνην ποταμίαν τρίπηχυν, πέρδικα δὲ μείζω γυπός. συνῆν δέ, ὥς φησι, καὶ ὁ Ἀθήνησι κατακαύσας ἑαυτόν· ποιεῖν δὲ τοῦτο τοὺς μὲν ἐπὶ κακοπραγίᾳ, ζητοῦντας ἀπαλλαγὴν τῶν παρόντων, τοὺς δ' ἐπ' εὐπραγίᾳ, καθάπερ τοῦτον· ἅπαντα γὰρ κατὰ γνώμην πράξαντα μέχρι νῦν ἀπιέναι δεῖν, μή τι τῶν ἀβουλήτων χρονίζοντι συμπέσοι· καὶ δὴ καὶ γελῶντα ἁλέσθαι γυμνὸν ἐπαληλιμμένον ἐν περιζώματι ἐπὶ τὴν πυράν. ἐπιγεγράφθαι δὲ τῷ τάφῳ· Ζαρμανὸς χηγὰν Ἰνδὸς ἀπὸ Βαργόσης κατὰ τὰ πάτρια Ἰνδῶν ἔθη ἑαυτὸν ἀπαθανατίσας κεῖται. [Strabo 15, p. 719.]

Ὅμοιον δέ τι τούτων καὶ Μάρκον Ἀγρίππαν φρο- 92
νήσαντα περὶ τῶν Ἰουδαίων οἴδαμεν. τῶν γὰρ Ἰώνων κινηθέντων ἐπ' αὐτοὺς καὶ δεομένων τοῦ Ἀγρίππα, ἵνα τῆς πολιτείας, ἣν αὐτοῖς ἔδωκεν Ἀντίοχος ὁ Σελεύκου υἱωνός, ὁ παρὰ τοῖς Ἕλλησι Θεὸς λεγόμενος, μόνοι μετέχωσιν, ἀξιούντων δ', εἰ συγγενεῖς εἰσιν αὐτοῖς Ἰουδαῖοι, σέβεσθαι τοὺς αὐτῶν θεούς, καὶ δίκης περὶ τούτων συστάσης, ἐνίκησαν οἱ Ἰουδαῖοι τοῖς αὐτῶν ἔθεσι χρῆσθαι, συνηγορήσαντος αὐτοῖς Νικολάου τοῦ Δαμασκηνοῦ· ὁ γὰρ Ἀγρίππας ἀπεφήνατο μηδὲν αὐτῷ καινίζειν ἐξεῖναι. τὸ δ' ἀκριβὲς εἴ τις βούλεται καταμαθεῖν, ἀναγνώτω τῶν Νικολάου Ἱστοριῶν τὴν ἑκατοστὴν καὶ εἰκοστὴν τρίτην καὶ τετάρτην. [Iosephus A. I. 12, 3, 2.]

Τότε δὲ περὶ τὴν Ἰωνίαν αὐτῶν γενομένων (Agrippam et Herodem dicit ex Ponto reduces), *πολὺ πλῆθος Ἰουδαίων, ὃ τὰς πόλεις ᾤκει, προσῄει, καιροῦ καὶ*

παρρησίας ἐπειλημμένοι, καὶ τὰς ἐπηρείας ἔλεγον, ἃς ἐπηρεάζοντο, μήτε νόμοις οἰκείοις ἐώμενοι χρῆσθαι, δίκας τε ἀναγκαζόμενοι διδόναι κατ' ἐπήρειαν τῶν εὐθυνόντων ἐν ἱεραῖς ἡμέραις, καὶ ὡς τῶν εἰς Ἱεροσόλυμα χρημάτων ἀνατιθεμένων ἀφαιροῖντο, στρατειῶν καὶ λειτουργιῶν ἀναγκαζόμενοι κοινωνεῖν, καὶ πρὸς ταῦτα δαπανᾶν τῶν ἱερῶν χρημάτων, ὧν ἀφείθησαν ἀεὶ Ῥωμαίων αὐτοῖς ἐπιτρεψάντων κατὰ τοὺς οἰκείους ζῆν νόμους. τοιαῦτα καταβοώντων παρῃτήσατο μὲν ὁ βασιλεὺς ἀκοῦσαι τὸν Ἀγρίππαν αὐτῶν δικαιολογουμένων, Νικόλαον δέ τινα τῶν αὐτοῦ φίλων ἔδωκεν εἰπεῖν ὑπὲρ αὐτῶν τὰ δίκαια. τοῦ δὲ Ἀγρίππα Ῥωμαίων τε τοὺς ἐν τέλει καὶ βασιλέων καὶ δυναστῶν τοὺς παρόντας αὐτῷ συνέδρους ποιησαμένου, καταστὰς ὁ Νικόλαος ὑπὲρ τῶν Ἰουδαίων ἔλεξεν. [Quae sequuntur apud Iosephum Ant. Iud. 16, 2, 3.]

93 Ὁ γὰρ Ἡρώδης, πολλοῖς τοῖς ἀναλώμασιν εἴς τε τὰς ἔξω καὶ τὰς ἐν τῇ βασιλείᾳ χρώμενος [χορηγίας], ἀκηκοὼς ἔτι τάχιον ὡς Ὑρκανὸς ὁ πρὸ αὐτοῦ βασιλεὺς ἀνοίξας τὸν Δαυίδου τάφον ἀργυρίου λάβοι τρισχίλια τάλαντα, κειμένων πολὺ πλειόνων ἔτι καὶ δυναμένων εἰς ἅπαν ἐπαρκέσαι ταῖς χορηγίαις, ἐκ πλείονος μὲν δι' ἐννοίας εἶχε τὴν ἐπιχείρησιν, ἐν δὲ τῷ τότε νυκτὸς ἀνοίξας τὸν τάφον εἰσέρχεται, πραγματευσάμενος ἥκιστα μὲν ἐν τῇ πόλει φανερὸς εἶναι, παρειληφὼς δὲ τοὺς πιστοτάτους τῶν φίλων. ἀποθέσιμα μὲν οὖν χρήματα, καθάπερ Ὑρκανός, οὐχ εὗρε, κόσμον δὲ χρυσοῦ καὶ κειμηλίων πολύν, ὃν ἀνείλετο πάντα. σπουδὴν δ' εἶχεν, ἐπιμελεστέραν ποιούμενος τὴν ἔρευναν, ἐνδοτέρω τε χωρεῖν καὶ κατὰ τὰς θήκας, ἐν αἷς ἦν τοῦ Δαυίδου καὶ τοῦ Σολομῶνος τὰ σώματα. καὶ δύο μὲν αὐτῷ τῶν δορυφόρων διεφθάρησαν,

φλογὸς ἔνδοθεν εἰσιοῦσιν ἀπαντώσης, ὡς ἐλέγετο· περίφοβος δ' αὐτὸς ἐξῄει καὶ τοῦ δέους ἱλαστήριον μνῆμα λευκῆς πέτρας ἐπὶ τῷ στομίῳ κατεσκευάσατο πολυτελὲς τῇ δαπάνῃ. τούτου καὶ Νικόλαος ὁ κατ' αὐτὸν ἱστοριογράφος μέμνηται τοῦ κατασκευάσματος, οὐ μὴν ὅτι κατῆλθεν, οὐκ εὐπρεπῆ τὴν πρᾶξιν ἐπιστάμενος. διατελεῖ δὲ καὶ τὰ ἄλλα τοῦτον τὸν τρόπον χρώμενος τῇ γραφῇ. ζῶν τε γὰρ ἐν τῇ βασιλείᾳ καὶ συνὼν αὐτῷ κεχαρισμένως ἐκείνῳ καὶ καθ' ὑπηρεσίαν ἀνέγραφε, μόνων ἁπτόμενος τῶν εὔκλειαν αὐτῷ φερόντων, πολλὰ δὲ καὶ τῶν ἐμφανῶς ἀδίκων ἀντικατασκευάζων καὶ μετὰ πάσης σπουδῆς ἐπικρυπτόμενος· ὅς γε καὶ τὸν Μαριάμμης θάνατον καὶ τῶν παίδων αὐτῆς οὕτως ὠμῶς τῷ βασιλεῖ πεπραγμένον εἰς εὐπρέπειαν ἀνάγειν βουλόμενος ἐκείνης τε ἀσέλγειαν καὶ τῶν νεανίσκων ἐπιβουλὰς καταψεύδεται, καὶ διατετέλεκε τῇ γραφῇ τὰ μὲν πεπραγμένα δικαίως τῷ βασιλεῖ περιττότερον ἐγκωμιάζων, ὑπὲρ δὲ τῶν παρανομηθέντων ἐσπουδασμένως ἀπολογούμενος. ἐκείνῳ μὲν οὖν πολλὴν ἄν τις, ὡς ἔφην, ἔχοι τὴν συγγνώμην· οὐ γὰρ ἱστορίαν τοῖς ἄλλοις, ἀλλ' ὑπουργίαν τῷ βασιλεῖ ταύτην ἐποιεῖτο. [Iosephus Ant. Iud. 16, 7, 1.]

Πέρας οὐδὲν ὁρῶν τῶν περιεστώτων κακῶν, ἔγνω 94
πάλιν εἰς Ῥώμην ἀποστέλλειν, εἴ τι δύναιτο μετριώτερον εὑρεῖν διά τε τῶν φίλων καὶ πρὸς αὐτὸν Καίσαρα τὴν ἐντυχίαν ποιησόμενος· κἀκεῖ μὲν ὁ Δαμασκηνὸς ἀπῄει Νικόλαος. [Iosephus Ant. Iud. 16, 9, 4.]

Τὰ γὰρ περὶ τὴν Νικολάου πρεσβείαν ἀπέβη τοῦτον τὸν τρόπον. ὡς ἀνῆλθεν εἰς τὴν Ῥώμην καὶ περὶ τὴν αὐλὴν ἐγένετο, πρῶτον μὲν οὐκ ἐφ' οἷς ἐληλύθει μόνον, ἀλλὰ καὶ Συλλαίου κατηγορεῖν ἠξίου.

καὶ δῆλοι πρὸ τῆς ἐντυχίας ἦσαν ἀλλήλους πολεμοῦντες. οἱ δὲ Ἄραβες ὑπονοστήσαντες ἐξ αὐτοῦ καὶ τῷ Νικολάῳ προσελθόντες τὰς ἀδικίας ἁπάσας ἐμήνυον, καὶ τῶν Ὀβόδου ὡς διαφθαρέντων πλείστων ἐκφανῆ τεκμήρια παρέχοντες. ἦν γὰρ καὶ τῶν γραμμάτων αὐτοῦ ἃ κατὰ τὴν ἀπόστασιν ὑφῃρημένοι διὰ τούτων ἤλεγχον. ὁ δὲ Νικόλαος εὐτυχίαν τινὰ ταύτην ὁρῶν αὐτῷ προσγεγενημένην, δι᾿ αὐτῆς ἐπραγματεύετο τὸ μέλλον, ἐπείγων ἐλθεῖν εἰς διαλλαγὰς Ἡρώδῃ ποιῆσαι Καίσαρα· σαφῶς γὰρ ἠπίστατο βουλομένῳ μὲν ἀπολογήσασθαι περὶ ὧν ἔπραξεν οὐκ ἔσεσθαι παρρησίαν, ἐθέλοντι δὲ κατηγορεῖν Συλλαίου γενήσεσθαι καιρὸν ὑπὲρ Ἡρώδου λέγειν. συνεστώτων οὖν ἐπ᾿ ἀλλήλους καὶ δοθείσης ἡμέρας, Νικόλαος, παρόντων αὐτῷ τῶν Ἀρέτα πρέσβεων, τά τε ἄλλα κατηγόρει τοῦ Συλλαίου, τήν τε τοῦ βασιλέως ἀπώλειαν λέγων καὶ πολλῶν Ἀράβων, χρήματά τε ὡς εἴη δεδανεισμένος ἐπ᾿ οὐδὲν ὑγιές, καὶ μοιχείας ἐξελέγχων οὐ τῶν ἐν Ἀραβίᾳ μόνον, ἀλλὰ καὶ τῶν ἐν Ῥώμῃ γυναικῶν· προσετίθει δὲ τὸ μέγιστον, ὡς ἐξαναστήσειε Καίσαρα, μηδὲν ἀληθὲς διδάξας ὑπὲρ τῶν Ἡρώδῃ πεπραγμένων. ὡς δὲ ἧκεν ἐπὶ τοῦτον τὸν τόπον, ὁ μὲν Καῖσαρ ἐξεῖργεν αὐτόν, τοῦτο μόνον ἀξιῶν ὑπὲρ Ἡρώδου λέγειν, εἰ μὴ στρατιὰν ἤγαγεν εἰς Ἀραβίαν, μηδὲ δισχιλίους καὶ πεντακοσίους ἀπέκτεινε τῶν ἐκεῖ, μηδὲ αἰχμαλώτους λάβοι τὴν χώραν διαρπάσας. ὁ δὲ Νικόλαος ὑπὲρ τούτων ἔφη καὶ μάλιστα διδάξειν ὅτι μηδὲν ἢ τὰ πλεῖστά γε αὐτῶν οὐ γέγονεν ὡς σὺ ἀκήκοας, καὶ δίκαιον ἦν ἐπ᾿ αὐτοῖς χαλεπῶς φέρειν. πρὸς δὲ τὸ παράδοξον Καίσαρος ἐνδόντος αὐτὸν ἀκροατήν, τὸ δάνειον εἰπὼν τῶν πεντακοσίων ταλάντων καὶ τὴν συγγραφήν, ἐν

ἢ καὶ τοῦτο ἦν προσγεγραμμένον, ἐξεῖναι τῆς προθεσμίας παρελθούσης ῥύσια λαμβάνειν ἐξ ἁπάσης τῆς χώρας, τὴν μὲν στρατείαν οὐκ ἐπιστρατείαν ἔλεγεν, ἀλλὰ δικαίαν τῶν ἰδίων ἀπαίτησιν χρημάτων· καὶ μηδὲ ταχὺ ταύτην μηδὲ ὡς ἐπέτρεπον αἱ συγγραφαὶ . . . πολλάκις μὲν ἐπὶ Σατουρνῖνον ἐλθόντα καὶ Οὐολόμνιον τοὺς τῆς Συρίας ἡγεμόνας, τελευταῖον δὲ ἐν Βηρυτῷ τούτων ἐναντίον Συλλαίου τὴν σὴν τύχην ἐπομόσαντος, ἦ μὴν ἐντὸς ἡμερῶν τριάκοντα παρέξειν τὰ χρήματα καὶ τοὺς ἐκ τῆς ἀρχῆς τῆς Ἡρώδου πεφευγότας. ὧν οὐδὲν ποιήσαντος Συλλαίου πάλιν ἐπὶ τοὺς ἡγεμόνας ἐλθεῖν Ἡρώδην, κἀκείνων ἐφέντων αὐτῷ λαμβάνειν τὰ ῥύσια, μόλις οὕτως ἐξελθεῖν σὺν τοῖς περὶ αὐτόν. ὁ μὲν οὖν δὴ πόλεμος, ὡς οὗτοι τραγῳδοῦντες ἔλεγον, καὶ τὰ τῆς ἐπιστρατείας τοιαῦτα. καίτοι πῶς ἂν εἴη πόλεμος, ἐπιτρεψάντων μὲν τῶν σῶν ἡγεμόνων, δεδωκυίας δὲ τῆς συνθήκης, ἠσεβημένου δὲ μετὰ τῶν ἄλλων θεῶν καὶ τοῦ σοῦ, Καῖσαρ, ὀνόματος; τὰ δὲ περὶ τοὺς αἰχμαλώτους ἑξῆς ἤδη λεκτέον. λῃσταὶ τῶν τὸν Τράχωνα κατοικούντων τετταράκοντα τὸ πρῶτον, εἶτα αὖθις πλείονες, τὰς Ἡρώδου κολάσεις διαφεύγοντες, ὁρμητήριον ἐποιήσαντο τὴν Ἀραβίαν. τούτους ὑπεδέξατο Συλλαῖος ἐπὶ πάντας ἀνθρώπους τρέφων, καὶ χώραν ἔδωκε νέμεσθαι, καὶ τὰ κέρδη τῶν λῃστῶν αὐτὸς ἐλάμβανεν. ὡμολόγησε δὲ καὶ τούτους ἐπὶ τοῖς ὅρκοις ἀποδώσειν κατὰ τὴν αὐτὴν τοῦ δανείου προθεσμίαν, καὶ δύναιτο ἂν οὐκ ἐπιδεῖξαι κατὰ τὸ παρὸν ἄλλον τινὰ τῆς Ἀράβων χώρας ἢ τούτους ἐξῃρημένους, οὐδὲ πάντας, ἀλλ' ὅσοι μὴ λαθεῖν ἴσχυσαν. οὕτως οὖν καὶ τοῦ τῆς αἰχμαλωσίας ἐπιφθόνου συκοφαντήματος πεφηνότος, μέγιστον, ὦ Καῖσαρ, κατάμαθε πλάσμα καὶ ψεῦσμα

πρὸς τὴν σὴν ὀργὴν αὐτῷ ποιηθέν. φημὶ γάρ, ἐπελθούσης ἡμῖν τῆς τῶν Ἀράβων δυνάμεως καὶ τῶν περὶ Ἡρώδην πεσόντος· ἑνὸς καὶ δευτέρου, τότε μόλις ἀμυνομένου Νάκεβον τὸν στρατηγὸν αὐτῶν καὶ περὶ πέντε καὶ εἴκοσι συνέβη πεσεῖν τοὺς πάντας, ὧν ἕκαστον αὐτὸς εἰς ἑκατὸν ἀναφέρων δισχιλίους καὶ πεντακοσίους τοὺς ἀπολωλότας ἔλεγε.

Ταῦτα μᾶλλον ἐκίνει τὸν Καίσαρα, καὶ πρὸς τὸν Συλλαῖον ἐπιστραφεὶς ὀργῆς μεστὸς ἀνέκρινεν ὁπόσοι τεθνήκασι τῶν Ἀράβων. ἀπορουμένου δὲ αὐτοῦ καὶ πεπλανῆσθαι λέγοντος, αἵ τε συνθῆκαι τῶν δανείων ἀνεγινώσκοντο καὶ τὰ τῶν ἡγεμόνων γράμματα, πόλεις τε ὅσαι ληστήρια κατῃτιῶντο. καὶ πέρας εἰς τοῦτο κατέστη Καῖσαρ ὡς τοῦ μὲν Συλλαίου καταγνῶναι θάνατον, Ἡρώδῃ δὲ διαλλάττεσθαι, μετάνοιαν ἐφ' οἷς ἐκ διαβολῆς πικρότερον ἔγραψεν αὐτῷ πεπονθώς, καί τι τοιοῦτον εἰπεῖν εἰς τὸν Συλλαῖον, ὡς ἀναγκάσειεν αὐτὸν ψευδεῖ λόγῳ πρὸς ἄνδρα φίλον ἀγνωμονῆσαι. [Iosephus Ant. Iud. 16, 10, 8, 9.]

Ταῦθ' ἅμα λέγων εἰς δάκρυα τρέπεται, λέγειν τε ἄπορος ἦν. καὶ Νικόλαος ὁ Δαμασκηνὸς φίλος τε ὢν τοῦ βασιλέως καὶ τὰ πάντα συνδιαιτώμενος ἐκείνῳ, καὶ τοῖς πράγμασιν ὃν πραχθεῖεν τρόπον παρατετευχώς, δεηθέντι τῷ βασιλεῖ τὰ λοιπὰ εἰπεῖν, ἔλεγεν ὁπόσα ἀποδείξεών τε καὶ ἐλέγχων ἐχόμενα ἦν. [Iosephus Ant. Iud. 17, 5, 4.]

Ἐπὶ τούτοις τροπῆς τοῦ συνεδρίου γενομένης Νικόλαος ἀρξάμενος οἷς τε ὁ βασιλεὺς κατήρξατο λόγοις παλιλλογεῖν μειζόνως ἐκδεινῶν, καὶ ὁπόσα ἐκ βασάνων ἢ μαρτυριῶν συνῆγε τὴν ἀπόδειξιν τοῦ

ἐγκλήματος, μάλιστα δὲ τὴν ἀρετὴν ἐπὶ πολὺ ἐξηγεῖτο τοῦ βασιλέως, ᾗ περί τε τροφὰς καὶ παιδεύματα χρησάμενος τῶν υἱέων οὐδαμόθεν εὕροιτο ὀνησιφόρον αὐτήν, περιπταίων ἑτέροις ἀφ' ἑτέρων. καίτοι γε οὐχ οὕτω θαυμάζειν τῶν προτέρων τὴν ἀβουλίαν· νεωτέρους γὰρ καὶ κακίᾳ συμβούλων διεφθαρμένους ἀπαλεῖψαι τὰ τῆς φύσεως δικαιώματα, ἀρχῆς θᾶττον ἢ χρῆν μεταποιεῖσθαι σπουδάσαντας· Ἀντιπάτρου δ' ἂν δικαίως τὴν μιαρίαν καταπλαγῆναι, μὴ μόνον ὑπὸ τοῦ πατρὸς εὐεργετηθέντα τὸν λογισμὸν ὥσπερ τὰ ἰοβολώτατα τῶν ἑρπετῶν μὴ μαλαχθέντος, καίτοι γε κἀκείνοις τινὸς ἐγγινομένης μαλακίας τοῦ ἀδικεῖν τοὺς εὐεργέτας, ἀλλὰ μηδὲ τὰς τύχας τῶν ἀδελφῶν πρὸς τὸ οὐ μιμητὴν αὐτῶν καταστῆναι τῆς ὠμότητος ἐμποδὼν στήσαντος. καίτοι γε, ὦ Ἀντίπατρε, τῶν ἀδελφῶν μηνυτής τε ὧν τολμήσειαν αὐτὸς ἦς καὶ ἐρευνητὴς τῶν ἐλέγχων καὶ κολαστὴς πεφωραμένων. καὶ οὐ τοῦ ἐπ' ἐκείνοις ἐγκαλοῦμεν θυμῷ χρῆσθαι μὴ ἐλλείποντος, ἀλλὰ τοῦ μιμεῖσθαι τὴν ἀσέλγειαν αὐτῶν σπουδάσαντος ἐκπεπλήγμεθα, εὑρίσκοντες κἀκεῖνα οὐκ ἐπ' ἀσφαλείᾳ τοῦ πατρός, ἀλλ' ἐπ' ὀλέθρῳ τῶν ἀδελφῶν πεπραγμένα, ὅπως μισοπονηρίᾳ τῇ κατ' αὐτῶν φιλοπάτωρ εἶναι πεπιστευμένος ἀδεεστέραν ἐπ' αὐτῷ κακουργεῖν παραλάβοις δύναμιν· ὃ δὴ καὶ τοῖς ἔργοις παρέστησας· ἅμα γὰρ καὶ τοὺς ἀδελφοὺς ἀνῄρεις ἐφ' οἷς ἤλεγχες πονηροὺς γεγονότας, καὶ τοὺς ὁμοπραγήσαντας αὐτοῖς οὐχ ὑπεδίδους, φανερὸν τοῖς πᾶσι καθιστὰς ὡς καὶ συνθήκην πρὸς αὐτοὺς κατὰ τοῦ πατρὸς ποιησάμενος ἐπανείλου κατηγορεῖν, βουλόμενός σοι τὴν ἐπιβουλὴν τῆς πατροκτονίας κερδαίνεσθαι κατὰ μόνας, καὶ δυοῖν ἀγώνοιν εὐ-

φροσύνην καρπούμενος τρόπου τοῦ σοῦ ἀξίαν, φανεροῦ μὲν τοῦ κατὰ τῶν ἀδελφῶν, ᾧ καὶ ἠγάλλου ὡς ἐπὶ τοῖς μεγίστοις. καὶ ἦν ἄξιον οὕτω φρονεῖν, εἰ δὲ μή γε, σὺ χείρων ἧς κρυπτὸν δόλον κατὰ τοῦ πατρὸς συντιθείς, ἐκείνους μὲν οὐχ ὡς τῷ πατρὶ ἐπιβεβουλευκότας μισῶν, οὐ γὰρ ἂν ἐξώκειλας αὐτὸς ἐπὶ πρᾶξιν παραπλησίαν, ἀλλ' ὡς διαδόχους τῆς ἡγεμονίας σου δικαιότερον ἂν γενομένους, τὸν δὲ πατέρα ἐπισφάττων τοῖς ἀδελφοῖς, ἵνα θᾶττον ὡς ἐκείνων ἐπικαταψεύσαιο μὴ ἐλεγχθῇς, καὶ ὧν αὐτὸς δίκας παρασχεῖν ἄξιος γένοιο, ταύτην παρὰ τοῦ δυστυχοῦς εἰσπράξαιο πατρός, ἐπινοῶν πατροκτονίαν οὐ κοινήν, ἀλλ' οἵαν μέχρι νῦν οὐχ ἱστόρησεν ὁ βίος. οὐχ υἱὸς γὰρ μόνον πατρὶ ἐπεβούλευες, ἀλλὰ καὶ φιλοῦντι καὶ εὐηργετηκότι, κοινωνὸς τῆς βασιλείας ὢν τοῖς ἔργοις καὶ διάδοχος προφανθείς, καὶ τὴν μὲν ἡδονὴν τῆς ἐξουσίας ἤδη προλαμβάνειν μὴ ἐπικεκωλυμένος, ἐλπίδα δὲ τὴν εἰσαῦθις γνώμῃ τοῦ πατρὸς καὶ γράμμασι προησφαλισμένος· ἀλλ' οὐκ ἄρα τῇ Ἡρώδου ἀρετῇ τὰ πράγματα, γνώμῃ δὲ καὶ πονηρίᾳ ἔκρινες τῇ ἑαυτοῦ, βουλόμενος τοῦ πάντων σοι ὑπακούσαντος πατρὸς καὶ τὸ μέρος ἀφαιρεῖσθαι, καὶ ὃν προσεποίου τοῖς λόγοις σώζειν, τοῖς ἔργοις τοῦτον ἀφανίσαι ζητῶν, καὶ μὴ μόνον αὐτὸς πονηρὸς καθιστάμενος, ἀλλὰ καὶ τὴν μητέρα ὧν ἐπενόεις πιμπλάς, καὶ στασιοποιῶν τὴν εὔνοιαν τοῖς ἀδελφοῖς, καὶ τολμῶν θηρίον ἀποκαλεῖν τὸν πατέρα, παντὸς ἑρπετοῦ χαλεπωτέραν τὴν διάνοιαν κατεσκευασμένος, ᾗ τὸν ἐκείνων ἰὸν ἐπὶ τοὺς συγγενεστάτους καὶ τοὺς ἐπὶ τοσούτοις εὐεργέτας παρεκάλεις ἐπὶ συμμαχίαις φυλάκων καὶ τέχναις ἀνδρῶν καὶ γυναικῶν φραττόμενος κατὰ τοῦ γέροντος, ὥσπερ

οὐκ ἀρκούσης σοῦ τῆς διανοίας μῖσος τὸ ὑποικουροῦν παραστῆσαι. καὶ νῦν ἐλήλυθας μετὰ βασάνους ἐλευθέρων, οἰκετῶν, ἀνδράσι καὶ γυναιξὶ διὰ σὲ γεγονυίας, μηνύσεις τῶν συνωμοτῶν, ἀντιλέγειν τῇ ἀληθείᾳ σπεύδων, καὶ οὐχὶ μόνον τὸν πατέρα ἀναιρεῖν μεμελετηκὼς ἐκ τοῦ ἀνθρωπείου βίου, ἀλλ' ἤδη καὶ νόμον τὸν κατὰ σοῦ γεγραμμένον καὶ τὴν ἀρετὴν τοῦ Οὐάρου καὶ τοῦ δικαίου τὴν φύσιν. οὕτως ἄρα τῇ ἀναιδείᾳ πέποιθας ὥστε καὶ βασανίζεσθαι ἀξιοῖς, καὶ ψευδεῖς λέγων τὰς βασάνους τῶν προβεβασανισμένων, ἵν' οἱ μὲν ῥυόμενοί σου τὸν πατέρα ἐκκρουσθῶσι τοῦ ἠληθευκέναι, αἱ δὲ σαὶ βάσανοι δοκῶσι πισταί. οὐ ῥύσῃ, Οὔαρε, τὸν βασιλέα τῆς ἐπηρείας τῶν συγγενῶν, οὐδὲ ἀπολεῖς πονηρὸν θηρίον, ἐπ' ὀλέθρῳ μὲν τῶν ἀδελφῶν εὔνοιαν προσποιούμενον τοῦ πατρός, ἔνθα δὲ μέλλοι κατὰ μόνας ταχέως ἀποίσεσθαι τὴν βασιλείαν, πάντων αὐτῷ θανασιμώτατον ἀναφαινόμενον, γνοὺς ὅτι πατροκτονία κοινόν ἐστιν ἀδίκημα καὶ τῆς φύσεως καὶ τοῦ βίου, ἣν πεφηνυῖαν οὐδὲν ἧττον τοῦ βεβουλευμένου καὶ ὁ μὴ κολάζων ἀδικεῖ τὴν φύσιν.

Προσετίθει δὲ ἤδη τὰ τῆς μητρὸς Ἀντιπάτρου, ὁπόσα πρός τινας ἦν κουφολογίᾳ γυναικείῳ εἰρημένα, μαντείας τε καὶ θυσίας ἐπὶ τῷ βασιλεῖ γεγονυίας, καὶ ὁπόσα μετὰ τῶν Φερώρα γυναικῶν Ἀντιπάτρῳ ἠσέλγητο μετὰ οἴνου καὶ λύμης ἐρωτικῆς, τῶν τε βασάνων τὰς ἀνακρίσεις καὶ ὁπόσα μαρτυριῶν ἐχόμενα. πολλὰ δὲ καὶ παντοῖα ἦν τὰ μὲν προητοιμασμένα, τὰ δὲ πρὸς τοῦ ὀξέως ἀπαγγέλλεσθαί τε καὶ βεβαιοῦσθαι ἐφηυρημένα. [Iosephus Ant.

Iud. 17, 5, 4, post orationem Herodis, qua scelera commissa Antipatro filio exprobrarat.]

95 *Καὶ Ἀντίπατρος μὲν τοιάδε εἰπών, καὶ μαρτύρων παραστάσεσι τὰ εἰρημένα κρατυνάμενος πολλοῖς τῶν συγγενῶν παύεται τοῦ λέγειν· ἀνίσταται δὲ Νικόλαος ὑπὲρ Ἀρχελάου καὶ ἔλεγε τὰ μὲν ἐν τῷ ἱερῷ γνώμῃ τῶν πεπονθότων ἀνατιθεὶς μᾶλλον ἢ ἐξουσίᾳ τοῦ Ἀρχελάου· τοὺς γὰρ ἐπὶ τοιοῖσδε ἄρχοντας οὐ μόνον τῷ καθ' αὐτοὺς ὑβρίζοντι εἶναι πονηρούς, ἀλλὰ καὶ τῷ ἀναγκάζοντι εἰς τὴν ἄμυναν αὐτῶν εὐγνωμονεῖν προαιρουμένους. ὡς δὲ πολέμια ἔδρων λόγῳ μὲν κατ' Ἀρχελάου, τὸ δὲ ἀληθὲς εἰς Καίσαρα, φανερὸν εἶναι. τοὺς γὰρ τοῦ ὑβριοῦντος κωλυτὰς παραγενομένους καιρίως Ἀρχελάου πεπομφότος κτεῖναι ἐπιτιθεμένους, οὔτε τοῦ θεοῦ οὔτε τοῦ νόμου τῆς ἑορτῆς ἐν φροντίδι γενομένους, ὧν Ἀντίπατρον οὐκ αἰσχύνεσθαι ἐκδικητὴν καθιστάμενον ἐπὶ θεραπείᾳ ἔχθρας τῆς αὐτοῦ πρὸς Ἀρχέλαον ἢ μίσει τοῦ ἀρετῇ δικαίου. ʽοἱ παρελθόντες καὶ μὴ πρὸς διανοουμένους ἄρχοντες ἀδίκων ἔργων, οἵδε εἰσὶν οἱ βιαζόμενοι καὶ μὴ θέλοντας τοὺς ἀμυνομένους ἐφ' ὅπλα χωρεῖν'. ἀνετίθει δὲ καὶ τὰ λοιπὰ πᾶσι τοῖς ἐν βουλῇ τῶν κατηγόρων· οὐδὲν γὰρ ὅ,τι μὴ οὐ μετὰ γνώμης τῆς αὐτῶν γεγενημένον αἰτίᾳ τοῦ ἀδικεῖν ὑπάγεσθαι. οὐ τῇ φύσει δὲ οὕτως αὐτὰ γεγονότα πονηρὰ εἶναι, ἀλλὰ τῷ βλάψειν δοκεῖν Ἀρχέλαον· τοσήνδε αὐτοῖς εἶναι βουλὴν τοῦ ὑβριοῦντος εἰς ἄνδρα συγγενῆ καὶ πατρὸς μὲν εὐεργέτην, συνήθη δὲ αὐτοῖς καὶ διὰ παντὸς οἰκείως πεπολιτευμένον. τάς γε μὴν διαθήκας ὑπό τε σωφρονοῦντος γεγράφθαι τοῦ βασιλέως καὶ κυριωτέρας εἶναι τῶν γεγραμμένων πρότερον διὰ τὸ Καίσαρα*

δεσπότην τῶν ὅλων καταλελεῖφθαι πρὸς τὴν κρίσιν τῶν ἐν αὐταῖς γεγραμμένων. μιμήσεσθαί τε οὐδαμῶς Καίσαρα τὴν ὕβριν αὐτῶν, οἳ τῆς Ἡρώδου παντοίως ἀπολαύσαντες παρ' ὃν ἔζη καιρὸν δυνάμεως, τὰ πάντα ἐπὶ ὕβριν γνώμης ἐπείγοιντο αὐτοῦ, οὐδ' αὐτῶν περὶ τὸν συγγενῆ τοιούτων γεγονότων. οὔκουν Καίσαρά γε ἀνδρὸς ἐπ' αὐτῷ πεποιημένου τὰ πάντα καὶ φίλου καὶ συμμάχου καταλύσειν τὰς διαθήκας, ἐπὶ πίστει τῇ αὐτοῦ γεγραμμένας, οὐδὲ μιμήσεσθαι κακίαν τὴν ἐκείνων τὴν Καίσαρος ἀρετὴν καὶ πίστιν, πρὸς ἅπασαν τὴν οἰκουμένην ἀνενδοίαστον γενομένην, καὶ μανίαν καὶ λογισμῶν ἔκστασιν κατακρινεῖν ἀνδρὸς βασιλέως, υἱεῖ μὲν ἀγαθῷ τὴν διαδοχὴν καταλελοιπότος, πίστει δὲ τῇ αὐτοῦ προσπεφευγότος· οὔτε ἁμαρτάνειν Ἡρώδην ποτὲ περὶ κρίσιν τοῦ διαδόχου, σωφροσύνῃ κεχρημένον ἐπὶ τῇ Καίσαρος γνώμῃ τὰ πάντα ποιεῖσθαι.

Καὶ Νικόλαος μὲν τοιάδε διελθὼν καταπαύει τὸν λόγον, Καῖσαρ δὲ Ἀρχέλαον προσπεσόντα αὐτῷ πρὸς τὰ γόνατα φιλοφρόνως τε ἀνίστη, φάμενος ἀξιώτατον εἶναι τῆς βασιλείας. [Iosephus Ant. Iud. 17, 9, 6.]

Τοιαῦτα δὲ τῶν Ἰουδαίων εἰρηκότων, Νικόλαος 96
τούς τε βασιλεῖς ἀπήλλαττε τῶν ἐγκλημάτων, Ἡρώδην μὲν διὰ τὸ παρ' ὃν ἔζη χρόνον τυχεῖν ἀκατηγόρητον, οὐ γὰρ δεῖν τοὺς ἐγκαλεῖν ἔχοντας ἐπὶ μετρίοις καὶ παρὰ ζῶντος τιμωρίαν λαβεῖν δυναμένους ἐπὶ νεκρῷ κατηγορίαν συντιθέναι, τὰ δὲ ὑπ' Ἀρχελάου πραχθέντα ὕβρει τῇ ἐκείνων ἀνετίθει, οἳ ὀριγνώμενοι πραγμάτων παρὰ τοὺς νόμους, καὶ σφαγῆς ἄρξαντες τῶν κωλύειν ὑβρίζοντας προμηθουμένων, ἀμύνης γενομένης ἐγκαλοῖεν. ἐνεκάλει δὲ νεωτεροποιίας αὐτοῖς καὶ τοῦ στασιάζειν ἡδονὴν

ἀπαιδευσίαν τε τοῦ μὴ ἕπεσθαι δίκῃ καὶ νόμοις ὑπὸ τοῦ θέλειν τὰ πάντα νικᾶν. ταῦτα μὲν οὖν Νικόλαος. [Iosephus Ant. Iud. 17, 11, 3.]

96 *Ἡσίοδός τε καὶ Ἑκαταῖος καὶ Ἑλλάνικος καὶ Ἀκουσίλαος καὶ πρὸς τούτοις Ἔφορος καὶ Νικόλαος ἱστοροῦσι τοὺς ἀρχαίους ζήσαντας ἔτη χίλια.* [Iosephus Ant. Iud. I, 3, 9. Eadem Georgius Syncell. p. 43, B.] *)

---

*) *Ἀκολασία Θουκυδίδης ἔφη, ἀκολαστία δὲ Ἄλεξις, ἀκολαστότατα δὲ Ἀριστοτέλης καὶ ἀκολαστότερα Νικόλαος.* [Gram. Bekkeri Anecd. p. 367, 24, sed ubi legendum *Νικόμαχος*, cuius poetae alibi idem grammaticus utitur testimonio.]

ΒΙΟΣ ΚΑΙΣΑΡΟΣ.

ΠΕΡΙ ΤΗΣ ΚΑΙΣΑΡΟΣ ΑΓΩΓΗΣ.

Ὅτι εἰς τιμῆς ἀξίωσιν τοῦτον οὕτω προσεῖπον οἱ 1 *ἄνθρωποι, ναοῖς τε καὶ θυσίαις γεραίρουσιν, ἀνά τε νήσους καὶ ἠπείρους διῃρημένοι καὶ κατὰ πόλεις καὶ ἔθνη, τό τε μέγεθος αὐτοῦ τῆς ἀρετῆς καὶ τὴν εἰς σφᾶς εὐεργεσίαν ἀμειβόμενοι. δυνάμεως γὰρ καὶ φρονήσεως εἰς τὰ πρῶτα ἀνελθὼν οὗτος ὁ ἀνὴρ πλείστων μὲν ἦρξεν ἀνθρώπων τῶν διὰ μνήμης, μακροτάτους τε ὅρους ἐποιήσατο τῆς Ῥωμαίων δυναστείας, εἴς τε τὸ βεβαιότατον οὐ τὰ φῦλα μόνον καὶ Ἑλλήνων καὶ βαρβάρων, ἀλλὰ καὶ αὐτὰς τὰς διανοίας κατεστήσατο τὸ μὲν πρῶτον σὺν ὅπλοις, μετὰ δὲ ταῦτα καὶ ἄνευ ὅπλων, ἐθελουσίους τε προσαγόμενος διὰ τὸ μᾶλλόν τι ἔνδηλος γίγνεσθαι τῇ φιλανθρωπίᾳ, ἔπεισεν ἑαυτοῦ ἀκροᾶσθαι, ὧν δὲ πρότερον οὐδὲ ὀνόματα ἠπίσταντο οἱ ἄνθρωποι οὐδέ τινος ὑπήκοοι ἐγένοντο διὰ μνήμης, ἡμερωσάμενος ὁπόσοι ἐντὸς Ῥήνου ποταμοῦ κατοικοῦσιν, ὑπέρ τε τὸν Ἰόνιον πόντον καὶ τὰ Ἰλλυριῶν γένη· Παννονίους αὐτοὺς καὶ Δᾶκας καλοῦσιν. (Ζήτει ἐν τῷ Περὶ ἀνδραγαθημάτων.)*

Περὶ δὴ τούτου τοῦ ἀνδρὸς φρονήσεώς τε καὶ 2 *ἀρετῆς ἰσχὺν δεῖξαι ὁπόσον δύναται, τὰ μὲν ἐκ τῆς πολιτείας ἥντινα ἐν τῇ πατρίδι ἐπολιτεύσατο, τὰ δὲ*

κατὰ στρατηγίας μεγάλων πολέμων ἐγχωρίων τε καὶ ἀλλοεθνῶν, ἀγώνισμα μὲν ἀνθρώποις πρόκειται λέγειν καὶ γράφειν, ὡς ἂν εὐδοκιμοῖεν ἐν καλοῖς ἔργοις. καὐτὸς δ᾽ ἀφηγήσομαι τὰ πεπραγμένα, ἐξ ὧν οἷόν τε γνῶναι σύμπασι τὴν ἀλήθειαν. πρότερον δ᾽ αὐτοῦ τό τε γένος διέξειμι καὶ τὴν φύσιν, τούς τε γεννητάς, ἀφ᾽ ὧν ἦν, τήν τ᾽ ἐκ νηπίου τροφήν τε καὶ παίδευσιν, ᾗ χρησάμενος τοσόσδε ἐγένετο. πατὴρ μὲν οὖν ἦν αὐτῷ Γάιος Ὀκταούιος, ἀνὴρ τῶν ἐκ τῆς συγκλήτου. οἱ δὲ αὐτοῦ πρόγονοι, κατά τε πλοῦτον καὶ ἐπιείκειαν ὀνομαστότατοι γενόμενοι, ὀρφανῷ ὄντι ἐκείνῳ τὰ χρήματα ἐλίποντο· καταστάντες δ᾽ ἐπίτροποι ταῦτα διεφόρησαν· ὁ δὲ τῶν πρὸς αὐτοὺς δικαίων ἀποστὰς τοῖς περιλειφθεῖσιν ἠρκεῖτο.

3 Ὅτι Καῖσαρ περὶ ἐννέα ἔτη μάλιστα γεγονὼς θαῦμά τε οὐ μικρὸν παρέσχε Ῥωμαίοις, φύσεως ἀκρότητα δηλώσας ἐν τοιᾷδε ἡλικίᾳ, καὶ τοῖς ἀνδράσι πολὺς ἐγγίγνεται θόρυβος ἐν πολλῷ ὁμίλῳ δημηγοροῦντι. ἀποθανούσης δ᾽ αὐτῷ τῆς τηθῆς, παρὰ τῇ μητρὶ ἐτρέφετο Ἀτίᾳ καὶ τῷ ταύτης ἀνδρὶ Φιλίππῳ Λευκίῳ, ὃς ἦν ἀπόγονος τῶν τὸν Μακεδόνα Φίλιππον κεχειρωμένων. παρὰ δὴ τῷ Φιλίππῳ ὁ Καῖσαρ ὡς παρὰ πατρὶ τρεφόμενος πολλὴν ὑπέφαινεν ἐλπίδα, ἤδη τε ἀξιότιμος καὶ τοῖς ἥλιξιν ἐφαίνετο τοῖς εὐγενεστάτοις παισί· καὶ συνήεσαν πρὸς αὐτὸν παμπληθεῖς, οὐκ ὀλίγοι δὲ καὶ τῶν νεανίσκων, οἷς τὸ πράττειν δι᾽ ἐλπίδος ἦν. προύπεμπον δὲ αὐτὸν πάμπολλοι ὁσημέραι καὶ μειρακίσκοι καὶ ἄνδρες καὶ ἥλικες παῖδες, εἴτε ἐφ᾽ ἱππασίαν ἔξω τοῦ ἄστεως προήει εἴτε παρὰ συγγενεῖς ἢ ἄλλους τινάς. ἤσκει γὰρ καὶ τὴν ψυχὴν τοῖς καλλίστοις ἐπιτηδεύμασι καὶ τὸ σῶμα ταῖς γενναίαις καὶ πολεμικαῖς μελέταις, καὶ

διδασκόντων θᾶττον αὐτὸς τὴν μάθησιν ἐπὶ τῶν ἔργων ἀπεδείκνυτο, ὥστε ἀπὸ τοῦδε καὶ ἐν τῇ πατρίδι πολὺν ζῆλον ἐνέγκασθαι. ἐφειστήκει δὲ αὐτῷ καὶ ἡ μήτηρ καὶ ὁ ταύτης ἀνὴρ Φίλιππος, ἀνὰ πᾶσαν ἡμέραν πυνθανόμενοι παρὰ τῶν διδασκάλων τε καὶ ἐπιμελητῶν, οὓς παρακατέστησαν τῷ παιδί, ὅτι πράξειεν ἢ ὅποι πορευθείη ἢ ὅπως διημερεύσειε, τάς τε διατριβὰς μεθ' ὧν ποιήσαιτο.

4 Ἐν δὲ τῷ κατασχόντι ταράχῳ τὴν πόλιν ὑπεκπέμπει ἥ τε μήτηρ Ἀτία καὶ Φίλιππος Καίσαρα εἴς τι τῶν πατρῴων χωρίων. κατέβαινε δὲ εἰς τὴν ἀγορὰν περὶ ἔτη μάλιστα γεγονὼς τετταρακαίδεκα, ὥστε ἀποθέσθαι μὲν αὐτὸν ἤδη τὴν περιπόρφυρον ἐσθῆτα, ἀναλαβεῖν δὲ τὴν καθαράν, σύμβολον οὖσαν τῆς εἰς ἄνδρας ἐγγραφῆς. περιβλεπόμενος δ' ὑπὸ παντὸς τοῦ δήμου διά τε εὐπρέπειαν καὶ λαμπρότητα εὐγενείας ἔθυσε τοῖς θεοῖς καὶ ἐνεγράφη εἰς τὴν ἱερωσύνην εἰς τὸν Λευκίου Δομιτίου τόπον τετελευτηκότος. καὶ ὁ δῆμος μάλα προθύμως ἐχειροτόνησε. καὶ ὁ μὲν ἅμα τῇ μεταλλαγῇ τῆς ἐσθῆτος καὶ τῇ καλλίστῃ τιμῇ κοσμηθεὶς ἔθυε. καίπερ δὲ κατὰ νόμον εἰς ἄνδρας ἐγγεγραμμένον διεκώλυεν ἡ μήτηρ ἔξω τῆς αὐλείου θύρας χωρεῖν, πλὴν ὅποι καὶ πρότερον, ὅτε παῖς ἦν, ἐφοίτα, δίαιτάν τε τὴν αὐτὴν ἔχειν ἐπηνάγκαζε, κοιτάζεσθαί τε ἔνθα καὶ πρότερον ἐν τῷ αὐτῷ δωματίῳ. νόμῳ τε μόνον ἀνὴρ ἦν, τὰ δ' ἄλλα παιδικῶς ἐπεστατεῖτο. τῆς δὲ ἐσθῆτος οὐδ' ὁτιοῦν ἐξήλλαξεν, ἀλλ' ἀεὶ τὴν πάτριον ἠμπείχετο.

5 Ἐφοίτα δὲ καὶ εἰς τὰ ἱερὰ ἐν ταῖς νομίμοις ἡμέραις νύκτωρ διὰ τὴν προσοῦσαν αὐτῷ ὥραν, ἅτε δὴ καὶ πολλὰς γυναῖκας ἐκμήνας εὐπρεπείᾳ καὶ λαμπρότητι γένους. ἐπιβουλευόμενος δὲ παρ' αὐτῶν

οὐδαμῇ ἐφαίνετο ἁλωτὸς ὤν, ἀλλὰ τὰ μὲν ἡ μήτηρ ἀπήρυκεν αὐτοῦ φυλάττουσα καὶ οὐδαμόσε μεθιεῖσα, τὰ δὲ καὶ αὐτὸς ἤδη ἔννους ὤν, ἅτε εἰς τοὔμπροσθεν τῆς ἡλικίας προϊών. ἐνστάσης δέ τινος ἑορτῆς Λατίνης, ὁπότε καὶ τοὺς ὑπάτους εἰς Ἄλβαν τὸ ὄρος ἀναβαίνειν ἔδει πατρίου θυσίας ἕνεκα, τοὺς δ' ἱερεῖς διαδόχους αὐτῶν τῆς δικαιοδοσίας εἶναι, καθίζει ἐπὶ τὸ βῆμα Καῖσαρ ἐν μέσῃ ἀγορᾷ. προσῄεσαν δ' ἄπλετοι ἄνθρωποι δικαιοδοσίας χάριν, πολλοὶ δὲ καὶ μηδενὸς πράγματος χάριν, θεωρίας ἕνεκα τοῦ παιδός· ἀξιοθέατος γὰρ πᾶσιν ἦν, καὶ μάλιστα ἐν τῷ τότε σεμνότητα καὶ ἀξίωμα προσειληφώς.

6 Καίσαρος δὲ ἤδη κεχειρωμένου μὲν τοὺς ἐν τῇ Εὐρώπῃ πολεμίους, νενικηκότος δὲ καὶ περὶ Μακεδονίαν Πομπήιον, ᾑρηκότος δ' Αἴγυπτον, ἐπαναστρέφοντος δ' ἔκ τε Συρίας καὶ τοῦ Εὐξείνου πόντου, μέλλοντος δ' ἐπὶ Λιβύης χωρεῖν, ὡς τὰ λειπόμενα τοῦ ἐκεῖ καταστάντος πολέμου καθέλοι, βουλόμενος συστρατεύειν αὐτῷ ὁ νέος Καῖσαρ, ὡς καὶ πολεμίων ἔργων ἔμπειρος εἴη, ἐπεὶ ᾔσθετο ἐναντιουμένην Ἀτίαν τὴν μητέρα, οὐδὲν ἀντειπὼν ἠρέμα εἶχε. δῆλος δ' ἦν καὶ ὁ πρεσβύτερος Καῖσαρ ὑπ' εὐνοίας οὐδέπω βουλόμενος αὐτὸν στρατεύεσθαι, ὡς μὴ τὴν δίαιταν ἐν ἀσθενεῖ σώματι μεταβαλὼν τὴν ὅλην ἕξιν φαύλως διατεθείη. διὰ μὲν δὴ ταῦτα τῆς στρατείας παρελύετο.

7 Ἐπεὶ δὲ κἀκεῖνον τὸν πόλεμον κατεργασάμενος Καῖσαρ ἐπανῆλθεν εἰς Ῥώμην, σφόδρα ὀλίγοις τῶν ὑποπεσόντων αἰχμαλώτων συγγνοὺς διὰ τὸ τοῖς προτέροις αὐτοὺς μὴ σεσωφρονίσθαι πολέμοις, συνηνέχθη τοιόνδε. ἦν εἰς τὰ μάλιστα Καίσαρι τῷ νέῳ

συνήθης καὶ φίλος Ἀγρίππας, ἐν ταὐτῷ τε παιδευθεὶς καί τινα ἔχων ὑπερβολὴν ἑταιρείας. τούτου ἀδελφὸς Κάτωνι συνῆν, κατά τε φιλίαν σπουδαζόμενος καὶ τοῦ Λιβυκοῦ πολέμου κεκοινωνηκώς, τότε δ' αἰχμάλωτος ᾑρημένος. τοῦτον, οὐδέν πω πρότερον αἰτήσας Καίσαρα, ἐβούλετο μὲν ἐξαιτεῖσθαι, ὑπὸ δὲ αἰδοῦς ὤκνει, καὶ ἅμα ὁρῶν αὐτὸν ὡς διέκειτο πρὸς τοὺς ἐν ἐκείνῳ τῷ πολέμῳ ἑαλωκότας. θαρρήσας δ' οὖν ποτε ᾔτησε καὶ ἔτυχεν. ἐφ' οἷς περιχαρὴς ἦν τῷ αὐτοῦ φίλῳ τὸν ἀδελφὸν ἀνασεσωκώς· ἐπῃνεῖτο δὲ καὶ ὑπὸ τῶν ἄλλων, εἰς οὐδὲν πρότερον καταθέμενος τὴν αὑτοῦ σπουδὴν καὶ ἔντευξιν ἢ εἰς φίλου σωτηρίαν.

Ἐκ τούτου τὰς θριαμβικὰς ἦγε πομπὰς Καῖσαρ 8
τοῦ κατὰ Λιβύην πολέμου τῶν τε ἄλλων, οὓς ἐπολέμησε. καὶ τὸν νέον Καίσαρα, υἱὸν ἤδη πεποιημένος, ὄντα δὲ τρόπον τινὰ καὶ φύσει διὰ τὸ ἀγχοτάτω τοῦ γένους εἶναι, ἐκέλευσε τῷ ἑαυτοῦ ἅρματι ἕπεσθαι, κόσμοις αὐτὸν στρατηγικοῖς ἀσκήσας, ὡς ἂν αὑτοῦ σύσκηνον ἐν πολέμῳ γεγονότα. ὁμοίως δὲ καὶ ἐν ταῖς θυσίαις καὶ ἐν ταῖς πρὸς τοὺς θεοὺς προσόδοις ἐγγύτατα ἵστη, τούς τε ἄλλους εἴκειν προσέταττεν αὐτῷ. καὶ ὁ μὲν ἤδη τὰς αὐτοκρατορικὰς ἐφέρετο τιμάς, αἳ δὴ μέγισται κατὰ τὸν Ῥωμαίων νόμον ἦσαν, καὶ ζηλωτὸς ἐν τῇ πατρίδι ἦν. συνὼν δὲ ὁ παῖς αὐτῷ καὶ ἐν τοῖς θεάτροις καὶ ἐν πότοις, ὁρῶν τε φιλανθρώπως ἑαυτῷ διαλεγόμενον οἷα τέκνῳ, καὶ μικρὸν ὅσον ἤδη τεθαρρηκώς, πολλῶν αὐτοῦ δεομένων καὶ φίλων καὶ πολιτῶν αἰτεῖσθαι σφίσι παρὰ Καίσαρος ὧν ἕκαστοι ἐν χρείᾳ ἦσαν, ἐπιτηρῶν εὐκαιρίας μετὰ πάσης αἰδοῦς ᾐτεῖτό τε καὶ κατώρθου, πλείστου τε ἄξιος πολλοῖς τῶν ἀναγκαίων ἐγένετο, φυλαττόμενος τὸ

μήτε ἀκαίρως παρακαλεῖν μήτ' ἐκείνῳ προσάντως. καὶ ὁ μὲν οὐκ ὀλίγα ζώπυρα καὶ φιλανθρωπίας ἅμα καὶ φρονήσεως φυσικῆς ἀπεδείκνυτο.

9 *Βουλόμενος δ' αὐτὸν ὁ Καῖσαρ καὶ ἔμπειρον τοῦ ἀγωνοθετεῖν ἐν ταῖς τοιαύταις χορηγίαις εἶναι, δυοῖν ὄντοιν θεάτροιν, τοῦ μὲν Ῥωμαϊκοῦ, ἐν ᾧ αὐτὸς παρὼν τὴν φροντίδα εἶχε, θατέρου δὲ Ἑλληνικοῦ, τούτου ἐπέτρεψεν ἐκείνῳ τὴν ἀγωνοθεσίαν. καὶ ὁ μὲν σπουδάζων ἐπιμέλειάν τε καὶ φιλανθρωπίαν ἀποδείξασθαι ἐν καυματώδεσι καὶ μακροτάταις ἡμέραις, οὐδαμοῦ τε ἀπιών, ἄχρι λύσειε τὴν θέαν, εἰς νόσον πίπτει, οἷα νέος καὶ πόνων ἀπείρατος. χαλεπῶς δὲ διακειμένου, πάντες μὲν ἐν φόβῳ ἦσαν, ἀγωνιῶντες εἴ τι πείσεται τοιαύτη φύσις, μάλιστα δὲ πάντων Καῖσαρ. διὸ πᾶσαν ἡμέραν ἢ αὐτὸς παρὼν αὐτῷ εὐθυμίαν παρεῖχεν ἢ φίλους πέμπων, ἰατρούς τε ἀποστατεῖν οὐκ ἐῶν. καί ποτε δειπνοῦντι ἤγγειλέ τις ὡς ἔκλυτος εἴη καὶ χαλεπῶς ἔχοι· ὁ δ' ἐκπηδήσας ἀνυπόδητος ἧκεν, ἔνθα ἐνοσηλεύετο, καὶ τῶν ἰατρῶν ἐδεῖτο ἐμπαθέστατα μεστὸς ὢν ἀγωνίας, καὶ αὐτὸς παρεκάθητο· ἀνακτησάμενος δ' αὐτὸν εὔθυμος ἐγένετο.*

10 *Ἐπεὶ δ' ἀνέσφηλεν ἐκ τῆς νόσου, διαπεφευγὼς μὲν τὸν κίνδυνον, ἀσθενῶς δ' ἔτι διακείμενος τὸ σῶμα, στρατεύειν μὲν ἔδει Καίσαρα, ἔνθα διενοεῖτο τὸ πρότερον ἐπάγεσθαι καὶ τὸν παῖδα· τότε δ' οὐχ οἷός τ' ἦν διὰ τὴν προσπεσοῦσαν νόσον. καταλιπὼν δ' οὖν αὐτοῦ πολλοὺς ἐπιμελητάς, ὡς δι' ἀκριβοῦς διαίτης φυλάττοιτο, καὶ ἐντολὰς δούς, εἰ ῥωσθείη, ἕπεσθαί οἱ, ᾤχετο ἐπὶ τὸν πόλεμον. ὁ γὰρ Μάγνου Πομπηίου πρεσβύτατος παῖς, μέγα στράτευμα ἀθροίσας ἐν ὀλίγῳ χρόνῳ παρὰ τὴν πάντων ἐλπίδα, διενοεῖτο*

ἐπαμῦναι τῷ πατρὶ καὶ τὴν ἐκείνου ἧτταν ἀναμαχέσασθαι, εἰ δύναιτο. ὑπολειφθεὶς δ' ἐν τῇ Ῥώμῃ Καῖσαρ, πρῶτον μὲν τοῦ σώματος ἐγκρατέστατα ἐπεμελήθη καὶ ταχὺ ἀνερρώσθη, ἔπειτα δὲ τὴν ἔξοδον ἐκ τῆς πατρίδος ἐποιεῖτο ἐπὶ τὴν στρατιὰν κατὰ τὰς τοῦ θείου ἐντολάς· οὕτω γὰρ αὐτὸν ἐκάλει. πολλῶν δ' αὐτῷ συνεκδημεῖν σπουδαζόντων διὰ τὸ μέγεθος τῆς ἐν αὐτῷ ἐλπίδος, πάντας παρωσάμενος καὶ τὴν μητέρα αὐτήν, τοὺς ὠκυτάτους τῶν οἰκετῶν καὶ ἐρρωμενεστάτους ἐκλεξάμενος συνέτεινε τὴν πορείαν, καὶ ἀπίστῳ τάχει χρησάμενος διέδραμε τὴν μακρὰν ὁδόν, σύνεγγύς τε ἦν Καίσαρι, διαπεπολεμηκότι ἤδη τὸν σύμπαντα πόλεμον ἐν μησὶν ἑπτά.

11 Ἀφικόμενος δ' εἰς Ταρρακῶνα ἀπιστίαν παρέσχεν ὅπως ἀφίκοιτο ἐν τοσῷδε πολέμου ταράχῳ. οὐχ εὑρὼν δὲ ἐνταῦθα Καίσαρα, πλείω πόνον καὶ κίνδυνον εἶχεν· ἀφίκετο δὲ εἰς Ἰβηρίαν πρὸς Καίσαρα περὶ πόλιν Καλπίαν. καὶ ὁ μὲν οἷα τέκνον περιβαλὼν διά τε τὸ νοσοῦντα καταλελοιπέναι καὶ ἐκ πολλῶν πολεμίων καὶ λῃστηρίων περισεσωσμένον ὁρᾶν ἀδοκήτως, ἠσπάζετο καὶ οὐδαμῇ μεθίει ὁμοδίαιτόν τε εἶχεν· ἐπῄνει δ' αὐτοῦ καὶ τὴν ἐπιμέλειαν ἅμα καὶ σύντασιν, ὡς πρῶτος τῶν ἐκ τῆς Ῥώμης ἐξεληλυθότων ἧκεν. ἐπιμελὲς δ' ἐποιεῖτο πρὸς αὐτὸν διαλεγόμενον ὑπὲρ πολλῶν ἀνακρίνειν, ἀποπειρώμενος αὐτοῦ τῆς διανοίας. ὁρῶν δὲ εὔστοχον καὶ εὐσύνετον καὶ βραχυλόγον, αὐτά τε ἀποκρινόμενον τὰ καιριώτατα, ἔστεργε καὶ ὑπερησπάζετο. ἐκ τούτου πλεῖν ἔδει ἐπὶ Καρχηδόνος· προσταχθὲν δ' αὐτῷ ἐμβαίνειν εἰς τὴν αὐτὴν Καίσαρι ναῦν σὺν πέντε δούλοις, αὐτὸς ὑπὸ φιλοστοργίας καὶ τρεῖς ἑταίρους πρὸς τοῖς δούλοις ἐνεβίβασε, καὶ ἐδεδίει μὴ τοῦτο

γνοὺς Καῖσαρ ἐπιμέμψαιτο. τοὐναντίον δ' ἐγένετο· ἥσθη γὰρ ἐκεῖνος ἐπὶ τῷ εἶναι φιλέταιρον, καὶ ἐπῄνεσεν, ὅτι ἀεὶ βούλεται παρεῖναι αὐτῷ τοὺς πάντων ἐπόπτας ἐσομένους ἄνδρας καὶ ἀρετῆς ἐπιμελουμένους, πρόνοιάν τε οὐ μικρὰν χρηστῆς δόξης ἐν τῇ πατρίδι ἤδη ποιοῖτο.

12 Ἧκε δ' οὖν εἰς τὴν Καρχηδόνα Καῖσαρ, ὡς τοῖς χρῄζουσιν ἐντευξόμενος. πολλοὶ δὲ συνεληλύθεσαν, οἱ μὲν δικαιοδοσίας χάριν περὶ ὧν εἶχον ἀμφιβόλων πρός τινας, οἱ δὲ οἰκονομίας πολιτικῆς, οἱ δ' ὅπως ἂν τὰ ἆθλα τῶν ἠνδραγαθημένων λάβοιεν· περὶ ὧν ἐνέτυχεν. ἄλλοι τε ἡγεμόνες πλεῖστοι συνεληλύθεσαν. προσφεύγουσι τῷ Καίσαρι καὶ Ζακύνθιοι μεγάλα ἐγκλήματα ἔχοντες καὶ δεόμενοι βοηθείας. ὁ δὲ τούτων προύστη τε καὶ διαλεχθεὶς ἄριστα πρὸς Καίσαρα ἐν φανερῷ τῶν τε αἰτιῶν αὐτοὺς ἀπήλλαξε καὶ προύπεμψεν ἐπ' οἴκου ἡδομένους τε καὶ πρὸς πάντας αὐτὸν ὑμνοῦντας σωτῆρά τε ὀνομάζοντας. ἐντεῦθεν πολλοὶ συνέρρεον προστασίας δεόμενοι, οἷς πλείστου ἄξιος γενόμενος, τῶν μὲν διέλυε τὰ ἐγκλήματα, οἷς δ' ᾐτεῖτο δωρεάς, οὓς δ' εἰς ἀρχὰς προῆγε. πάντες τε ἀνὰ στόμα εἶχον τήν τε ἡμερότητα καὶ φιλανθρωπίαν καὶ τὴν ἐν ταῖς ἐντεύξεσι φρόνησιν. αὐτὸς μὴν Καῖσαρ ευλα **. [Exc. de virt. et vit. p. 473—485.*)]

13 *** γύρου κατὰ τὰ πάτρια, οὔτε μεθυσκομένοις νεανίσκοις παρεῖναι οὔτε πλείω χρόνον συμποσίῳ παραγενέσθαι ἄχρι ἑσπέρας, οὐδὲ μέντοι δειπνεῖν πρὸ δεκάτης ὥρας, ἔξω Καίσαρος ἢ Φιλίππου ἢ τοῦ γήμαντος αὐτοῦ τὴν ἀδελφὴν Μαρκέλλου, ἀνδρὸς σωφρονεστάτου καὶ κατ' εὐγένειαν ἀρίστου

*) Excidit folium.

Ῥωμαίων. αἰδῶ δ', ἣν πρέπειν ἄν τις τῇ τοιᾷδε ἡλικίᾳ ὑπολάβοι, διὰ τὸ ταῖς ἄλλαις ἀρεταῖς ἐν τῇ μετὰ ταύτην τὴν χώραν ὑπὸ τῆς φύσεως ἀποδεδόσθαι, διαφανέστατα ἐν ἔργοις ἐδήλου ἐν τῷ βίῳ παντί. διὰ τοῦτο καὶ μάλιστα Καῖσαρ αὐτὸν περὶ πολλοῦ ἐποιήσατο, καὶ οὐχ, ὥσπερ οἴονταί τινες, διὰ τὸ γένος μόνον. ἔγνω μὲν οὖν καὶ πρότερον παῖδα ἀποδεῖξαι, δεδιὼς δὲ μὴ ἐλπίδι τοσαύτης τύχης ἐπαρθείς, ὃ φιλεῖ τοῖς εὐδαιμόνως τρεφομένοις ἕπεσθαι, ἐκλάθοιτο ἀρετῆς καὶ ἐκδιαιτηθείη, συνέκρυψε τὴν γνώμην, ἐν δὲ ταῖς διαθήκαις αὐτὸν υἱοῦται, ἄπαις ὢν ἀρρένων παίδων, καὶ κληρονόμον ἀποδείκνυσι τῆς τύχης πάσης· τετάρτην δὲ μοῖραν τῶν χρημάτων τοῖς ἄλλοις διένειμε φίλοις τε καὶ ἀστοῖς, ὅπερ ὕστερον ἐγένετο δῆλον.

Ἐδεήθη δὲ συγχωρῆσαι αὐτῷ παρὰ τὴν μητέρα 14
ἐλθεῖν εἰς τὴν πατρίδα, καὶ δόντος ᾤχετο. ὡς δ' ἧκεν οὐχ ἑκὰς Ῥώμης εἰς Ἰάνουκλον, ὑπήντησεν αὐτῷ σὺν πολλῷ πλήθει ἀνθρώπων ὁ λεγόμενος Γαΐου Μαρίου παῖς, σπουδάζων εἰς τὸ γένος ἐγγραφῆναι, καί τινας γυναῖκας προσειληφὼς τῶν Καίσαρος, αἳ ἐμαρτύρουν αὐτῷ τὴν εὐγένειαν. οὔτε μὴν Ἀτίαν ἔπεισεν οὔτε τὴν ταύτης ἀδελφὴν καταψεύσασθαι τοῦ σφετέρου οἴκου· προσῆπτο γὰρ τὸ γένος τοῦ γένους τὸ Καίσαρός τε καὶ τὸ Μαρίου, τῷ γε μὴν νεανίσκῳ ἐκείνῳ οὐδὲν προσῆκον ἦν. ὃς τότε σὺν πολλῷ πλήθει ὑπαντιάσας ἐσπούδαζε προσλαβεῖν καὶ τὴν τοῦ νέου Καίσαρος γνώμην εἰς τὴν τοῦ γένους ἐγγραφήν. πολλὴ δ' ἐγένετο σπουδὴ καὶ τῶν συνόντων αὐτῷ πολιτῶν, πειθομένων εἶναι παῖδα Μαρίου. Καῖσαρ δ' ἐν ἀπορίᾳ δεινῇ γενόμενος ἐσκόπει τί χρὴ ποιεῖν· τό τε γὰρ ἀσπάζεσθαι ὡς συγγενῆ, ὃν οὐκ

ᾔδει ὁπόθεν εἴη οὐδ' ἡ μήτηρ αὐτῷ συνεμαρτύρει, χαλεπὸν ἦν τό τε διωθεῖσθαι τὸν νεανίσκον καὶ τὸ σὺν αὐτῷ πλῆθος τῶν πολιτῶν, ἄλλως τε καὶ αἰδοῦς ὄντι μεστῷ, πολλὴν δυσχέρειαν εἶχεν. ἀποκρίνεται γοῦν, ἠρέμα διωσάμενος τὸν ἄνθρωπον, ὅτι Καῖσαρ εἴη τοῦ γένους αὐτοῖς ἡγεμών, καὶ τῆς πατρίδος προστάτης, συμπάσης τε τῆς Ῥωμαίων ἀρχῆς· δεῖν οὖν ὡς ἐκεῖνον βαδίζειν καὶ διδάσκειν περὶ τῆς συγγενείας, καὶ εἰ μὲν πείσειεν, ὑπάρχειν εὐθὺς αὐτῷ καὶ σφᾶς τούς τε ἄλλους οἰκείους πεπεισμένους· εἰ δὲ μή, οὐδὲν αὐτοῖς εἶναι κοινώνημα πρὸς αὐτόν· ἐν δὲ τῷ μεταξύ, πρὶν ἢ Καίσαρα τοῦτο γνῶναι, μήτε προσιέναι πρὸς αὐτὸν μήτε ὡς παρὰ συγγενοῦς τι ἐπιζητεῖν τῶν δικαίων. ταῦτα ἐμφρόνως ἀποκρινόμενον καὶ οἱ συμπαρόντες ἐπῄνουν, οὐδὲν δὲ ἧττον ὁ νεανίσκος συμπρούπεμψεν αὐτὸν ἄχρι τῆς οἰκίας.

15 Ὡς δ' ἧκεν εἰς Ῥώμην, κατάγει πλησίον τῆς Φιλίππου οἰκίας καὶ τῆς μητρός, καὶ τὴν δίαιταν εἶχε σὺν ἐκείνοις, καὶ οὐκ ἄνευ τούτων διῆγε, πλὴν εἰ μή ποτε καὶ αὐτὸς τῶν ἡλικιωτῶν τινας βούλοιτο ἑστιᾶν· τοῦτο δὲ σπάνιον ἦν. διατρίβων δ' ἐν τῇ πόλει, ὑπὸ τῆς βουλῆς ἀποδείκνυται εἶναι τῶν πατρικίων.

Ὅτι ἔνηφε καὶ ἐγκρατῶς διῆγεν ὁ νέος Καῖσαρ. θαυμαστὸν δέ τι κἄλλο συνήδεσαν αὐτῷ οἱ φίλοι· ἐπ' ἐνιαυτὸν γὰρ ὅλον ἐν τοιᾷδε ἡλικίᾳ, ἐν ᾗ μάλιστα σφριγῶσιν οἱ νέοι, καὶ τούτων δ' ἔτι μᾶλλον οἱ εὐτυχεῖς, ἀφροδισίων ἀπείχετο, φωνῆς ἅμα καὶ ἰσχύος προνοῶν. [Τέλος τῆς Ἱστορίας Νικολάου Δαμασκηνοῦ καὶ τοῦ Βίου Καίσαρος τοῦ νέου. Περὶ ἀρετῆς καὶ κακίας. [Exc. de virt. et vit. p. 485—489.]

Ὅτι ὁ νέος Καῖσαρ τρίτον ἄγων ἐν τῇ Ῥώμῃ 16
μῆνα ἐνταῦθα λοιπὸν παρεπεδήμει, ζηλούμενος μὲν ὑπὸ τῶν ἡλίκων καὶ φίλων, θαυμαζόμενος δὲ ὑπὸ τῶν ἐν τῇ πόλει πάντων, ἐπαινούμενος δ' ὑπὸ τῶν παιδευτῶν. τετάρτῳ δὲ μηνὶ ἧκεν ἐκ τῆς πατρίδος πεμφθεὶς ὑπὸ τῆς μητρὸς ὡς αὐτὸν ἀπελεύθερος τεταραγμένος καὶ πολλῆς ἀθυμίας μεστός, ἐπιστολὴν κομίζων, ἐν ᾗ ἐγέγραπτο ὡς Καῖσαρ μὲν ἐν τῇ συγκλήτῳ ἀποθάνοι ὑπὸ τῶν περὶ Κάσσιον καὶ Βροῦτον. ἠξίου δὲ τὸν παῖδα ἐπανελθεῖν ὡς αὐτήν· ἀγνοεῖν γὰρ ἔφη καὐτὴ τἀπὸ τοῦδε ἐσόμενα· δεῖν δὲ ἤδη ἄνδρα γίγνεσθαι, καὶ γνώμῃ τε ἃ χρὴ φρονεῖν καὶ ἔργῳ πράττειν, ἑπόμενον τῇ τύχῃ τε καὶ τοῖς καιροῖς. τοιαῦτα ἐδήλου τὰ παρὰ τῆς μητρὸς γράμματα. ὅμοια δὲ καὶ ὁ ταῦτα κομίζων ἀπήγγελλεν· ἔφη τε ὡς παραχρῆμα Καίσαρος ἀναιρεθέντος πεμφθείη καὶ οὐδαμῇ διατρίψειεν, ὡς θᾶττον ἔχοι μαθὼν τὰ γενόμενα βουλεύσασθαι περὶ αὐτῶν· μέγαν δ' εἶναι τὸν κίνδυνον τοῖς τοῦ ἀνῃρημένου συγγενέσι, ὃν δεῖ πρῶτον σκοπεῖν ὅπως διαφεύξεται· οὐ μικρὰν γὰρ εἶναι μερίδα τὴν τῶν σφαγέων, οἳ τοὺς Καίσαρος ἐλαύνουσί τε καὶ ἀναιροῦσι. ταῦτα ἀκούσαντες, ἐν πολλῷ θορύβῳ ἦσαν, μέλλοντες ὅσον οὔπω δειπνήσειν. ταχὺ δ' ἡ φήμη καὶ τοῖς ἔξω διήγγελλε καὶ ἀν' ἅπασαν ἐφοίτα τὴν πόλιν τἀκριβὲς μὲν οὐ δηλοῦσα, ὅτι μέντοι κακόν τι μέγα εἴη προσπεπτωκός. συνῄεσαν γοῦν πολλοὶ περὶ ἄκραν ἑσπέραν σὺν φωτὶ τῶν πρώτων Ἀπολλωνιατῶν, διαπυνθανόμενοι ὑπ' εὐνοίας ὅ,τι εἴη τὸ ἠγγελμένον. βουλευομένῳ δὲ Καίσαρι μετὰ τῶν φίλων ἔδοξε χρῆναι τοῖς ἐπιφανεστάτοις δηλῶσαι, τὸ πλῆθος δὲ ἀποπέμψασθαι. καὶ ἐπεὶ ταῦτα ἔπραξαν, μόλις μὲν ἀπῆλθεν ὁ ὄχλος πεισθεὶς

ὑπὸ τῶν πρώτων, καιρὸν δ' ἔσχε Καῖσαρ περὶ τῶν ὅλων βουλεύσασθαι μετὰ τῶν φίλων, πόρρω τῆς νυκτὸς ἤδη διεληλυθυίας ὅ,τι ποιητέον εἴη καὶ ὅπως χρηστέον τοῖς πράγμασιν. πολλῆς δὲ σκέψεως γενομένης, οἱ μὲν παρῄνουν τῶν φίλων ἐπὶ τὸ ἐν Μακεδονίᾳ στράτευμα χωρεῖν, ὃ προυξεπέπεμπτο ἐπὶ τὸν Παρθικὸν πόλεμον, ἡγεῖτο δ' αὐτοῦ Μάρκος Αἰμίλιος, καὶ σὺν αὐτῷ ἥκειν τἀσφαλοῦς ἕνεκεν εἰς Ῥώμην ἐπὶ ἄμυναν τῶν σφαγέων· ὑπάρξειν δὲ καὶ τοὺς στρατιώτας ὑπ' εὐνοίας τῆς πρὸς ἐκεῖνον τοῖς ἀχθομένοις· προσγενήσεσθαι δὲ καὶ τὸν ἀπὸ τοῦ παιδὸς οἶκτον ὀφθέντος τῷ στρατῷ. ἀλλὰ ταῦτα δυσχερῆ ὑπεφαίνετο ἀνδρὶ κομιδῇ νέῳ καὶ μείζω ἢ κατὰ τὴν παροῦσαν ἡλικίαν τε καὶ ἀπειρίαν, ἄλλως τε καὶ ἀδήλου ἔτι οὔσης τῆς τῶν πολλῶν διανοίας καὶ πολλῶν ἐφεστώτων ἐχθρῶν. οὐκ ἐκράτει οὖν ἥδε ἡ γνώμη. τιμωροί τε ἔσεσθαι Καίσαρι προσεδοκῶντο οἳ καὶ ζῶντος ἀπέλαυον τῆς τύχης, εἴς τε ἀρχὰς καὶ πλοῦτον ὑπ' αὐτοῦ προηγμένοι δωρεάς τε μεγάλας ἔχοντες καὶ οἵας οὐδ' ὄναρ ἤλπισαν. ἄλλων δὲ ἄλλα παραινούντων, ὡς ἂν ἐν ἀσκόποις καὶ ἀσταθμήτοις πράγμασι, κράτιστον εἶναι ἐδόκει Καίσαρι τὴν ὑπὲρ τῶν ὅλων βουλὴν ἀναβαλέσθαι ἄχρι τοῖς καὶ γήρᾳ καὶ φρονήσει διαφέρουσι τῶν φίλων συμμίξας κοινωνοὺς ποιήσαιτο τῆς γνώμης. ἔδοξεν οὖν δεῖν ἠρέμα ἔχειν καὶ εἰς Ῥώμην βαδίζειν, πρότερον δ' ἐν Ἰταλίᾳ γενόμενον γνῶναι τὰ μετὰ τὴν Καίσαρος τελευτὴν ἐπισυμβάντα καὶ μετὰ τῶν ἐκεῖ βουλεύσασθαι περὶ τῶν ὅλων.

17 Καὶ οἱ μὲν πρὸς τὸν πλοῦν παρεσκευάζοντο· Ἀλέξανδρος δὲ ὑποτιμώμενος τό τε γῆρας καὶ τὴν ἀσθένειαν εἰς τὴν πατρίδα τὸ Πέργαμον ἀπελύετο.

Ἀπολλωνιᾶται δὲ ἀθροισθέντες ἄχρι μέν τινος ἐδέοντο Καίσαρος ὑπὸ φιλοστοργίας μένειν παρὰ σφᾶς· παρέξειν γὰρ αὐτῷ τὴν πόλιν εἰς ὅ,τι βούλεται, ὑπό τε τῆς πρὸς αὐτὸν εὐνοίας καὶ τῆς πρὸς τὸν τεθνηκότα εὐσεβείας· καὶ αὐτῷ δὲ ἄμεινον εἶναι τοσούτων ἐχθρῶν ἐφεστώτων ἐν φίλῃ πόλει τὰ ἐσόμενα καραδοκεῖν. ὁ δὲ βουλόμενος παρὼν τοῖς πραττομένοις καιροφυλακεῖν, οὐ παρέλυε τὴν γνώμην, ἀλλ' ἀναγκαῖον ἔφη εἶναι ἀποπλεῖν· Ἀπολλωνιάτας δὲ τότε ἐπῄνεσε, καὶ παρελθὼν εἰς τὴν ἀρχὴν ἐλευθερίαν τε αὐτοῖς καὶ ἀτέλειαν ἄλλας τε οὐκ ὀλίγας χάριτας ἐπιδοὺς καὶ εὐδαίμονα τὴν πόλιν ἐν τοῖς μάλιστα ποιήσας. τότε δὲ μετὰ δακρύων αὐτὸν ὁ πᾶς δῆμος ἀποσπώμενον προύπεμψε, θαυμάζων τὸ ἐν τῇ παρεπιδημίᾳ κόσμιον καὶ σῶφρον, καὶ ἅμα οἰκτείρων τὴν τύχην. ἦλθον δ' ὡς αὐτὸν ἐκ τῆς στρατιᾶς οὐκ ὀλίγοι ἱππεῖς τε καὶ πεζοί, χιλίαρχοί τε καὶ ἑκατοντάρχαι ἄλλοι τε πάμπολλοι θεραπείας χάριν, οἱ δὲ κατ' ἰδίας χρείας· οἳ τότε παρῄνουν ἐπὶ τὰ ὅπλα χωρεῖν, καὶ αὐτοὶ ὑπισχνοῦντο συστρατεύσειν τε καὶ ἄλλους προσποιήσειν ἐπεξιόντας τὸν Καίσαρος θάνατον. ὁ δ' ἐπαινέσας αὐτοὺς οὐδὲν δεῖν ἔφη ἐν τῷ παρόντι· ὅταν μέντοι καλῇ ἐπὶ τὴν τιμωρίαν, ἠξίου ἑτοίμους εἶναι. οἱ δ' ἐπείθοντο. Καῖσαρ δ' ἀνήχθη τοῖς ἐπιτυχοῦσι πλοίοις χειμῶνος ἔτι ὄντος σφαλερώτατα, καὶ διαβαλὼν τὸν Ἰόνιον πόντον ἴσχει τῆς Καλαβρίας τὴν ἔγγιστα ἄκραν, ἔνθα οὐδέν πω σαφὲς διήγγελτο τοῖς ἐνοικοῦσι τοῦ ἐν Ῥώμῃ νεωτερισμοῦ. ἐκβὰς οὖν ταύτῃ πεζὸς ὥδευεν ἐπὶ Λουπίας. καὶ ὡς ἀφίκετο, ἐντυγχάνει τοῖς ἐν Ῥώμῃ θαπτομένῳ Καίσαρι *, οἳ ἀπήγγελλον τά τε ἄλλα καὶ ὡς ἐν ταῖς διαθήκαις ὡς υἱὸς εἴη Καίσαρι ἐγγεγραμμένος καὶ τρία μέρη τῶν

χρημάτων, τὸ δὲ τέταρτον τοῖς ἄλλοις εἴη δεδομένον, ἐξ οὗ καὶ τῷ δήμῳ δοίη κατ' ἄνδρα πέντε καὶ ἑβδομήκοντα δραχμάς, ἐπισκήψειε δὲ καὶ Ἀτίᾳ τῇ μητρὶ τοῦ παιδὸς τῆς ἑαυτοῦ ταφῆς ἐπιμεληθῆναι, ὅπως τε ὁ ὄχλος βιασάμενος ἐν μέσῃ ἀγορᾷ αὐτὸν καύσειέ τε καὶ θάψειε· τοὺς δὲ περὶ Βροῦτον καὶ Κάσσιον σφαγεῖς κατειληφότας τὸ Καπιτώλιον φρουρεῖν, τούς τε δούλους καλεῖν ἐπ' ἐλευθερίᾳ συμμάχους· τῇ τε πρώτῃ ἡμέρᾳ καὶ δευτέρᾳ, καταπεπληγμένων ἔτι τῶν Καίσαρος φίλων, πολλοὺς αὐτοῖς προσέχειν, ἐπεὶ δ' οἱ ἐκ τῶν περιοικίδων πόλεων κληροῦχοι, οὓς ἐκεῖνος κατῴκισέ τε καὶ ταῖς πόλεσιν ἐγκατέστησεν, ἧκον παμπληθεῖς ὡς τοὺς περὶ Λέπιδον τὸν ἱππάρχην καὶ Ἀντώνιον τὸν συνύπατον Καίσαρος, ἐπεξιέναι αὐτοῦ τὸν φόνον ὑπισχνουμένους, σκεδασθῆναι τοὺς πολλούς· ἐκείνους δὲ μονωθέντας μονομάχους τινὰς ἀθροίζειν καὶ ἄλλους, οἷς ἦν ἀκήρυκτος ἔχθρα πρὸς Καίσαρα, οἳ τῆς ἐπιβουλῆς ἐκοινώνουν. καὶ τούτους μέντοι ὀλίγον ὕστερον καταβῆναι πάντας ἐκ τοῦ Καπιτωλίου πίστεις λαβόντας παρὰ Ἀντωνίου δύναμιν ἤδη μεγάλην ἔχοντος καὶ διαμεθιέντος ἐν τῷ παρόντι τὴν ὑπὲρ Καίσαρος ἐπέξοδον· ὃ κἀκείνοις αἴτιον ἐγένετο τοῦ ἀσφαλῶς ἐκ τῆς Ῥώμης ὑπεξελθεῖν εἰς Ἄντιον· πολιορκηθῆναι δ' αὐτῶν ὑπὸ τοῦ δήμου καὶ τὰς οἰκίας, ἡγεμόνος μηδενὸς ἐφεστῶτος, ἀλλ' αὐτοῦ τοῦ πλήθους ὑπὸ τῆς περὶ Καίσαρα εὐνοίας δυσχεραίνοντος τὸν φόνον, καὶ μάλιστα ἐπειδὴ τήν τε ἐσθῆτα εἶδεν ᾑμαγμένην καὶ τὸ σῶμα νεοσφαγὲς ἐκκομιζόμενον εἰς ταφήν, ὅτε καὶ βιασάμενος θάψειεν αὐτὸ ἐν μέσῃ ἀγορᾷ.

18 Ταῦτα ὡς ἤκουσε Καῖσαρ ὁ νέος, εἴς τε δάκρυα καὶ οἶκτον ὑπὸ μνήμης τἀνδρὸς καὶ φιλοστοργίας

ἐρρύη, καινότερόν τε τὸ πένθος ἐποίει. παυσάμενος δέ ποτε ἀνέμενεν ἕτερα γράμματα παρὰ τῆς μητρὸς καὶ τῶν ἐν Ῥώμῃ φίλων, καίπερ οὐκ ἀπιστῶν τοῖς τὰ γιγνόμενα ἀπηγγελκόσιν· οὐ γὰρ ἑώρα διότι ἂν πλάσαιντο τὰ ψευδῆ. καὶ μετὰ ταῦτα ἀπῆρεν εἰς Βρεντέσιον· ἔγνω γὰρ οὐδένα ἐνόντα τῶν ἐχθρῶν αὐτόθι, πρότερον δ' ὑπιδόμενος μὴ ὑπό του φρουροῖτο ἡ πόλις, οὐκ εἰκῇ τὸν πλοῦν ἐκ τοῦ πέραν ἀπηύθυνεν. ἧκε δ' αὐτῷ καὶ παρὰ τῆς μητρὸς ἐπιστολὴ ἐν ᾗ ἐγέγραπτο δέησις ἰσχυρὰ ὡς τάχιστα ἀφικέσθαι καὶ ἑαυτὸν ἐκείνῃ τε ἀποδοῦναι καὶ τῷ σύμπαντι οἴκῳ, ὡς μήτις ἐπ' αὐτὸν ἔξωθεν ἐπιβουλὴ συσταίη παῖδα Καίσαρος ἀναδεδειγμένον. ἐδήλου δ' ὅμοια τοῖς πρότερον ἠγγελμένοις, καὶ ὡς ἐπὶ τοὺς περὶ Βροῦτον καὶ Κάσσιον ἐγήγερται ὁ πᾶς δῆμος δυσανασχετῶν ἃ δράσειαν. ἐπέστειλε δ' αὐτῷ καὶ ὁ πατρῳὸς Φίλιππος, δεόμενος μὴ προσελθεῖν τῇ Καίσαρος κληρονομίᾳ, φυλάξασθαι δὲ καὶ αὐτὸ τοὔνομα, δι' ἃ πάθοι κεῖνος, ζῆν δ' ἀπραγμόνως καὶ ἀσφαλῶς. ὁ δὲ Καῖσαρ ᾔδει μὲν ὑπ' εὐνοίας ταῦτα παραινοῦντα, ἐγίγνωσκε δὲ τἀναντία, μεγάλα ἐπινοῶν ἤδη καὶ φρονήματος μεστὸς ὤν, ποιούμενος δὲ ἴδια πόνον καὶ κίνδυνον ἢ ἀνδρῶν ἀπέχθειαν, οἷς οὐκ ἔμελλεν ἀρεστὸς φανεῖσθαι εἰ τοσοῦδε ὀνόματος καὶ ἀρχῆς παραχωρήσειεν ὁτῳοῦν, ἄλλως τε καὶ τῆς πατρίδος συμπροθυμουμένης καὶ ἐπὶ τὰς πατρῴους τιμὰς καλούσης αὐτὸν ἐκ τοῦ δικαιοτάτου· καὶ γὰρ φύσει καὶ νόμῳ τὰς ἀρχὰς αὐτῷ προσήκειν, ἄγχιστα τοῦ γένους ὄντι καὶ ὑπ' αὐτοῦ κείνου παιδὶ τεθειμένῳ· καὶ τὸ ἐπεξελθεῖν δ' αὐτῷ καὶ τιμωρῆσαι τοιαῦτα πεπονθότι πάντων εἶναι δικαιότατον. ὁ μὲν δὴ ταῦτα ἐφρόνει τε καὶ τὸν Φίλιππον γράφων ἀνεδί-

δασκεν οὐ μάλα πειθόμενον. Ἀτία δὲ ἡ μήτηρ τὸ μὲν εὐκλεὲς τῆς τύχης καὶ τὸ μέγεθος τῆς δυναστείας ἔχαιρεν ὁρῶσα περιεληλυθὸς τῷ ἑαυτῆς παιδί, εἰδυῖα δὲ μεστὸν τὸ πρᾶγμα φόβων τε καὶ κινδύνων, καὶ ἅμα ἑορακυῖα Καίσαρα τὸν ἑαυτῆς θεῖον οἷα πάθοι, οὐ πάνυ προσίετο πάλιν· ἐῴκει δὲ μεταξὺ ἀμφοτέρων εἶναι τῶν γνωμῶν, τῆς τε τοῦ ἀνδρὸς Φιλίππου καὶ τοῦ υἱέος. καὶ ἡ μὲν διὰ τοῦτο ἐν φροντίσι μυρίαις ἦν, τοτὲ μὲν ἀνιωμένη, ἐπειδὰν τοὺς ἠρτημένους ἀριθμῆται κινδύνους τῶν συμπάντων ἄρχειν ἀξιοῦντι, τοτὲ δ' ἐπαιρομένη, ἐπειδὰν τὸ μέγεθος τῆς ἐξουσίας τε καὶ τιμῆς λογίζηται. διὸ ἀποτρέπειν μὲν τὸν παῖδα οὐκ ἐτόλμα μεγάλοις ἐγχειροῦντα καὶ ἐπὶ δικαίαν ἄμυναν ὡρμημένον, οὐ μὲν δὴ οὐδὲ συμπαρορμᾶν διὰ τὸ ἄδηλον τοῦ δαίμονος· συνεχώρει δ' ὅμως τοὔνομα ἔχειν τὸ Καίσαρος, καὶ αὐτὴ πρώτη συνέπαινος ἦν. πάντων δὲ τῶν φίλων καὶ περὶ τοῦδε ὁ Καῖσαρ πυθόμενος ἃ ἐφρόνουν, οὐδὲν μελλήσας τύχῃ ἀγαθῇ καὶ ἐπ' εὐφήμῳ κληδόνι δέχεται τοὔνομά τε καὶ τὴν υἱοθεσίαν, ἣ καὶ αὐτῷ καὶ πᾶσιν ἀνθρώποις ἀρχὴ ἀγαθῶν ἦν, πολὺ δὲ μάλιστα τῇ πατρίδι καὶ σύμπαντι τῷ Ῥωμαίων γένει. ἔπεμψε δὲ παραχρῆμα καὶ ἐπὶ τὰς ἐν Ἀσίᾳ παρασκευὰς καὶ τὰ χρήματα ἃ προύπεμψε Καῖσαρ πρότερον ἐπὶ τὸν Παρθικὸν πόλεμον. καὶ ἐπειδὴ ἐκομίσθη, καὶ σὺν αὐτοῖς ὁ ἐτήσιος φόρος τῶν ἐν Ἀσίᾳ ἐθνῶν, ἀρκούμενος Καῖσαρ τοῖς πατρῴοις τὰ δημόσια εἰς τὸ ταμιεῖον τῆς πόλεως ἀπέπεμψε. παρῄνουν δὲ καὶ τότε αὐτῷ τῶν φίλων οἳ καὶ ἐν Ἀπολλωνίᾳ χωρεῖν ἐπὶ τὰς ἀποικίας τοῦ πατρὸς καὶ τὰ στρατεύματα συγκροτεῖν, κἀκείνους εἰς τὴν ὑπὲρ αὐτοῦ ἔξοδον ἄλλως τε καὶ τοῦ ὀνόματος μεγάλου *. ἥδιστα γὰρ καὶ τοὺς στρα-

τιώτας ἡγουμένου τοῦ Καίσαρος υἱέος ἀκολουθήσειν τε καὶ πάντα δράσειν· θαυμαστὴ γάρ τις αὐτοῖς πίστις τε καὶ εὔνοια ὑπῆρχε πρὸς ἐκεῖνον καὶ μνήμη ὧν συγκατειργάσαντο ζῶντι, πόθος τε ἐπὶ τοῦ ἐκείνου ὀνόματος συναγωνίζειν ἣν αὐτοὶ ἐκείνῳ πρότερον περιέθεσαν ἀρχήν. ἀλλὰ τῶνδε μὲν οὐδέπω ὁ καιρὸς ἐφαίνετο εἶναι· ἐσπούδαζε δὲ νομίμως τὰς πατρῴους ἀρχὰς μετιὼν γνώμῃ συγκλήτου μὴ λαβεῖν δόξαν φιλοτιμουμένου μᾶλλον ἤπερ νομίμου. διὸ τῶν φίλων τοῖς πρεσβυτάτοις τε καὶ ἐμπειρίᾳ προύχουσι μάλιστα ἐπείθετο, ἀπό τε Βρεντεσίου ὥρμησεν ἐπὶ Ῥώμης.

Ἐπιζητεῖ δὲ τοὐντεῦθεν ὁ λόγος ὅπως συστήσειαν 19
τὴν ἐπιβουλὴν οἱ σφαγεῖς ἐπὶ Καίσαρα καὶ ὡς τὸ σύμπαν κατειργάσαντο, τά τε μετὰ ταῦτα πραχθέντα, κινηθέντων τῶν ὅλων. διέξειμι οὖν αὐτήν τε πρῶτον καθ' ὅ,τι ἐγένετο καὶ ὅπως τάς τε αἰτίας ὑφ' ὧν συστᾶσα τοσόνδε ἐπεξῆλθεν· ἔπειτα δὲ περὶ τοῦ ἑτέρου Καίσαρος, οὗ ἕνεκα ὅδε ὁ λόγος ὥρμηται, ὅπως τε παρῆλθεν εἰς τὴν ἀρχὴν καὶ ἐπειδὴ ἀντ' ἐκείνου κατέστη, ὅπως ἔργα πολέμου καὶ εἰρήνης ἀπεδείξατο. ἦρξαν μὲν οὖν τῆς ἐπιβουλῆς ἄνδρες τὸ μὲν πρῶτον ὀλίγοι, μετὰ δὲ ταῦτα πολλοὶ καὶ ὅσοι οὔποτε πρότερον ἐπὶ ἡγεμόνα μνημονεύονται συστῆναι. φασὶ γὰρ τοὺς μετασχόντας τοῦ λόγου γενέσθαι ὑπὲρ π΄· ἐν οἷς μέγιστον ἠδύνατο Δέκμος τε Βροῦτος, φίλος εἰς τὰ μάλιστα ὢν Καίσαρι, καὶ Γάιος Κάσσιός τε καὶ Μάρκος Βροῦτος, οὐδενὸς ἧττον παρὰ Ῥωμαίοις τότε ἐπαινούμενος· πάντες δὲ πρότερον ἀντιπόλεμοί τε ἦσαν καὶ τὰ Πομπηίου ηὖξον· ἐκείνου δὲ ἡττηθέντος, γενόμενοι ὑπὸ Καίσαρι τὸ ἀπὸ τοῦδε εἰρηνικὸν βίον εἶχον· οὐδὲ γὰρ ἄλλως φιλανθρώπως προσα-

γομένου ἕκαστον ἐν τῇ διανοίᾳ τὸ δύσελπι αὐτῶν ἀφῃροῦντο, ἀμνησίκακος ὢν τὸ ἦθος πρὸς τοὺς κρατηθέντας διά τινα πρᾳότητα. καρπούμενοι δὴ τὸ ἀπ' ἐκείνου ἀνύποπτον, κατεχρήσαντο αὐτῷ εἰς τὸ μᾶλλόν τι λανθάνειν ἐπιβουλεύοντες ἐπαγωγοῖς τε λόγοις καὶ ἔργοις προσποιήτοις. αἰτίαι δ' αὐτοὺς ἐνῆγον ἐπιχειρεῖν τἀνδρὶ οὐκ ἀπὸ μικρῶν διαφόρων ἰδίᾳ τε ἑκάστοις καὶ κοινῇ πᾶσι γεγονυῖαι. οἱ μὲν γὰρ ἐλπίδος τι ἔχοντες, εἰ ἐκεῖνον ἐκποδὼν ποιήσαιντο, αὐτοὶ ἡγεμόνες ἀντ' ἐκείνου ἔσεσθαι, τὴν ἐπιβουλὴν συνίστασαν, οἱ δὲ ὑπὸ ὀργῆς ὧν πάθοιεν παρὰ τὸν πόλεμον, οἰκείων αὐτοῖς ἀπολωλότων ἢ τὰ χρήματα ἀφῃρημένοι ἢ ἀρχὰς ἐν τῇ πόλει, ἐνεπικραίνοντο, καὶ τὸ ὀργιζόμενον ὑποκρυπτόμενοι τοῦ εὐπρεποῦς τι μετεποιοῦντο, ὡς δυσχεραίνοιεν τὴν ἑνὸς ἀρχήν, ζητοῖεν δὲ κατ' ἰσονομίαν πολιτεύεσθαι. ἄλλα δὲ ἄλλοις αἴτια συνενεχθέντα ὑφ' ὧν ἔτυχε προφάσεων τὸ μὲν πρῶτον αὐτοὺς τοὺς δυνατωτάτους συνέστησεν, ἔπειτα πολὺ πλείους προσήγετο, τοὺς μὲν αὐτεπαγγέλτους κατ' ἴδια ἐγκλήματα, τοὺς δὲ κατὰ σύμπραξιν ἑτέροις ἐκ τῆς πάλαι φιλίας πολὺ τὸ πιστὸν ὑποφαίνοντας καὶ κατὰ τοῦτο προσηταιρισμένους. ἦσαν δέ τινες οἱ κατ' οὐδέτερον, ἀλλὰ τῇ τε ἀξιώσει τῶν ἀνδρῶν συνεπιδιδόντες τὴν γνώμην, καὶ ἐκ τῆς πάλαι δημοκρατίας ἀχθόμενοι τῇ ἑνὸς ἰσχύι, ἄσμενοί τε ἄν, εἰ καὶ μὴ αὐτοὶ ἄρξαι τοῦ πράγματος, ἀλλ' ἑτέρου γε ἄρξαντος συλλαβέσθαι τότ' ἀγαπητῶς μετὰ τοιούτων ἀνδρῶν, εἰ καί τι δέοι παθεῖν, οὐκ ὀκνοῦντες. πολλὰ δ' ἐξώτρυνε καὶ ἡ ἐκ παλαιοῦ Βρούτοις ὑποῦσα εὔκλεια τῶν προγόνων τοὺς ἀπὸ Ῥωμύλου βασιλέας τῆς Ῥώμης καταλελυκότων καὶ δημοκρατίαν πρῶτον καταστησαμένων. οἳ

τε φίλοι πρότερον ὄντες τῷ Καίσαρι οὐκέθ᾽ ὁμοίως εὖνοι ἦσαν, εἰς ἴσον ἑαυτοῖς ὁρῶντες τιμωμένους τοὺς πάλαι μὲν πολεμίους, ὑπ᾽ ἐκείνου δὲ σωθέντας. οὐ μὴν οὐδὲ αὐτοῖς ἐκείνοις τὸ εὔνουν ὑπῆρχεν, ἀλλ᾽ ἐπίπροσθεν τῆς χάριτος γιγνόμενον τὸ ἀρχαῖον μῖσος οὐχ ὧν εὖ ἔπαθον σωθέντες μνήμην ἐνεποίει, ἀλλ᾽ ὧν ἀπεστερήθησαν ἀγαθῶν κρατηθέντες ἐννοούμενοι παρωξύνοντο. πολλοὶ δὲ καὶ αὐτῷ ἤχθοντο τῷ δι᾽ ἐκείνου σεσῶσθαι, καίτοι γε ἀνονείδιστα αὐτοὺς πάντα πεποιηκότος· ἀλλ᾽ ὅμως αὐτὸ τὸ ἐν χάριτος μέρει λαβεῖν ταῦθ᾽ ἃ κατὰ πολλὴν εὐμάρειαν κρατοῦσιν ὑπῆρχε, σφόδρα ἐν τῇ διανοίᾳ ἐνὸν ἐλύπει. καὶ μὲν δὴ κἀκείνων τὰ ἤθη αὐτῷ διάφορα ἤδη ἦν, τῶν τε συστρατευομένων πάλαι ἐν ἰδιωτῶν μοίρᾳ τῶν τε ἡγεμόνων καὶ οὐ τιμῆς μεταποιουμένων· τὸ μὲν ὅτι συγκατελέλεκτο εἰς τὸ ἀρχαῖον στρατιωτικὸν τὸ πολέμῳ ἁλόν, καὶ τοὺς ἴσους μισθοὺς ἔφερεν· ἤχθοντο οὖν οἱ φίλοι ἐν ἴσῳ τιμώμενοι τοῖς ὑπ᾽ αὐτῶν αἰχμαλώτοις γενομένοις, ἔστι δ᾽ ὑφ᾽ ὧν καὶ παρωθούμενοι τιμῆς· πολλοῖς δὲ καὶ τὸ εὖ πάσχειν ὑπ᾽ αὐτοῦ διαφερόντως ἀνιαρὸν ἦν κατά τε χρημάτων δόσεις καὶ ἀρχῶν συντάξεις, ὡς μόνου δυναμένου τοῦτο ποιεῖν, τῶν δὲ ἄλλων πάντων ἐν οὐδενὸς μοίρᾳ παρεωσμένων. αὐτός τε ἐκεῖνος ἐπὶ πολλαῖς καὶ καλαῖς νίκαις ἀγαλλόμενος οὐκ ἀπεικότως, πλέον τε ἢ ἄνθρωπος ἀξιῶν ἤδη εἶναι, τοῖς μὲν πολλοῖς ἐθαυμάζετο, τοῖς δὲ μεγάλοις καὶ δυναστείας μεταποιουμένοις ἐπαχθὴς ἐδόκει εἶναι. παντοδαπὰ οὖν συνέστη φῦλα ἐπ᾽ αὐτὸν ἀνδρῶν μεγάλων, μικρῶν, φίλων, πολεμίων, στρατιωτῶν, πολιτικῶν, ἑκάστων προφάσεις ἰδίας εἰς τὸ ἔργον ὑποτεινομένων καὶ ἀπὸ τῶν οἰκείων ἐγκλημάτων ἐμπιστευόντων καὶ ταῖς παρὰ

τῶν ἄλλων κατηγορίαις. ἕκαστός τε ἕκαστον συνιστάμενοι παρώξυνον, καὶ τὸ εἰς ἀλλήλους βέβαιον ἐκ τῶν ἰδίᾳ ὑπόντων πρὸς αὐτὸν ἐγκλημάτων παρείχοντο. δι' ὃ καὶ τοσούτων γενομένων τῶν συστάντων, οὐδεὶς ἐτόλμησε καταμηνῦσαι τὴν πρᾶξιν. φασὶ δέ τινες ὀλίγον πρὸ τοῦ θανάτου γραμματίδιον αὐτῷ ὑπό του δεδόσθαι μηνῦον τὴν ἐπιβουλήν· ὃ μετὰ χεῖρας ἔχων πρὶν ἀναγνῶναι ἀπεσφάγη· μετὰ δὲ ἀποθανόντος ἀνηυρέθη ἐν τοῖς ἄλλοις γραμματιδίοις.

20 Ταῦτα μὲν οὖν ὕστερον ἐγνώσθη· τότε δὲ ἄλλαις ἐπ' ἄλλαις τιμαῖς αὐτῷ ψηφιζομέναις τῶν μὲν χαρίζεσθαι βουλομένων, ἐνίων δὲ μετὰ ἐνέδρας δεχομένων τὰς ὑπερβεβλημένας καὶ εἰς ἅπαντας ἐκφερόντων, ὡς ἂν φθόνος ὁμοῦ καὶ ὑποψία ἐγγένοιτο ἐπαχθής, ὁ δὲ ἅτε ἁπλοῦς ὢν τὸ ἦθος καὶ ἄπειρος πολιτικῆς τέχνης διὰ τὰς ἐκδήμους στρατείας, ἡλίσκετο ῥαδίως τούτοις, ἐκ τοῦ εἰκότος οἰόμενος γίγνεσθαι τοὺς ἐπαίνους θαυμαζόντων αὐτὸν μᾶλλον ἤπερ ἐπιβουλευόντων. μάλιστα δὲ τῶν ἐψηφισμένων ἐλύπει τοὺς ἐν τέλει τὸ καὶ τῶν ἀρχῶν ἄκυρον γενέσθαι τῆς καταστάσεως τὸν δῆμον, ἐκείνῳ δ' αὐτὰς ἀποδίδοσθαι οἷς βούλοιτο διδόναι, ὥσπερ τὸ δόγμα ἐκέλευεν οὐ πρὸ πολλοῦ κεκυρωμένον. παντοδαπαὶ δὲ καὶ ἐν τῷ ὁμίλῳ λογοποιίαι διεφέροντο, ἄλλων ἄλλα διεξιόντων. οἱ μὲν γὰρ ἔφασκον βασίλειον αὐτῷ ἐγνωκέναι συμπάσης γῆς καὶ θαλάττης Αἴγυπτον ἀποδεικνύναι, ἔνθα βασιλίδα Κλεοπάτραν αὐτῷ τεκεῖν παῖδα Καισαρίωνα φοιτήσασαν εἰς εὐνήν· ὅπερ αὐτὸς ἤλεγξεν ἐν ταῖς διαθήκαις ψεῦδος ὄν· οἱ δ' ἐν Ἰλίῳ τοῦτο ἔφασαν αὐτὸν μέλλειν καθίστασθαι διὰ τὴν παλαιὰν πρὸς τὸ Δαρδανιδῶν γένος συγγένειαν. γενόμενον δέ τι καὶ τοιόνδε παρώξυνε τὰ

μάλιστα τοὺς ἐπ' αὐτὸν συνεστῶτας. ἦν αὐτῷ χρυσοῦς ἀνδριάς, ὥσπερ ἐψήφιστο, ἐπὶ τῶν ἐμβόλων. τούτου διάδημα ὤφθη περὶ τῇ κεφαλῇ κείμενον· ὑπόπτως δὲ πάνυ πρὸς αὐτὸ ἔχουσι Ῥωμαῖοι, δουλείας οἰόμενοι εἶναι σύμβολον· ἐπελθόντες δὲ τῶν δημάρχων Λεύκιος καὶ Γάιος ἐκέλευσάν τινι τῶν ὑπηρετῶν ἀναβάντι καθελεῖν αὐτὸ καὶ ῥῖψαι. τοῦτο γενόμενον Καῖσαρ ὡς ᾔσθετο, καλέσας τὴν σύγκλητον εἰς τὸ τῆς Ὁμονοίας ἱερὸν κατηγόρησε τῶν δημάρχων, φάσκων αὐτοὺς εἶναι τοὺς περιθέντας κρύφα τὸ διάδημα, ὅπως ἂν ἐν φανερῷ αὐτὸν ὑβρίσειαν καὶ δοκοῖεν ἀνδραγαθίζεσθαι ἐπὶ τῇ ἐκείνου ἀτιμίᾳ, ὡς οὔτε βουλῆς οὔτ' αὐτοῦ ἐπιστρεφόμενοι· μείζονός τε γνώμης καὶ ἐπιβουλῆς εἶναι αὐτοῖς τὸ δραθέν, εἴ πως δύναιντο εἰς τὸ πλῆθος αὐτὸν διαβαλόντες ὡς ἂν δυναστείας παρανόμου ἐρῶντα καὶ αὐτοὶ ἐξάρχοντες νεωτεροποιίας ἀποκτεῖναι. ταῦτα εἰπών, συνδόξαν τῇ συγκλήτῳ, ἤλασεν αὐτοὺς φυγάδας. καὶ οἱ μὲν ᾤχοντο φεύγοντες, ἕτεροι δ' ἀντ' αὐτῶν δήμαρχοι ἐγένοντο· ὁ δὲ δῆμος ἐβόα βασιλέα τε αὐτὸν εἶναι καὶ ἀναδεῖσθαι μηδὲν ἔτι μέλλοντα, ἐπεὶ καὶ ἡ Τύχη αὐτὸν ἀναδέδεκεν. ὁ δὲ πᾶν ἂν ἔφη χαρισάμενος τῷ δήμῳ διὰ τὴν πρὸς αὐτὸν εὔνοιαν τοῦτο οὔποτε δώσειν, καὶ συγγνώμην ᾐτεῖτο εἰ ἀντιλέγει σώζων τὰ πάτρια· βούλεσθαι γὰρ τὴν ὕπατον ἀρχὴν ἔχειν νομίμως ἢ βασιλείαν παρανόμως.

Τοιαῦτα μὲν δὴ τότε ἐλέγετο· μετὰ δὲ ταῦτα 21 *ἑορτὴ ἐν τῇ Ῥώμῃ ἐγένετο χειμῶνος, Λουπερκάλια καλεῖται, ἐν ᾗ γηραιοί τε ὁμοῦ πομπεύουσι καὶ νέοι γυμνοί, ἀληλιμμένοι τε καὶ διεζωμένοι, τούς τε ὑπαντῶντας κατακερτομοῦντες καὶ τύπτοντες αἰγείαις δοραῖς. τότε δὲ ἐνστάσης, ἡγεμὼν ᾑρέθη Μάρκος*

Ἀντώνιος· καὶ προήει διὰ τῆς ἀγορᾶς, ὥσπερ ἔθος ἦν, συνείπετο δὲ αὐτῷ καὶ ἄλλος ὄχλος. καθημένῳ δὲ Καίσαρι ἐπὶ τῶν ἐμβόλων λεγομένων ἐπὶ χρυσοῦ θρόνου καὶ ἱμάτιον ἁλουργὲς ἀμπεχομένῳ πρῶτον Λικίνιος δάφνινον ἔχων στέφανον, ἐντὸς δὲ διάδημα περιφαινόμενον, προσέρχεται· ἦν γὰρ ὑψηλὸς ὁ τόπος ἐφ' οὗ Καῖσαρ ἐδημηγόρει· βασταχθεὶς ὑπὸ τῶν συναρχόντων, καὶ κατέθηκεν αὐτοῦ πρὸ τῶν ποδῶν τὸ διάδημα. βοῶντος δὲ τοῦ δήμου ἐπὶ τὴν κεφαλὴν τιθέναι, καὶ ἐπὶ τοῦτο Λέπιδον καλοῦντος τὸν ἵππάρχην, ὁ μὲν ὤκνει· ἐν τούτῳ δὲ Κάσσιος Λογγῖνος, εἷς τῶν ἐπιβουλευόντων, ὡς δῆθεν εὔνους ὤν, ἵνα καὶ λανθάνειν μᾶλλον δύναιτο, ὑποφθὰς ἀνείλετο τὸ διάδημα καὶ ἐπὶ τὰ γόνατα αὐτοῦ ἔθηκε. συνῆν δὲ καὶ Πόπλιος Κάσκας. Καίσαρος δὲ διωθουμένου καὶ τοῦ δήμου βοῶντος, ταχὺ προσδραμὼν Ἀντώνιος γυμνὸς ἀληλιμμένος, ὥσπερ ἐπόμπευεν, ἐπὶ τὴν κεφαλὴν ἐπιτίθησι. Καῖσαρ δὲ ἀνελόμενος αὐτὸ εἰς τὸν ὄχλον ἔρριψε. καὶ οἱ μὲν τελευταῖοι ἐκρότησαν ἐπὶ τούτῳ, οἱ δὲ πλησίον ἐβόων δέχεσθαι καὶ μὴ διωθεῖσθαι τὴν τοῦ δήμου χάριν. ἄλλοι γὰρ ἄλλην γνώμην περὶ τῶν δρωμένων εἶχον· οἱ μὲν γὰρ ἐδυσχέραινον, ἅτε δυναστείας δήλωσιν μείζονος ἢ κατὰ δημοκρατίαν· οἱ δὲ χαρίζεσθαι οἰόμενοι συνέπραττον· οἱ δὲ οὐκ ἔξω τῆς γνώμης αὐτοῦ διεθρόουν τοῦτο Ἀντώνιον πεποιηκέναι· πολλοῖς δ' ἦν καὶ βουλομένοις βασιλέα αὐτὸν ἀναμφιλόγως γενέσθαι. παντοδαπαὶ μὲν φῆμαι ἐν τῷ ὁμίλῳ ἦσαν. τὸ δ' οὖν δεύτερον Ἀντωνίου ἐπιτιθέντος, ὁ δῆμος ἐβόησε, Χαῖρε, βασιλεῦ, τῆς ἑαυτοῦ γλώττης. ὁ δὲ οὐ δεχόμενος ἐκέλευσεν εἰς τὸ τοῦ Καπιτωλίου Διὸς ἱερὸν ἀποφέρειν αὐτό· ἐκείνῳ γὰρ μᾶλλον ἁρμόττειν. καὶ

πάλιν ἐκρότησαν οἱ αὐτοί, ὥσπερ καὶ πάλαι. λέγεται δὲ καὶ ἕτερος λόγος, ὡς ταῦτα ἔπραττεν Ἀντώνιος ἐκείνῳ μέν, ὥς γε ᾤετο, χαρίζεσθαι βουλόμενος, αὑτῷ δὲ ἐλπίδα μνώμενος, εἰ γένοιτο ποιητὸς υἱός. τελευταῖον δὲ ἀσπασάμενος Καίσαρα δίδωσι τῶν παρεστώτων τισὶν ἐπιθεῖναι αὐτὸ ἐπὶ τὴν κεφαλὴν τοῦ πλησίον ἀνδριάντος Καίσαρος· οἱ δὲ ἐπέθεσαν. ἐν δ' οὖν τοῖς τότε οὐδενὸς ἧττον καὶ τόδε πραχθὲν ἤγειρε θᾶττον τοὺς ἐπιβουλεύοντας, πίστιν ἐν ὀφθαλμοῖς μείζω παρασχὸν ὧν δι' ὑποψίας εἶχον.

Κίννας δὲ μετ' οὐ πολὺ στρατηγῶν Καίσαρα 22
παραιτησάμενος δόγμα ἐκύρωσε κατιέναι τοὺς ἀπελαθέντας δημάρχους καί, ὥσπερ βούλεται ὁ δῆμος, πεπαυμένους τῆς ἀρχῆς ἰδιώτας εἶναι τῶν κοινῶν μὴ εἰργομένους. Καῖσαρ δὲ οὐ διεκώλυε τὴν κάθοδον· καὶ οἱ μὲν κατῄεσαν. ἀρχαιρεσίαι δ' ἦσαν ἐνιαύσιοι, ὑπὸ Καίσαρος ἀγόμεναι· αὐτὸς γὰρ εἶχε τὴν τούτων ἐξουσίαν, ὥσπερ ἐκέλευσε τὸ δόγμα· καὶ δὴ ἀποδείκνυσιν εἰς τὸ ἐπιὸν ὑπάτους Οὐίβιον Πάνσαν καὶ Αὖλον Ἵρτιον, εἰς δὲ τρίτον ἔτος Δέκμον Βροῦτον, ἕνα τῶν ἐπιβούλων, καὶ Μουνάτιον Πλάγκον. κατόπιν δὲ τούτου καὶ ἕτερον ἐπράχθη, ὃ σφόδρα ἤγειρε τοὺς συνεστῶτας. ἀγορὰν κατεσκεύαζε μεγάλην καὶ ἀξιοπρεπῆ ἐν Ῥώμῃ, καὶ τοὺς τεχνίτας ἀθροίσας τὰ ἔργα εἰς τὴν κατασκευὴν διεπίπρασκεν. ἐν τούτῳ δὲ αὐτῷ προσῆλθον οἱ Ῥωμαίων ἄριστοι τιμὰς φέροντες, ἅστινας τότε ἐψηφίσαντο ἐν κοινῷ. τούτων δ' ἡγεῖτο μὲν ὁ ὕπατος, συνάρχων τότε αὐτῷ ὤν, κομίζων τὰ ἐψηφισμένα· ῥαβδοφόροι τε προῄεσαν ἔνθεν καὶ ἔνθεν τὸν ὄχλον ἀνείργοντες· συνῄεσαν δὲ τῷ ὑπάτῳ οἵ τε στρατηγοὶ καὶ δήμαρχοι καὶ ταμίαι καὶ ἄλλαι πᾶσαι ἀρχαί· μετὰ δὲ ἡ σύγκλητος ἐν κόσμῳ

εἵπετο καὶ ὁ δῆμος πᾶς ἄπειρος τὸ πλῆθος καὶ ὅσος οὐκ ἄλλος· πολλὴ δὲ ἥ τε ἔκπληξις ἦν καὶ τὸ ἀξίωμα τῶν πρώτων, εἰς οὓς τὰ συμπάντων ἀνήρτητο κράτη, θαυμαζόντων ἄλλον κρείττω. ὁ δὲ προσιόντων ἐκάθητο καὶ διὰ τὸ τοῖς ἐκ πλαγίου ὁμιλεῖν οὔτ' ἐπιστρέψας πρὸς αὐτοὺς τὸ πρόσωπον οὔτε προσέχων, ἀλλ' ὁμοίως διοικῶν ἃ ἐν χερσὶν εἶχεν, εἰς ὃ τῶν πλησίον φίλων τις εἶπεν, Ὅρα τοὺς ἐξ ἐναντίας προσιόντας· καὶ τότε ἀποθέμενος τὰ γραμματίδια ἐπεστράφη καὶ περὶ ὧν ἦλθον ἤκουε. συνέντες οὖν αὐτοῖς οἱ ἐπιβουλεύοντες τὸ γεγονὸς καὶ τοὺς ἄλλους τῆς πρὸς αὐτὸν δυσμενείας ἀνέπλησαν καὶ αὐτοὺς ἤδη ἀχθομένους· ὤργων τότε καὶ οἱ ἐπὶ ὀλέθρῳ τῶν συμπάντων, μήτι γε ἐπ' ἐλευθερίᾳ ἐπιχειρεῖν τῷ ἀνδρί, καὶ προσεδόκων χειρώσεσθαι αὐτὸν ἀνίκητον παντάπασι δοκοῦντα εἶναι· δυσὶ γὰρ καὶ τριακοσίαις μάχαις ἐδόκει συμβαλὼν εἰς ἐκεῖνον τὸν χρόνον ἔν τε Ἀσίᾳ καὶ Εὐρώπῃ οὔποθ' ἡττῆσθαι. μόνος δὲ πολλάκις ἐξιὼν καὶ φαινόμενος αὐτοῖς ἐλπίδα ἐνεδίδου τοῦ ἐπιβουλῇ ἁλώσιμος εἶναι· ἐμηχανῶντό τε, εἴ πως παραλύσειαν αὐτοῦ τὴν ἀμφὶ τὸ σῶμα φυλακήν, λόγῳ τε κηλοῦντες ὡς χρεὼν εἴη ἱερὸν αὐτὸν πρὸς πάντων νομίζεσθαι πατέρα τε καλεῖσθαι τῆς πόλεως, καὶ ψηφίσματα περὶ τούτων γράφοντες, εἴ πως ἐκεῖνος τούτοις παραχθεὶς τῷ ὄντι πιστεύσειεν ὑπ' αὐτῶν στέργεσθαι, καὶ τοὺς δορυφόρους ἀπολύσειεν, οἰόμενος τῇ πάντων εὐνοίᾳ φυλάττεσθαι. ὅπερ γενόμενον πολλὴν αὐτοῖς εἰς τὸ ἔργον ῥαστι΄νην παρέσχε.

23 Συνῄεσαν δ' ἐν φανερῷ μὲν οὔποτε βουλευσόμενοι, λάθρα δὲ κατ' ὀλίγους εἰς τὰς ἀλλήλων οἰκίας· καὶ πολλὰ μέν, ὥσπερ εἰκὸς ἦν, ἐλέχθη τε αὐτοῖς

καὶ ἐκινήθη, σκοπουμένοις τοσόνδε ἔργον ὅπως τε ἐπιθήσονται καὶ ὅπου. τινὲς μὲν οὖν εἰσέφερον διὰ τῆς ἱερᾶς καλουμένης ὁδοῦ ἰόντι ἐγχειρεῖν· ἐφοίτα γὰρ πολλάκις ἐκείνῃ· ἄλλοι δ' ἐν ταῖς ἀρχαιρεσίαις, ἐν αἷς αὐτὸν ἔδει καθιστάντα ἐν τῷ πρὸ τῆς πόλεως πεδίῳ τὰς ἀρχὰς διιέναι τινὰ γέφυραν, διακληρωσάμενοι τὸ ἔργον, ὅπως οἱ μὲν ὤσειαν αὐτὸν ἀπὸ τῆς γεφύρας, οἱ δὲ ἐπιδραμόντες κτείνειαν· ἄλλοι δὲ ὅταν θέαι μονομάχων ἄγωνται· ὑπόγυοι δ' ἦσαν· ἔνθα καὶ ὅπλα ὁρᾶσθαι παρεσκευασμένα ἐπὶ τὴν πρᾶξιν ἀνύποπτον ἦν διὰ τὸν ἀγῶνα. οἱ πλεῖστοι δὲ παρῄνουν ἐν τῇ βουλῇ συνεδρεύοντα κτείνειν, ἡνίκα μόνος αὐτὸς ἔμελλεν ἔσεσθαι· οὐ γὰρ συνεισίασιν οἱ μὴ μετέχοντες αὐτῆς· πολλοὶ δ' οἱ ἐπιβουλεύοντες ὑπὸ τοῖς ἱματίοις ἔχοντες ἐγχειρίδια. καὶ ἐκράτει ἥδε ἡ γνώμη. συνέλαβε δὲ καὶ τύχη τις εἰς τοῦτο, ποιήσασα ἡμέραν ῥητὴν αὐτὸν ὁρίσαι εἰς ἣν συνίασιν οἱ ἐκ τοῦ συνεδρίου βουλευσόμενοι περὶ ὧν αὐτὸς ἔμελλεν εἰσοίσειν. ἐπεὶ δὲ ἐνέστη ἡ κυρία ἡμέρα, συνήεσαν παρεσκευασμένοι τοῖς πᾶσιν. ἐγίγνετο δὲ αὐτοῖς ἡ σύνοδος εἰς τὴν Πομπηίου στοάν, ἔνθα ἑκάστοτε συνελέγοντο. τῷ δ' ἄρα ὁ δαίμων διεδείκνυε τὰ ἐνθάδε ὁποῖα εἴη, ὡς πάντα ἀστάθμητα καὶ τῆς τύχης ἥττω, εἰς τὸ τοῦ ἐχθροῦ αὐτὸν ὑπάγων χωρίον, ἐν ᾧ ἔμελλε πρὸ τοῦ ἐκείνου ἀνδριάντος νεκρὸς κείσεσθαι, καὶ οὗ ζῶντος περιεγένετο, τούτου τεθνεῶτος πρὸς τῷ εἰδώλῳ ἀποσφάττεσθαι. ἰσχυρότερον δέ τι καὶ ἡ μοῖρα, εἰ δή τις ἐπέστη τούτοις. οἵ τε γὰρ φίλοι ἐκείνης τῆς ἡμέρας ἐκώλυον, διά τινας φήμας οἰωνιζόμενοι, πορεύεσθαι εἰς τὸ βουλευτήριον, ἰατροί τε διὰ νόσον σκοτώδη ἑκάστοτε συμβαίνουσαν αὐτῷ καὶ τότε προσπεσοῦσαν, ἥ τε γυνὴ πάντων

μάλιστα, Καλπουρνία ὄνομα, διά τινας ὄψεις ἐνυπνίων δειματωθεῖσα, ἐνέφυ τε αὐτῷ καὶ οὐκ ἔφη ἐάσειν ἐκείνης ἐξιέναι τῆς ἡμέρας. παραστὰς δὲ Βροῦτος, εἷς τῶν ἐπιβουλευόντων, ἐν δὲ τοῖς μάλιστα φίλος τότε νομιζόμενος, Τί σὺ λέγεις, εἶπεν, ὦ Καῖσαρ; καὶ σὺ ὁ τηλικόσδε, γυναικὸς ἐνυπνίοις καὶ ἀνδρῶν ματαίων κληδόσι προσσχὼν ὑβριεῖς τήν σε τιμήσασαν σύγκλητον, ἣν αὐτὸς συνεκάλεσας, οὐκ ἐξιών; ἀλλ' οὐκ ἤν γέ μοι πείθῃ, ἀλλὰ ῥίψας τὰ τούτων ὀνειροπολήματα πορεύσῃ· κάθηται γὰρ ἐξ ἑωθινοῦ σὲ περιμένουσα. καὶ ὃς ἐπείσθη τε καὶ ἐξῆλθεν.

24 Ἐν τούτῳ οἱ μὲν σφαγεῖς ηὐτρεπίζοντο, τάττοντες αὑτοὺς οἱ μὲν εἰς πλησίον αὐτοῦ καθέδρας, οἱ δὲ ἐξ ἐναντίας, οἱ δὲ κατόπισθεν. οἱ δὲ ἱερεῖς θύματα προσέφερον πρὸ τῆς εἰς τὸ βουλευτήριον εἰσόδου θυσομένῳ τὴν ὑστάτην θυσίαν ἐκείνην. καὶ δῆλον ὡς οὐκ ἐκαλλιέρει. δυσθυτοῦντες δ' οἱ μάντεις ἕτερα ἐφ' ἑτέροις θύματα ὑπήλλαττον, εἴ τι αὐτοῖς ἄμεινον ὧν ἐσημαίνετο φανείη· τελευτῶντες δὲ χαλεπῶς τὰκ θεῶν ὁρᾶν ἔφασαν, καί τινα ἀλάστορα ἐν τοῖς ἱεροῖς ἐγκεκρυμμένον δίοπτον εἶναι. ὁ δὲ ἀχθεσθεὶς ἀπεστράφη πρὸς δυόμενον τὸν ἥλιον· καὶ οἱ μάντεις πολὺ μᾶλλον τοῦτο οἰωνίσαντο. παρόντες δὲ οἱ φονεῖς ἥσθησαν ἐπὶ τούτοις. ὁ δὲ Καῖσαρ, [πολὺ] μάλιστα τῶν φίλων δεομένων ἀναβαλέσθαι τὸν σύλλογον ἐκείνης τῆς ἡμέρας διὰ τὰ λεγόμενα ὑπὶ τῶν μάντεων, ἐπένευσε καὶ δὴ τοῦτο δρᾶν. ταχὺ δ' οἱ ὑπηρέται αὐτῷ ἐπέστησαν καλοῦντες καὶ λέγοντες ὅτι πλήρης ἡ βουλὴ εἴη. καὶ ὁ μὲν εἰς τοὺς φίλους διέβλεψεν. ὁ δὲ Βροῦτος αὐτῷ πάλιν παραστάς, Ἴθι, ὠγαθέ, ἔφη, τοῖς λήροις τούτων χαίρειν

φράσας καὶ ἃ Καίσαρί τε καὶ τῇ τοσαύτῃ ἀρχῇ διοικεῖν πρέπει μὴ ἀναβάλλου, αἴσιον οἰωνὸν τὴν σεαυτοῦ ἀρετὴν ποιούμενος. καὶ ὁ μὲν ταῦτα παραπείθων, ὁμοῦ τῆς δεξιᾶς λαβόμενος, ἐγγὺς δ' ἦν καὶ τὸ συνέδριον, ἦγεν αὐτόν. ὁ δὲ εἵπετο σιωπῇ. εἰσιόντα δὲ αὐτὸν ὡς εἶδεν ἡ σύγκλητος, ὑπανέστη εἰς τιμῆς ἀξίωσιν. οἱ δὲ μέλλοντες ἐγχειρήσειν περὶ αὐτὸν ἦσαν. πρῶτος δὲ πάντων ἐπ' αὐτὸν καθίει Τίλλιος Κίμβρος, ᾧ ἔφευγεν ἀδελφὸς ἐληλαμένος ὑπὸ Καίσαρος. ἐν προσχήματι δὴ τοῦ ἀντιβολεῖν αὐτὸν λιπαρῶς ὑπὲρ τοῦ ἀδελφοῦ προσελθὼν ἥπτετο τῆς ἀναβολῆς, καί τι θρασύτερον εἴσω τὰς χεῖρας ἔχοντος ἐδόκει δρᾶν, ἐκώλυέ τε, εἰ βούλοιτο ἀνίστασθαι καὶ ταῖς χερσὶ χρῆσθαι· ὀργιζομένου δ' ἐπιστρεφῶς ἐκείνου, ἔργου εἴχοντο οἱ ἄνδρες, ταχὺ δὲ πάντες γυμνώσαντες τὰ ἐγχειρίδια ἐπ' αὐτὸν ὥρμησαν. καὶ πρῶτος μὲν Σερουίλιος Κάσκας κατὰ τὸν ἀριστερὸν ὦμον ὀρθῷ τῷ ξίφει παίει μικρὸν ὑπὲρ τὴν κλεῖν, εὐθύνων ἐπ' αὐτήν, ταραττόμενος δὲ οὐκ ἠδυνήθη. Καῖσαρ δ' ἀνέστη ὡς ἀμυνούμενος ἐπ' αὐτόν· καὶ ὃς τὸν ἀδελφὸν βοᾷ Ἑλλάδι γλώττῃ ὑπὸ θορύβου. ὁ δ' ὑπακούσας ἐρείδει τὸ ξίφος κατὰ τῆς πλευρᾶς. μικρὸν δὲ Κάσσιος ὑποφθὰς εἰς τὸ πρόσωπον ἐγκαρσίαν αὐτῷ πληγὴν δίδωσι, Δέκμος δὲ Βροῦτος ὑπὸ ταῖς λαγόσι διαμπερὲς παίει. Κάσσιος δὲ Λογγῖνος ἑτέραν ἐπενδοῦναι πληγὴν σπεύδων, τοῦ μὲν ἁμαρτάνει, τυγχάνει δὲ τῆς Μάρκου Βρούτου χειρός. Μινούκιος δὲ καὶ αὐτὸς τύπτων Καίσαρα παίει Ῥούβριον εἰς τὸν μηρόν, ἐῴκεσάν τε μαχομένοις ἐπ' αὐτῷ. πίπτει δὲ ὑπὸ πλήθους τραυμάτων πρὸ τοῦ Πομπηίου ἀνδριάντος. καὶ οὐδεὶς ἔτι λοιπὸν ἦν ὃς οὐχὶ νεκρὸν κείμενον ἔπαιεν, ὅπως ἂν καὶ αὐτὸς δοκοίη τοῦ

ἔργου συνῆφθαι, εἰς ὃ ε΄ καὶ λ΄ λαβὼν τραύματα ἀπέπνευσεν.

25 Κραυγὴ δὲ μυρία ἐφέρετο, τῶν μὲν ἐκ τοῦ συνεδρίου φυγόντων μετ᾽ ἐκπλήξεως, ὅσοι μὴ μετεῖχον τοῦ βουλεύματος, καὶ οἰομένων αὐτίκα καὶ ἐπὶ σφᾶς τὸ δεινὸν ἥξειν, τῶν δ᾽ ἔξω Καίσαρι συνόντων πάσης οἰομένων εἶναι τῆς βουλῆς τὸ ἔργον καὶ στράτευμα μέγα εἶναι τὸ ἐπὶ τοῦτο ἐληλυθός, τῶν δ᾽ ἄλλων ὑπ᾽ ἀγνοίας τοῦ γεγονότος πρὸς τὸ ἐξαπιναῖον τοῦ θορύβου καὶ τὰ ἐν ὄψει ὁρώμενα, ταχὺ γὰρ οἱ σφαγεῖς τὰ ἐγχειρίδια ᾑμαγμένα ἔχοντες* δειματουμένων τε καὶ δρόμῳ φερομένων. πάντα δ᾽ ἦν φευγόντων πλέα μετὰ κραυγῆς. ἐξανέστη δὲ καὶ ὁ δῆμος οὐδενὶ σὺν κόσμῳ φεύγων ἐκ τοῦ θεάτρου, ἐτύγχανε γὰρ θεώμενος μονομαχίας, τὸ μὲν πραχθὲν βεβαίως οὐκ εἰδώς, ὑπὸ δὲ τῆς πάντοθεν βοῆς ταραττόμενος. οἱ μὲν γὰρ ἔφασαν τὴν σύγκλητον ὑπὸ τῶν μονομάχων σφάττεσθαι, οἱ δὲ Καίσαρος ἀποσφαγέντος τὴν στρατιὰν ἐφ᾽ ἁρπαγὴν τῆς πόλεως τετράφθαι, ἄλλοι δὲ ἄλλα ὑπελάμβανον. ἀκοῦσαι δ᾽ οὐδὲν ἦν σαφές· ἄκριτος γάρ τις ἐπεῖχε τάραχος εἰς ὃ τοὺς σφαγέας εἶδον καὶ Μάρκον Βροῦτον παύοντα τὸν θόρυβον καὶ θαρρεῖν παρακελευόμενον, ὡς οὐδενὸς κακοῦ γεγονότος· ἡ δὲ σύμπασα διάνοια ἦν καὶ τὰ λόγῳ κομπαζόμενα τοῖς σφαγεῦσιν ὡς τύραννον κτείνειαν. ἐγένοντο δ᾽ ἐν αὐτοῖς λόγοι ὡς χρὴ καὶ ἄλλους ἀναιρεῖν, οἳ ἔμελλον σφίσιν ἐναντιώσεσθαι καὶ περὶ τῆς ἀρχῆς αὖθις ἀγωνιεῖσθαι· οὓς ἐπισχεῖν φασι Μάρκον Βροῦτον, οὐ δίκαιον λέγοντα εἶναι, πρὸς οὓς ἐμφανῆ μὴ ὕπεστιν ἐγκλήματα, τούτους δι᾽ ὑποψίας ἀφανοῦς ἀποσφάττειν. καὶ ἐνίκα ταῦτα. ἐξᾴξαντες δὴ τοὐντεῦθεν οἱ σφαγεῖς ἔφευγον θέοντες

διὰ τῆς ἀγορᾶς εἰς τὸ Καπιτώλιον, γυμνὰ ἔχοντες τὰ ξίφη, ὑπὲρ κοινῆς ἐλευθερίας ταῦτα βοῶντες εἰργάσθαι. εἵπετο δ' αὐτοῖς πολὺς μονομάχων καὶ οἰκετῶν ὄχλος ἐπ' αὐτὸ τοῦτο εὐτρεπής. διαδρομαὶ δ' εὐρεῖαι ἦσαν ἔν τε ταῖς ὁδοῖς καὶ κατ' ἀγοράν, διεξελθόντος ἤδη τοῦ λόγου εἰς τὸ πλῆθος ὅτι σφαγείη Καῖσαρ, ἐῴκει τε ἡ πόλις ἁλισκομένῃ. ἀναβάντες δὲ εἰς τὸ Καπιτώλιον καὶ διανειμάμενοι τὸ χωρίον ἐν κύκλῳ ἐφρούρουν, δεδοικότες μὴ τὸ Καίσαρος στρατιωτικὸν αὐτοῖς ἐπίοι.

26 *Ὁ δὲ νεκρὸς ἔτι ἔκειτο ἔνθα ἔπεσεν ἀτίμως πεφυρμένος αἵματι, ἀνδρὸς ἐλάσαντος μὲν πρὸς ἑσπέραν ἄχρι Βρεττανῶν τε καὶ Ὠκεανοῦ, διανοουμένου δ' ἐλαύνειν πρὸς ἕω ἐπὶ τὰ Πάρθων ἀρχεῖα καὶ Ἰνδῶν, ὡς ἂν κἀκείνων ὑπηκόων γενομένων εἰς μίαν ἀρχὴν κεφαλαιωθείη γῆς πάσης καὶ θαλάττης τὰ κράτη· τότε δ' οὖν ἔκειτο, μηδενὸς τολμῶντες ὑπομένειν καὶ τὸν νεκρὸν ἀναιρεῖσθαι. οἱ μὲν γὰρ παρόντες ἐπεφεύγεσαν, οἱ δ' ἔξω ὄντες τῶν φίλων ἐκρύπτοντο ἐν ταῖς οἰκίαις· οἱ δ' ἐξῄεσαν μεταμφιεννύμενοι εἴς τε τοὺς ἀγροὺς καὶ τὰ σύνεγγυς χωρία. παρέστη δ' αὐτῷ τῶν φίλων οὐδεὶς πολλῶν ὄντων οὔτε σφαττομένῳ οὔτε μετὰ ταῦτα, ὅτι μὴ Σαβῖνος Καλουίσιος καὶ Κηνσωρῖνος. οὗτοι δὲ ἐπιφερομένων τῶν περὶ Βροῦτον καὶ Κάσσιον μικρὸν ἀντιστάντες ἔφυγον διὰ τὸ ἐκείνων πλῆθος· οἱ δὲ ἄλλοι τὸ κατὰ σφᾶς περιέβλεπον· τοῖς δὲ καὶ βουλομένοις ἦν τὰ γιγνόμενα. φασί γέ τοί τινα αὐτῶν εἰπεῖν ἐπὶ τεθνεῶτι, Ἅλις τυράννου θεραπείας. οἰκέται δὲ δὴ τρεῖς, οἵπερ ἦσαν πλησίον, ὀλίγον ὕστερον ἐνθέμενοι τὸν νεκρὸν εἰς φορεῖον οἴκαδε ἐκόμιζον διὰ τῆς ἀγορᾶς ὁρώμενον, ἔνθεν καὶ ἔνθεν ἀνεσταλμένων*

τῶν παρακαλυμμάτων, αἰωρουμένας τὰς χεῖρας καὶ τὰς ἐπὶ τοῦ προσώπου πληγάς. ἔνθα οὐδεὶς ἄδακρυς ἦν, ὁρῶν τὸν πάλαι ἴσα καὶ θεὸν τιμώμενον· οἰμωγῇ τε πολλῇ καὶ στόνῳ συμπαρεπέμπετο ἔνθεν καὶ ἔνθεν ὀλοφυρομένων ἀπό τε τῶν τεγῶν καθ' οὓς γένοιτο καὶ ἐν ταῖς ὁδοῖς καὶ προθύροις. καὶ ἐπειδὴ πλησίον τῆς οἰκίας ἐγένετο, πολὺ δὴ μείζων ὑπήντα κωκυτός· ἐξεπεπηδήκει γὰρ ἡ γυνὴ μετὰ πολλοῦ ὄχλου γυναικῶν τε καὶ οἰκετῶν, ἀνακαλουμένη τὸν ἄνδρα καὶ ἑαυτὴν ὀδυρομένη, ὅτι μάτην προύλεγε μὴ ἐξιέναι τὴν ἡμέραν ἐκείνην. τῷ δ' ἤδη μοῖρα ἐφειστήκει πολὺ κρείττων ἢ κατὰ τὴν αὐτῆς ἐλπίδα.

26 Καὶ οἱ μὲν αὐτῷ τάφον ηὐτρέπιζον, οἱ δ' αὐτόχειρες, πολλοὺς πρὸ τοῦ ἔργου ἑτοιμασάμενοι μονομάχους, ἡνίκα μὲν ἔμελλον ἐγχειρήσειν, ἵδρυσαν αὐτοὺς ἐν ὅπλοις μεταξὺ τοῦ τε βουλευτηρίου καὶ τοῦ θεάτρου ἐν τῷ Πομπηίου περιπάτῳ. ἦν δ' ὁ τούτους εὐτρεπίζων Δέκμος Βροῦτος, προφάσει μὲν ὡς ἐπ' ἄλλο, συναρπάσαι δή τινα βουλόμενος, ὡς ἔφη, τῶν εἰς τὸ θέατρον συνιόντων μονομάχων, ὃς αὐτὸν ἐκείνῳ προαπεμίσθωσεν· ἀγῶνες γὰρ τότε ἦσαν· οὓς δὴ καὶ αὐτὸς δώσειν μέλλων προσεποιεῖτο φιλοτίμως ἔχειν πρὸς τὸν τότε ἀγωνοθέτην· τῷ δ' ἔργῳ ἡ παρασκευὴ ἐγίγνετο ἐπὶ τὸν φόνον, ἵν' εἴ τι ἀντικρούσεται τῶν Καίσαρι ἀμυνομένων, παρείη αὐτοῖς ἡ βοήθεια. τούτους οὖν ἔχοντες κατέβαινον ἐκ τοῦ Καπιτωλίου καὶ ἄλλο οἰκετῶν πλῆθος. συγκαλέσαντες δὲ τὸν δῆμον διάπειραν ἔγνωσαν αὐτοῦ καὶ τῶν ἐν τέλει ποιήσασθαι πῶς ἔχουσι γνώμης πρὸς αὐτούς, πότερον ὡς τυραννίδα παύσαντας ἀποδέχοιντο ἢ ὡς φονέας* μείζω κακὰ ἀπ' αὐτῶν ἐκραγήσεσθαι· οὐ γὰρ ἀπὸ μικρᾶς διανοίας καὶ παρασκευῆς γεγονέναι ταῦτα

οὔτε ὑφ᾽ ὧν ἐπράχθη οὔτε ἐπὶ οὓς ἐβουλεύθη· μεγάλα γὰρ δὴ στρατόπεδα εἶναι τὰ Καίσαρος ἐπικουρικὰ καὶ μεγάλους ἡγεμόνας τοὺς διαδόχους αὐτοῦ τῆς διανοίας ὑπολελειμμένους. σιγὴ δὲ τότε παρὰ τὸ ἄηθες ἐν θορύβῳ τῆς γνώμης πολλὴ ἦν, καραδοκούντων πάντων ὅ,τι πρῶτον ὡς ἐν τῷ τοιῷδε τολμηθείη καὶ ἄρξειε τῆς νεωτεροποιίας. ἐν τούτῳ δὲ Μάρκος Βροῦτος, κατὰ πολλὴν ἡσυχίαν τοῦ δήμου τὸ μέλλον προσδεχομένου, σωφροσύνῃ τε βίου διὰ παντὸς τιμώμενος κατά τε εὔκλειαν προγόνων καὶ τὴν ἐπ᾽ αὐτοῦ ἐπιείκειαν εἶναι δοκοῦσαν, ἔλεξε τοιάδε. (Ζήτει ἐν τῷ Περὶ δημηγοριῶν.)

Μετὰ δὲ τὴν δημηγορίαν ἀναχωρήσαντες πάλιν 27
εἰς τὸ Καπιτώλιον ἐβουλεύοντο περὶ τῶν παρόντων ὃ χρὴ ποιεῖν. ἔδοξε δ᾽ οὖν αὐτοῖς πέμψαι πρέσβεις πρός τε Λέπιδον καὶ Ἀντώνιον, ὅπως ἂν πείσειαν ἐλθεῖν τε πρὸς αὐτοὺς εἰς τὸ ἱερὸν καὶ ἐν κοινῷ βουλεύεσθαι περὶ τοῦ μέλλοντος συνοίσειν τῇ πόλει, ὑπισχνεῖσθαί τε αὐτοῖς πάνθ᾽ ὅσα ἔχουσι παρὰ Καίσαρος ἐν δωρεᾶς μέρει κύρια ποιήσειν, ὥστε τούτων γ᾽ ἕνεκα μὴ διαφέρεσθαι. τοῖς δ᾽ ἤκουσιν ἐκείνοις ἔφασαν εἰς τὴν ὑστεραίαν ἀπόκρισιν δώσειν. γενομένων δὲ τούτων περὶ δείλην ὀψίαν πολὺ μείζων κατέσχε τὴν πόλιν θόρυβος, ἕκαστός τε τὸ καθ᾽ ἑαυτὸν ἐφυλάττετο τοῦ κοινοῦ ἤδη ἀφεστηκώς, φοβούμενος τὰς ἐξαπίνης ἐπιβουλὰς καὶ ἐπιχειρήσεις, τῶν πρώτων ἐν ὅπλοις ὄντων καὶ ἀλλήλοις ἀντικαθημένων, σφίσι δὲ ἔτι ἀδήλου ὄντος τοῦ βεβαίως προστησομένου. καὶ τότε μὲν ἐπεὶ νὺξ ἦν, διελύθησαν ἀπ᾽ ἀλλήλων· τῇ δὲ ὑστεραίᾳ ἦν μὲν ἐν ὅπλοις Ἀντώνιος ὕπατος ὤν, Λέπιδος δὲ ἀθροίσας οὐκ ὀλίγην στρατιὰν ἐπικούρων διὰ μέσης ἀγορᾶς διεξῄει ἀμύνειν

ἐγνωκὼς Καίσαρι. ὡς δὲ τοῦτο γεγονὸς εἶδον οἱ πρότερον ἐνδοιάζοντες, συνέρρεον πρὸς αὐτοὺς μεθ' ὅπλων κατὰ ἰδίας ἑταιρείας, καὶ μέγα στράτευμα ἐγένετο. ἦσαν δὲ οἳ τοῦτο δέει ἔδρων οὐ βουλόμενοι φανεροὶ εἶναι χαίροντες ἐπὶ τῇ Καίσαρος τελευτῇ, ἀλλὰ τῷ συνίστασθαι μετὰ τούτων θεραπεύοντες τὴν ἔπειτα ἐλπίδα. πολλὰ δὲ ἐπέμπετο καὶ εἰς τοὺς ὑπὸ Καίσαρος εὖ πεπονθότας ἢ πόλεων κατοικίαις ἢ γῆς κληρουχήσεσιν ἢ χρημάτων νομαῖς, ὡς μέλλοι πάντα κινεῖσθαι, εἰ μή τι φανείη καὶ ἀπ' αὐτῶν καρτερόν. πολλαὶ δὲ καὶ ὀλοφύρσεις καὶ ἱκετεῖαι πρὸς τοὺς ἐκείνου φίλους ἐγίγνοντο, καὶ μάλιστα τοὺς συνεστρατευμένους πρότερον μνημονεύειν παρακελευόμεναι οἷος ὢν οἷα πάθοι ἐν ἐρημίᾳ φίλων. συνέρρεον δὲ ἤδη πολλοὶ κατά τε οἶκτον καὶ φιλότητα καὶ κέρδη ἴδια, οἱ δὲ καὶ νεωτερισμοῦ ἐρῶντες, καὶ μάλιστα ἐπειδὴ μαλακώτερα τὰ ἐκ τῶν ἐναντίων ἐφαίνετο καὶ οὐχ ὁποῖα τὸ πρότερον προσεδοκήθη κατὰ ὑπόνοιαν ἰσχύος μείζονος. ἐλέγετο δ' ἤδη ἐκ τοῦ φανεροῦ ὅτι χρὴ ἀμύνειν αὐτῷ μηδὲ ἄλλως ποιεῖν μηδὲ περιορᾶν ἀτιμώρητον τὸν φόνον. ἄλλοι δὲ ἄλλα κατὰ συστάσεις ἀθροιζόμενοι ἔλεγον, οἱ μὲν πρὸς τῶνδε, οἱ δὲ πρὸς τῶνδε. ὅσοι δὲ πολιτείας τι μετεποιοῦντο ἡδόμενοι ἐπὶ τῇ συμπάσῃ μεταβολῇ, ἐκάκιζον τοὺς Καίσαρος σφαγέας, ὅτι οὐχὶ πλείους ἀνέλοιεν τῶν τότε ὑπόπτων καὶ βέβαιον ἀποδοῖεν σφίσι τὴν ἐλευθερίαν· πράγματα γὰρ αὐτοῖς τοὺς λειπομένους οὐκ ὀλίγα παρέξειν· ἦσαν δ' οἱ προμηθείᾳ πλείονι δοκοῦντες καὶ πείρᾳ τῶν ἐπὶ Σύλλα πρότερόν ποτε συμπεσόντων εἰδότες παρακελεύεσθαι ἐκ μέσου συστῆναι ἀμφοτέροις· καὶ γὰρ τότε οἱ ἀπολωλέναι δόξαντες αὖθις ἀναθαρρήσαντες τοὺς νενικηκότας ἤλασαν· πολὺν

οὖν πόνον παρέξειν Καίσαρα καὶ ἀπολωλότα τοῖς τε σφαγεῦσι καὶ τῇ τούτων ἑταιρείᾳ, μεγάλων στρατευμάτων ἐνεστώτων καὶ ἀνδρῶν ἐπ' αὐτοῖς δραστηρίων. οἱ δὲ περὶ Ἀντώνιον πρὶν μὲν παρασκευάσασθαι, διεπρεσβεύοντο καὶ διελέγοντο τοῖς ἐν Καπιτωλίῳ. ἐπεὶ δὲ πλήθει ὅπλων καὶ στρατιᾶς ἐθάρρησαν, διοικεῖν ἠξίουν τὰ κοινὰ παύσαντες τὸν ἐν τῇ πόλει τάραχον. πρῶτον δὲ ἐν σφίσι βουλὴν προύθεσαν ὅπως χρὴ ἔχειν πρὸς τοὺς σφαγέας, συγκαλέσαντες τοὺς φίλους. τῶν δὲ Λέπιδος μὲν ἀπεφήνατο γνώμην πολεμεῖν ἄντικρυς αὐτοὺς καὶ τιμωρεῖν Καίσαρι, Ἵρτιος δὲ διαλέγεσθαι καὶ φιλίαν τίθεσθαι. ἄλλος δὲ τὴν ἐναντίαν εἶπε τῷ Λεπίδῳ προσθέμενος ὡς καὶ ἀνόσιον εἴη περιορᾶν νήποινον τὸν Καίσαρος φόνον καὶ αὐτοῖς μέντοι οὐκ ἀσφαλές, ὅσοι ἐκείνῳ ἦσαν φίλοι· καὶ γὰρ εἰ ἐν τῷ παρόντι ἡσυχάζουσιν οἱ αὐτόχειρες, ἀλλὰ δύναμίν γε κτησάμενοι χωρήσουσιν ἐπὶ πλέον. Ἀντώνιος δὲ τῇ Ἱρτίου προσθέμενος γνώμῃ σώζειν αὐτοὺς ἠξίου. ἦσαν δ' οἱ ἀποπέμψασθαι παρακελευόμενοι ἐκ τῆς πόλεως ὑποσπόνδους.

Μετὰ δὲ θάνατον καὶ κηδείαν τοῦ μεγάλου Καί- 28
*σαρος συνεβούλευσαν οἱ φίλοι Καίσαρι τῷ νέῳ Ἀντώνιον ποιήσασθαι φίλον καὶ τῶν πραγμάτων ἐπιμελητήν. *πολλῶν δὲ καὶ ἄλλων αἰτίων συμβάντων πρὸς τὴν πρὸς ἀλλήλους διαφοράν, ἐδόκει αὐτοῖς τὴν ἔχθραν ἐξάπτειν μᾶλλον*, διάφορος μὲν ὢν πρὸς Καίσαρα, συμπράττων δ' Ἀντωνίῳ. Καῖσαρ δ' οὐδὲν ὀρρωδῶν ἐκ τοῦ μεγαλόφρονος, θέας ἐποίει ἐνστάσης ἑορτῆς ἣν ὁ πατὴρ αὐτοῦ κατεστήσατο Ἀφροδίτῃ. καὶ αὖθις προσελθὼν σὺν πλείοσιν ἔτι καὶ φίλοις παρεκάλει Ἀντώνιον συγχωρῆσαι τὸν δίφρον μετὰ τοῦ στεφάνου τίθεσθαι τῷ πατρί.*

ὁ δ' ὅμοια ἠπείλησεν, εἰ μὴ τούτων ἀποστὰς ἡσυχίαν ἄγοι. καὶ ὃς ἀπῄει καὶ οὐδὲν ἠναντιοῦτο, κωλύοντος τοῦ ὑπάτου· εἰσιόντα γε μὴν αὐτὸν εἰς τὸ θέατρον ἐκρότει ὁ δῆμος εὖ μάλα καὶ οἱ πατρικοὶ στρατιῶται ἠχθημένοι διότι τὰς πατρῴους ἀνανεούμενος τιμὰς διεκωλύθη, ἄλλους τε ἐπ' ἄλλοις κρότους ἐδίδοσαν παρ' ὅλην τὴν θέαν ἐπισημαινόμενοι. ὁ δὲ τὸ ἀργύριον ἠρίθμει τῷ δήμῳ· ὅπερ αὐτῷ μεγάλην εὔνοιαν παρέσχεν. ἐξ ἐκείνης δὲ τῆς ἡμέρας μᾶλλόν τι φανερὸς ἦν Ἀντώνιος δυσμενῶς ἔχων πρὸς Καίσαρα, ἐμποδὼν γενόμενον τῇ τοῦ δήμου σπουδῇ πρὸς αὐτόν· ἑώρα τε Καῖσαρ, ὅπερ αὐτῷ ἐκ τῶν τότε παρόντων καταφανὲς [γενόμενον], προστασίας δεόμενος πολιτικῆς· ἑώρα δὲ καὶ τοὺς ὑπάτους ἐκ τοῦ φανεροῦ ἀνθεστῶτας ἰσχύν τε πολλὴν ἔχοντας καὶ ἄλλην ἔτι σφίσι προσποιοῦντας. καὶ γὰρ τὸ ταμιεῖον τῆς πόλεως, ὃ πολλῶν χρημάτων ὁ πατὴρ αὐτοῦ ἐνέπλησεν, ἐντὸς δυοῖν μηνοῖν ἢ Καίσαρα τελευτῆσαι κενὸν ἐποίησαν καθ' ἣν τύχοι πρόφασιν ἐν ἀκαταστασίᾳ πολλῇ πραγμάτων ἐκφοροῦντες ἀθρόον τὸ ἀργύριον καὶ τοῖς σφαγεῦσι φίλοι ἦσαν. μόνος δ' ἔτι λοιπὸς ἦν Καῖσαρ τιμωρὸς τῷ πατρί, διαμεθέντος Ἀντωνίου τὸ σύμπαν καὶ τὴν πρὸς τοὺς φονεῖς ἀγαπῶντος ἀμνηστίαν. συνῄεσαν οὖν πολλοὶ πρὸς αὐτόν, οὐκ ὀλίγοι δὲ καὶ πρὸς τοὺς περὶ Ἀντώνιον καὶ Δολαβέλλαν. ἦσαν δ' οἱ ἐν μέσῳ τὴν ἔχθραν ἀνάπτοντες αὐτῶν καὶ πράττοντες τοῦτο*. τούτων δ' ἦσαν κορυφαῖοι Πόπλιος, Οὐίβιος, Λεύκιος, πάντων δὲ μάλιστα Κικέρων. Καῖσαρ δὲ οὐκ ἀγνοῶν ὅντινα τρόπον αὐτῷ συνίασιν οὗτοι παροξύνοντες ἐπὶ Ἀντώνιον, οὐ διεωθεῖτο, ὅπως αὐτῷ τινα βοήθειαν φυλακήν τε ἐρρωμενεστέραν περὶ ἑαυτὸν καταστήσαιτο· ᾔδει γὰρ

ἑκάστους ἐλάχιστα μὲν τοῦ κοινοῦ προεστῶτας, περισκοποῦντας δὲ ἀρχὴν καὶ δυναστείαν, ὡς ἂν τοῦ ταῦτα κεκτημένου πρότερον ἐκποδὼν ὄντος, αὐτοῦ δὲ κομιδῇ νεωτέρου καὶ οὐκ ἂν ἀνταρκέσαντος, ὥς γε ὑπολαμβάνειν, πρὸς τοσόνδε τάραχον, ἄλλων ἄλλα προσδοκώντων καὶ ἰδίᾳ σφίσιν ἃ δύναιντο κτωμένων. ἀνῃρημένης γὰρ τῆς εἰς τὸ κοινὸν γνώμης, κατὰ πολλὰ δὲ μέρη τῶν δυνατῶν διεσχισμένων, καὶ ἑκάστων ἑαυτοῖς τὰ κράτη περιποιούντων τὰ σύμπαντα ἢ ὁπόσα γοῦν δύναιντο παρασπάσασθαι, πολυπρόσωπός τις ἦν καὶ ἀλλόκοτος ἡ ἀρχή. καὶ Λέπιδος μὲν μοῖράν τινα τῆς Καίσαρος στρατιᾶς ἀπορρήξας ἀντείχετο καὶ αὐτὸς ἐξουσίας ἐν Ἰβηρίᾳ τῇ ἐπὶ τάδε, Κελτούς τε τοὺς γειτνιῶντας τῇ ἄνω θαλάττῃ κατέχων· τοὺς δὲ Κομάτους Λεύκιος Πλάγκος ὑφ᾽ αὑτῷ ἐπεποίητο σὺν ἑτέρῳ στρατῷ ὕπατος καὶ αὐτὸς ἀποδεδειγμένος. Ἰβηρίας δὲ τοὺς ἐπέκεινα οἰκοῦντας Γάιος Ἀσίνιος ἄλλου στρατοῦ ἄρχων ὑπῆκτο. Δέκμος δὲ Βροῦτος τὴν ἰσόνομον ἐκράτει Γαλατίαν σὺν δυοῖν τάγμασιν, ἐφ᾽ ὃν ἔμελλεν αὐτίκα μάλα χωρεῖν Ἀντώνιος, Μακεδονίᾳ δὲ Γάιος Βροῦτος ἔφεδρος ἦν, ὅσον οὔπω περαιωθεὶς ἐκ τῆς Ἰταλίας ἐπ᾽ αὐτήν, καὶ Συρίᾳ Κάσσιος Λογγῖνος, ὅστις ἀπεδέδεικτο τῆς Ἰλλυρίδος στρατηγός. τοσαῦτα μὲν στρατεύματα ἐν τῷ τότε συνειστήκει, καὶ τοσοίδε ἄρχοντες, αὐτός τις ἕκαστος ἑαυτὸν ἀξιῶν τὴν τῶν ὅλων δυναστείαν ἔχειν, ἀνῃρημένου παντὸς νομίμου καὶ δικαίου, κατ᾽ ἰσχὺν δὲ τὴν ἑκάστοις προσοῦσαν τοῦ πράγματος βραβευομένου. μόνος δὲ Καῖσαρ, ᾧ τὸ σύμπαν κράτος κατελέλειπτο νομίμως κατά τ᾽ ἐξουσίαν τοῦ πρότερον κεκτημένου καὶ συγγένειαν, ἄμοιρος ὢν δυνάμεως ἡστινοσοῦν, ἐπλάζετο μεταξὺ αἰωρούμενος

φθόνου τε πολιτικοῦ καὶ πλεονεξίας τῶν ἐφεδρευόντων αὐτῷ καὶ τοῖς σύμπασι πράγμασιν· ἅπερ ὕστερον ἐπρυτάνευσεν ὀρθῶς τὸ δαιμόνιον καὶ ἡ τύχη. ὁ δὲ Καῖσαρ ἤδη καὶ περὶ τῆς ψυχῆς δεδοικώς, ἐνδήλου αὐτῷ τῆς Ἀντωνίου γνώμης γιγνομένης, καὶ οὐδενὶ τρόπῳ δυνάμενος αὐτὸν μεταπεῖσαι, οἴκοι καθῆτο καιρὸν ἐπιτηρῶν.

29 Πρώτη δ' ἐν τῇ πόλει κίνησις γίγνεται ἐκ τῶν πατρικῶν αὐτοῦ στρατιωτῶν, ἀχθομένων ἐπὶ τῇ τοῦ Ἀντωνίου ὑπεροψίᾳ, καὶ κατ' ἀρχὰς μὲν ἐν ἑαυτοῖς λογοποιούντων, ὅτι ἀμνημονοῦσι τοῦ Καίσαρος, τὸν ἐκείνου παῖδα προπηλακιζόμενον περιορῶντες, ὃν ἐχρῆν ὑπὸ πάντων αὐτῶν ἐπιτροπεύεσθαι, εἴ τις δικαίου λόγος ἢ ὁσίου. μετὰ δὲ ταῦτα ἀθρόοι γιγνόμενοι μᾶλλόν τι κατεμέμφοντο σφᾶς συνιόντες ἐπὶ τὴν Ἀντωνίου οἰκίαν· τούτοις γὰρ κἀκεῖνος ἐθάρρει· καί τινας λόγους ἐποιοῦντο ἐκ φανεροῦ διότι καλῶς ἔχει μετριώτερον αὐτὸν χρῆσθαι Καίσαρι καὶ μεμνῆσθαι ὧν ἐπέσκηψεν ὁ πατήρ· καὶ γὰρ αὐτοῖς εὐσεβέστερον εἶναι μὴ περιορᾶν ταῦτα, ἀλλὰ καὶ τὰ τυχόντα τῶν ἐκείνου ὑπομνημάτων διασώζειν, μήτι γε τὸν παῖδα καὶ διάδοχον ἀποδειχθέντα, ἐκείνοις τε ὁρᾶν τὴν ὁμοφροσύνην ἐν τῷ παρόντι διὰ τὸ πλῆθος τῶν περιεστώτων ἐχθρῶν ὠφελιμωτάτην. ταῦτα λεγόντων ὡς μὴ δοκοίη ἐναντιοῦσθαι τῇ ὁρμῇ Ἀντώνιος, ἐπειδὴ καὶ δεόμενος αὐτῶν ἐτύγχανεν, ἔφη βούλεσθαι καὶ ταῦτα δοκιμάζειν, εἴγε μετριάζοι κἀκεῖνος, τήν τε προσήκουσαν αὐτῷ τιμὴν ἀπονέμοι, ἕτοιμός τε εἶναι εἰς λόγους ἐλθεῖν, παρόντων ἐκείνων καὶ ἐπακροωμένων. οἱ δ' ἐπήνουν, καὶ συνέθεντο αὐτὸν ἄξειν εἰς τὸ Καπιτώλιον καὶ μεσιτεύσειν τὰς διαλλαγάς, εἰ αὐτὸς ἐθέλοι. συνέφη δ' οὖν, καὶ εὐ-

θὺς ἐξαναστὰς ᾤχετο εἰς τὸ τοῦ Διὸς ἱερόν, ἐκεῖνοί τε ἔπεμψαν ὡς τὸν Καίσαρα. οἱ δὲ συνερρύησαν ἄσμενοι πολλοὶ καὶ ἦλθον, ὥστ' ἐν ἀγωνίᾳ κἀκεῖνον γενέσθαι, ἀπαγγείλαντός τινος αὐτῷ διότι πλῆθος ἥκοι στρατιωτῶν ἐπὶ τὰς θύρας, οἱ δ' ἐντὸς εἶεν ζητοῦντες αὐτόν. ὁ δὲ ταραχθεὶς τὸ μὲν πρῶτον εἴς τι ὑπερῷον ἀπεχώρησε σὺν τοῖς φίλοις, οἳ ἔτυχον παρόντες, καὶ τῶν ἀνθρώπων ἐπυνθάνετο διακύπτων ὅ,τι βούλοιντο καὶ τοῦ χάριν ἐληλύθοιεν, ἐγνώριζέ τε αὐτοὺς οἰκείους ὄντας στρατιώτας. οἱ δ' ἀποκρίνονται ἐπὶ τῷ ἀγαθῷ αὐτοῦ τε καὶ τῆς ὅλης μερίδος, εἰ κἀκεῖνος θέλοι ἀμνησικακεῖν ὧν εἴργασται Ἀντώνιος· οὐδὲ γὰρ αὐτοῖς ἀρεστὰ γέγονε ταῦτα· δεῖν δ' αὐτοὺς πᾶσαν ὀργὴν ἐκβαλόντας διαλλάττεσθαι ἁπλῶς καὶ ἀδόλως. εἷς δ' αὐτῶν καὶ μείζονι τῇ βοῇ βοήσας θαρρεῖν ἐκέλευε καὶ γιγνώσκειν ὅτι κληρονομία οἱ πάντες εἶεν αὐτοῦ· μεμνῆσθαι γὰρ τοῦ κατὰ γῆς πατρὸς ἴσα καὶ θεοῦ, καὶ περὶ τῶν διαδόχων αὐτοῦ ἅπαν ἂν δρᾶσαι καὶ παθεῖν. ἄλλος δὲ μεῖζον ἐπιφθεγξάμενος καὶ Ἀντώνιον ἂν διαχρήσασθαι αὐτόχειρ ἔφη, εἰ μὴ τὰς Καίσαρος διαθήκας ἅμα καὶ βουλῆς ἴσα φυλάττοι. καὶ ὃς θαρρῶν ἤδη ἐπ' αὐτοῖς κατέβη τε καὶ φιλοφρονηθεὶς ἥσθη ἐπὶ τῇ εὐνοίᾳ τε καὶ προθυμίᾳ. ἐκεῖνοι μὲν οὖν αὐτὸν παραλαβόντες διὰ τῆς ἀγορᾶς λαμπρότατα ἦγον εἰς τὸ Καπιτώλιον, ἁμιλλώμενοι τῇ σπουδῇ πρὸς ἀλλήλους, οἱ μὲν ἤδη ἀχθόμενοι τῇ Ἀντωνίου δυναστείᾳ, οἱ δὲ κατὰ εὐσέβειαν τὴν πρὸς Καίσαρα καὶ τὸν ἐκείνου διάδοχον, οἱ δ' ἐλπίδος ἕνεκα τῆς ἀπ' αὐτοῦ, μεγάλα ὠφελήσεσθαι σὺν τῷ δικαίῳ προσδοκῶντες, οἱ δὲ τιμωρίαν σπουδάζοντες γενέσθαι παρὰ τῶν σφαγέων ὑπὲρ τοῦ φόνου, καὶ ταύτην μάλιστα πεπράξεσθαι διὰ

τοῦ παιδὸς οἰόμενοι, εἰ συλλήπτωρ εἴη καὶ ὁ ὕπατος. πάντες γε μὴν παρῄνουν αὐτῷ ὑπ' εὐνοίας προσιόντες μὴ φιλονικεῖν, ἀλλὰ προσέχειν τῷ σφετέρῳ ἀσφαλεῖ καὶ οὓς δύναιτο συμπροσλαμβάνειν βοηθούς, μεμνημένον ὡς σφαλερὸς εἴη ὁ Καίσαρος θάνατος. ταῦτα ἀκούων Καῖσαρ, καὶ ὁρῶν τὴν τῶν ἀνθρώπων σπουδὴν οὐκ ἀπεικότως περὶ αὐτόν, ἧκεν εἰς τὸ Καπιτώλιον, ἔνθα πολὺ πλείους ἑώρα πατρικοὺς στρατιώτας, οἷς ἐθάρρει Ἀντώνιος, πολὺ μᾶλλον εὔνους αὐτῷ ὄντας, εἴ τι ἀδικεῖν περὶ αὐτὸν ἐγχειροίη. ἐκ τούτου ἀπεχώρουν οἱ πλείους· περιλειφθέντες δὲ ἀμφότεροι μετὰ τῶν φίλων διελέγοντο.

30 Ὅτι τοῦ Καίσαρος εἰς τὴν οἰκίαν ἀπιόντος μετὰ τὸ διαλλαγῆναι πρὸς Ἀντώνιον, μονωθέντα Ἀντώνιον αὖθις ἀνερεθίζεσθαι, τὴν εὔνοιαν ὁρῶντα παρὰ πολὺ τοῦ στρατιωτικοῦ παντὸς ἀπονεύουσαν ὡς πρὸς * ἐκεῖνον μὲν γὰρ ἐποιοῦντο παῖδά τε εἶναι καὶ διάδοχον ἀποδεδεῖχθαι ἐν ταῖς διαθήκαις τῷ τε ὀνόματι ὁμοίως προσαγορεύεσθαι, γενναίαν τε ὑποφαίνειν ἐλπίδα καὶ ἀπὸ τοῦ τῆς φύσεως δραστηρίου, εἰς ὃ ὁ Καῖσαρ ἀποβλέψας οὐχ ἧττον ἢ τὴν συγγένειαν ἀποδείξειεν αὐτὸν παῖδα, ὡς μόνον ἐχέγγυον αὐτοῦ τήν τε σύμπασαν ἀρχὴν καὶ τὸ τοῦ οἴκου ἀξίωμα διασώζειν. ἃ δὴ τότε ἐνθυμιζόμενος Ἀντώνιος μετεγίγνωσκε καὶ ἠλλοίωτο τῇ γνώμῃ, καὶ μάλισθ' ὅτε τοὺς Καίσαρος στρατιώτας ἐν ὀφθαλμοῖς εἶδεν ἑαυτὸν μὲν καταλελοιπότας, Καίσαρα δ' ἐκ τοῦ ἱεροῦ ἀθρόως προπέμποντας. ἐδόκει δέ τισι μηδ' ἂν ἀποσχέσθαι αὐτοῦ, εἰ μὴ ἐδεδίει τοὺς στρατιώτας, μὴ ἐπ' αὐτὸν ὁρμήσαντες τιμωρίαν ποιοῖντο, καὶ ἀκοντὶ πᾶσαν αὐτοῦ τὴν μερίδα ἀφέλοιντο. κατελείπετο γὰρ ἀμφοτέροις στρατεύματα ἔφεδροι. ὁ μὲν δὴ τοιαῦτα

λογιζόμενος ἔμελλέ τε καὶ ὤκνει, καίπερ ἠλλοιωμένος τῇ γνώμῃ. Καῖσάρ γε μὴν πιθανὸς ἀδόλως γεγονέναι σφίσι τὰς διαλλαγὰς ἐφοίτα ὁσημέραι ἐπὶ τὴν οἰκίαν αὐτοῦ, ὥσπερ ἐχρῆν, ὑπάτου τε ὄντος καὶ πρεσβυτέρου καὶ πατρικοῦ φίλου, τήν τε ἄλλην πᾶσαν ἀπένεμε τιμήν, καθότι ὑπέσχετο, εἰς ὃ Ἀντώνιος τῆς δευτέρας ὑπῆρξεν αὖθις ἀδικίας τρόπῳ τοιῷδε. ἀλλαξάμενος Γαλατίαν ἐπαρχίαν πρὸς Μακεδονίαν, μετεβίβαζε τὰς ἐν αὐτῇ δυνάμεις εἰς Ἰταλίαν· καὶ ἐπεὶ ἧκον, ἐξῄει ἐκ τῆς Ῥώμης ὑπαντησόμενος αὐταῖς ἄχρι Βρεντεσίου. οἰόμενος δὲ καιρὸν ἐπιτήδειον ἔχειν πρὸς ἃ ἐπενόει, διαδίδωσι λόγον ὡς ἄρα ἐπιβουλεύοιτο. καί τινας συλλαβὼν στρατιώτας ἔδησεν ὡς ἐπ' αὐτὸ τοῦτο πεμφθέντας, ὅπως αὐτὸν ἀνέλοιεν· ᾐνίττετο δὲ Καίσαρα, οὐ μήν πω σαφῶς ἐδήλου. ταχὺ δ' ἡ φήμη κατὰ τὴν πόλιν διήγγελλεν ὡς ἐπιβουλευθείη ὁ ὕπατος καὶ συλλάβοι τοὺς ἐπ' αὐτὸν ἥκοντας, σύνοδοί τε τῶν ἐκείνου φίλων εἰς τὴν οἰκίαν ἐγίγνοντο καὶ στρατιωτῶν σὺν ὅπλοις μεταπέμψεις. περὶ δὲ δείλην ὀψίαν ἔρχεται καὶ εἰς Καίσαρα ὁ λόγος ὅτι κινδυνεύσειεν Ἀντώνιος ἀποσφαγῆναι καὶ μεταπέμποιτο τοὺς φυλάξοντας αὐτὸν ἐκείνην τὴν νύκτα. καὶ παραχρῆμα πέμψας ὡς αὐτὸν ἕτοιμος ἔφη εἶναι καὶ αὐτὸς σὺν τῇ ἑαυτοῦ θεραπείᾳ παραγενόμενος πρὸς κοίτην αὐτοῦ τἀσφαλὲς παρέχειν, οἰηθεὶς ὑπὸ τῶν περὶ Κάσσιον αὐτὸν καὶ Βροῦτον ἐπιβεβουλεῦσθαι. καὶ ὁ μὲν ταῦτα ἐφιλανθρωπεύετο, οὐδὲν ὑπονοῶν περὶ τῶν ὑπ' αὐτοῦ λεγομένων τε καὶ βεβουλευμένων. Ἀντώνιος δ' οὖν οὐδ' αὐτὸν παραδέξασθαι τὸν ἄγγελον ἐφῆκεν ἐντὸς τῶν θυρῶν, ἀλλὰ ἀπεῖρξεν ἀτίμως. ὁ δ' ἐπανελθὼν καί τι πλέον ἀκηκοὼς ἀπήγγελλε Καίσαρι ὡς

τοὔνομα αὐτοῦ διαφέροιτο περὶ τὰς Ἀντωνίου θύρας ἐν τοῖς ἀνθρώποις ὡς αὐτὸς εἴη ὁ τοὺς φονέας πεπομφὼς Ἀντωνίῳ, οἳ δὴ καὶ δεσμῶται εἶεν. ὁ δὲ ἀκούσας τὸ μὲν πρῶτον ὑπὸ τοῦ ἀδοκήτου ἠπίστει· μετὰ δὲ αἰσθόμενος τὴν ὅλην γνώμην ὡς ἐπ' αὐτὸν εἴη τετραμμένον, μετὰ τῶν φίλων ἐσκόπει ὅ,τι χρὴ ποιεῖν. ἧκε δὲ ὁ Φίλιππος καὶ Ἀτία ἡ μήτηρ διαπορούμενοι τῷ παραδόξῳ καὶ πυνθανόμενοι τίς ὁ λόγος εἴη καὶ τίς ἡ διάνοια τἀνθρώπου παρῄνουν τε αὐτῷ ὑποχωρῆσαι ἐκποδὼν ἐκείνας τὰς ἡμέρας, ἄχρι ταῦτα ἐξετασθέντα ἐκκαλυφθείη. καὶ ὅς, ἅτε οὐδὲν ἑαυτῷ συνειδὼς τοιοῦτον, οὐ δεῖν ᾤετο ἐκ μέσου εἶναι καὶ τρόπον τινὰ καταγιγνώσκειν ἑαυτοῦ· πλέον γὰρ οὐδὲν περανεῖν εἰς τἀσφαλὲς ἐκποδὼν γενόμενος, ἀλλ' ἴσως καὶ διάρας ποι μᾶλλον ἐκ τοῦ ἀφανοῦς ἀναιρεθήσεσθαι. τότε μὲν οὖν ἐν τοιούτοις λόγοις ἦν. τῇ δὲ ὑστεραίᾳ ἕωθεν καθίζει, ὥσπερ εἰώθει, μετὰ τῶν ἑαυτοῦ φίλων, ἀναπεταννύναι δὲ τὰς θύρας κελεύει τοῖς εἰωθόσι φοιτᾶν καὶ δεξιοῦσθαι καὶ ἀστῶν καὶ ξένων καὶ στρατιωτῶν, διελέγετό τε πᾶσιν, ὥσπερ καὶ ἄλλοτε εἰώθει, μηδὲν ἐναλλάξας τοῦ καθ' ἡμέραν ἔθους. Ἀντώνιος δὲ συνέδριον τῶν φίλων ἀθροίσας εἶπεν ἐν μέσοις ὡς ἐπιβουλευόμενος καὶ πρότερον ὑπὸ Καίσαρος οὐκ ἀγνοοίη, ἐπειδὴ δ' ἔμελλεν ἔξω τῆς πόλεως βαδιεῖσθαι, ὡς ἐληλυθὸς τὸ στράτευμα, καιρὸν παράσχοι τοῦτον καθ' αὑτοῦ. καί τινα τῶν ἐπὶ τὴν σφαγὴν πεμφθέντων ἀφικόμενον μηνυτὴν αὐτῷ γενέσθαι μεγάλαις δωρεαῖς, καὶ διὰ τοῦτο τοὺς μὲν συλλαβεῖν, ἐκείνους δ' εἰς τὸ παρὸν ἀθροῖσαι συνέδριον, ὡς γνώμας ἀκούσειε καὶ ὅπως χρηστέον εἴη τοῖς παροῦσι. ταῦτα εἰπόντος Ἀντωνίου ἐπυνθάνοντο οἱ σύνεδροι ὅπου εἶεν οἱ συνειλημ-

μένοι ἄνθρωποι, ὥς τι γνοῖεν παρ' αὐτῶν. καὶ ὁ Ἀντώνιος προσποιηθεὶς μηδὲν τοῦτο εἶναι πρὸς τὸ παρόν, ὡς δῆθεν ὁμολογουμένου τούτου, καὶ εἰς ἄλλα ἄττα ἐκτρέψας τὸν λόγον, ἐκαραδόκει μάλιστα εἴ τις εἴποι ὡς χρὴ Καίσαρα ἀμύνεσθαι καὶ μὴ ἡσυχάζειν. σιωπῆς δ' ἐκ πάντων γενομένης καὶ συννοίας, διὰ τὸ μηδένα ὁρᾶν ἐν μέσῳ ἔλεγχον, εἶπέ τις, ὡς ἂν εὐπρεπῶς διαλύσειε τὸν σύλλογον, ὅτι ἐπιεικῶς προσήκει αὐτὸν φέρειν τε καὶ τίθεσθαι καὶ μή τινα ταραχὴν ὕπατον ὄντα ἐγείρειν. ὁ μὲν τοιαῦτα εἰπών τε καὶ ἀκούσας διέλυσε τὸν σύλλογον· τρίτῃ δ' ἢ τετάρτῃ ἡμέρᾳ εἰς Βρεντέσιον ὥρμησεν, ὡς παραλάβοι τὴν ἀφιγμένην στρατιάν· λόγος τε οὐδὲ εἷς ἦν περὶ τῆς ἐπιβουλῆς, ἀλλὰ οἰχομένου διαλύουσι τὸ σύμπαν πρᾶγμα οἱ ὑπολειφθέντες ἐκείνου φίλοι, καὶ τοὺς λεγομένους συνειλῆφθαι τῶν ἐπιβούλων εἶδεν οὐδείς.

Καῖσαρ δὲ καίπερ ἀπολελυμένος τῆς αἰτίας, οὐδὲν 31
ἧττον ἠγανάκτει ἐπὶ τῷ λόγῳ, καὶ μεγάλης ἐπιβουλῆς εἰς αὐτὸν τοῦτο ἐποιεῖτο τεκμήριον· εἴ τε παροῦσα ἐτύγχανεν Ἀντωνίῳ ἡ στρατιὰ τεθεραπευμένη χρήμασιν, ᾤετο μὴ ἂν ὀκνῆσαι καὶ ἐπιχειρεῖν αὐτῷ, καὶ ταῦτα μηδὲν ἀδικούμενον, ἀλλ' ἀπὸ ἑτέρας ἐλπίδος ἐπὶ τοῦτο προαγόμενον· δῆλόν τε εἶναι ταῦτα συνθέντα καὶ ἐπὶ ἕτερα χωρήσειν, καὶ ἐθελῆσαι ἂν ἔτι ἐξ ἀρχῆς, εἴπερ ἐνῆν αὐτῷ τοῦτο πράξαντι τὸ ἀδεὲς ἐκ τῆς στρατιᾶς ἔχειν. ὀργῆς οὖν δικαίας ἐπίμπλατο εἰς αὐτὸν ἅμα καὶ προνοίας περὶ αὑτοῦ, φανερᾶς τῆς ἐκείνου γνώμης γενομένης, πάντα τε περισκοπῶν ἑώρα οὐχ ἡσυχαστέον ὂν ἑαυτῷ· οὐ γὰρ εἶναι τοῦτο ἀκίνδυνον· ἀλλὰ ζητητέον τινὰ ἐπικουρίαν ἀντίπαλον τῇ ἐκείνου δυνάμει τε καὶ ἐπινοίᾳ. τοῦτο

οὖν ἐνθυμούμενος ἔγνω χρῆναι φεύγειν ἐπὶ τὰς πατρῴους ἀποικίας, αἷς ἔδωκε τὰς κληρουχίας ὁ πατὴρ αὐτοῦ καὶ οἰκιστὴς ἐγένετο τῶν πόλεων, ὡς ἀναμνήσας τοὺς ἀνθρώπους τῶν ἐκείνου εὐεργεσιῶν καὶ ὀδυρόμενος περὶ ὧν ἐκεῖνός τε ἔπαθε καὶ αὐτὸς πάσχει, λάβοι βοηθούς, τοὺς δὲ καὶ χρημάτων δόσει προσαγάγοιτο. τοῦτο γὰρ αὐτῷ μόνον καὶ τἀσφαλὲς ἅμα καὶ εὔκλειαν μεγάλην παρέξειν, ἀνασώσεσθαι δὲ καὶ τὸ τοῦ οἴκου κράτος· πολὺ γὰρ ἄμεινον εἶναι καὶ δικαιότερον μᾶλλον ἤπερ ὑπὸ τῶν μηδὲν προσηκόντων παρωθούμενον τῆς πατρῴας τιμῆς ἔτι καὶ προσαπολέσθαι ἀνόμως τε καὶ ἀδίκως ὃν τρόπον καὶ ὁ πατήρ. ταῦτα βουλευσάμενος μετὰ τῶν φίλων, καὶ θεοῖς θύσας τύχῃ ἀγαθῇ συλλήπτορας αὐτῷ γενέσθαι δικαίας καὶ εὐκλεοῦς ἐλπίδος, ὥρμησεν, οὐκ ὀλίγα ἐπιφερόμενος χρήματα, εἰς Καμπανίαν πρῶτον· ἡ γὰρ ἑβδόμη λεγεὼν καὶ ἡ ὀγδόη· οὕτω γὰρ τὴν σύνταξιν καλοῦσι Ῥωμαῖοι * διαπειρᾶσθαι δὲ πρότερον ἐδόκει χρῆναι τῆς ἑβδόμης· μεῖζόν τε γὰρ ἀξίωμα*· ἐνδοθείσης δὲ ταύτης τῆς ἀποικίας καὶ ἄλλων πολλῶν συνεληλυθότων*. καὶ ταῦτα αὐτῷ βουλευομένῳ καὶ τοῖς ἄλλοις συνεδόκει φίλοις, οἳ μετεῖχον τῆς στρατείας τῶν τε μετὰ ταῦτα πραγμάτων. ἦσαν δὲ οὗτοι Μάρκος Ἀγρίππας, Λεύκιος Μαικήνας, Κόιντος Ἰουέντιος, Μάρκος Μοδιάλιος καὶ Λεύκιος. εἵποντο δὲ αὐτῷ καὶ ἄλλοι ἡγεμόνες καὶ στρατιῶται καὶ ἑκατοντάρχαι, καὶ οἰκετῶν πλῆθος καὶ ὑποζυγίων τά τε χρήματα κομιζόντων καὶ τὰς ἄλλας ἀποσκευάς. τῇ μητρὶ δ᾽ οὐκ ἐδόκει τὴν γνώμην δηλοῦν, μὴ ὑπὸ φιλοστοργίας ἅμα καὶ ἀσθενείας, οἷα γυνή τε καὶ μήτηρ, μεγάλαις ἐπινοίαις ἐμποδὼν γένοιτο. ἔλεγε μὲν ἐκ τοῦ φανεροῦ ὅτι ἐπὶ τὰ ἐν Καμπανίᾳ βαδίζει

τῶν πατρῴων κτημάτων, ὡς κἀκεῖνα ἀποδόμενος ἀθροίσειε τἀργύριον καὶ εἰς ἃ προσέταξεν ὁ πατὴρ ἀναλοίη. ἀλλ᾽ ὁ μὲν οὐ πάνυ τι πείθων αὐτὴν ἀνέζευξε. τότε δὲ Μάρκος Βροῦτος καὶ Γάιος Κάσσιος ἐπὶ Δικαιάρχειαν ἦσαν· καὶ πυθόμενοι τὸ πλῆθος τῶν ἐκ Ῥώμης συνεξεληλυθότων Καίσαρι, καὶ τῶν ἀγγέλων ἐπὶ τὸ μεῖζον ταῦτα διηγουμένων, οἷα φιλεῖ γίγνεσθαι, συνεταράχθησαν καὶ ἐν μεγάλῳ δείματι ἦσαν, οἰόμενοι ἐπὶ σφᾶς εἶναι τὴν ἔξοδον. καὶ φεύγουσι διὰ τῆς Ἀδριανῆς θαλάττης. καὶ Βροῦτος μὲν εἰς Ἀχαΐαν ἧκε, Κάσσιος δ᾽ εἰς Συρίαν. Καῖσαρ δὲ τῆς Καμπανίας εἰς Καλατίαν ἐλθὼν ἐδέξαντο αὐτὸν ὡς εὐεργέτου παῖδα καὶ διὰ πλείστης τιμῆς ἦγον. καὶ τῇ ὑστεραίᾳ ἐγύμνου τὸν πάντα λόγον αὐτοῖς, καὶ παρεκάλει τοὺς στρατιώτας, ὡς ἀδίκως καὶ ὁ πατὴρ ἀποθάνοι καὶ αὐτὸς ἐπιβουλεύοιτο. ταῦτα λέγοντος οἱ μὲν ἐκ τῆς βουλῆς οὐ πάνυ τι εἰσήκουον, ὁ δὲ δῆμος καὶ μάλα προθύμως καὶ εὐνόως καὶ τοῦτον ᾤκτειραν καὶ ἐπεβόων πολλάκις θαρρεῖν· εἰς ἅπαν γὰρ συλλήψεσθαι αὐτὸν καὶ οὐ περιόψεσθαι, ἄχρι ἂν ἐν τῇ πατρῴᾳ καταστήσῃ τιμῇ. καὶ προσκαλεσάμενος αὐτοὺς εἰς τὴν οἰκίαν δίδωσιν ἑκάστῳ πεντακοσίας δραχμάς, καὶ τῇ ὑστεραίᾳ τοὺς βουλευτὰς συγκαλέσας παρεκάλει μὴ ἀπολείπεσθαι τῆς τοῦ δήμου εὐνοίας, μεμνημένους Καίσαρος, ὃς αὐτοῖς τήν τε κατοικίαν καὶ τὴν τιμὴν περιέθηκε· πείσονται δ᾽ οὐκ ἐλάττω ἀγαθὰ ὑπ᾽ αὐτοῦ· προσήκειν τε οὐκ Ἀντωνίῳ, ἀλλ᾽ ἑαυτῷ καὶ καρποῦσθαι τὴν ἀπ᾽ αὐτῶν ὠφέλειαν καὶ χρῆσθαι τῇ δυνάμει τε καὶ τοῖς ὅπλοις. καὶ μείζονι σπουδῇ ὥρμηντο βοηθεῖν αὐτῷ καὶ συνάρασθαι πόνον τε καὶ κίνδυνον, εἰ δέοι. ὁ δὲ Καῖσαρ ἐπαινέσας τὴν προθυμίαν

παρεκάλεσε συμπροπέμψαι αὐτὸν καὶ τἀσφαλὲς τῷ σώματι παρασχεῖν ἄχρι τῆς ἀστυγείτονος ἀποικίας. ὁ δὲ δῆμος μάλα ἡδόμενος ἐπ' αὐτῷ ἀσμένως ὑπήκουσε, καὶ σὺν τοῖς ὅπλοις ἤγαγον εἰς τὴν δευτέραν ἀποικίαν. ἀθροίσας δὲ καὶ τούτους εἰς ἐκκλησίαν ὅμοια διελέχθη. καὶ πείθει ἀμφότερα τὰ τάγματα εἰς Ῥώμην αὐτὸν παρὰ τὰς ἄλλας κατοικίας προπέμψαι, τήν τε Ἀντωνίου βίαν, εἴ τι κινοίη, ἐρρωμένως ἀμύνεσθαι. προσκατέλεξε δὲ καὶ ἄλλους στρατιώτας μεγάλοις μισθοῖς, καὶ τοὺς μὲν νεολέκτους ἐγύμναζέ τε καὶ ἀνεδίδασκε κατὰ τὴν ὁδὸν ἰδίᾳ τε καὶ κοινῇ πάντας διαλεγόμενος ἐπὶ Ἀντώνιον ἥκειν. πέμπει δ' ἑτέρους τῶν ἑπομένων φρονήσει τε καὶ τόλμῃ διαφέροντας εἰς τὸ Βρεντέσιον, εἴ πως δύναιντο καὶ τοὺς νεωστὶ ἥκοντας ἐκ Μακεδονίας στρατιώτας πεῖσαι τὰ αὑτῶν ἑλέσθαι μεμνημένους Καίσαρος τοῦ πατρὸς καὶ μηδενὶ τρόπῳ καταπροδόντας τὸν ἐκείνου παῖδα. εἴρητο δ' αὐτοῖς, εἰ ἐκ τοῦ φανεροῦ μὴ δύναιντο, ἀλλὰ ταῦτα γράψαντας διαρρῖψαι πολλαχοῦ, ὡς διαράμενοι οἱ ἄνθρωποι τὰ γράμματα ἀναγιγνώσκοιεν. προσεπέσκηψε δὲ καὶ τοῖς λοιποῖς ἐλπίδων ἐμπλήσας, ἡνίκα δύναμις αὐτῷ συνέσται, ὡς ἂν ἕλοιντο τὰ αὐτοῦ. καὶ οἱ μὲν ᾤχοντο.

[*Τέλος τοῦ βίου Καίσαρος καὶ τῆς Νικολάου Δαμασκηνοῦ συγγραφῆς.*] [Exc. Esc. p. 126—180 Fed., 434—456 Müll.]

ΕΚ ΤΩΝ ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ

ΠΕΡΙ ΤΟΥ ΙΔΙΟΥ ΒΙΟΥ ΚΑΙ ΤΗΣ ΕΑΥΤΟΥ ΑΓΩΓΗΣ.

[*Ἀντίπατρος*] *Νικολάου τοῦ Δαμασκηνοῦ πατὴρ τοῦ ἱστορικοῦ, ὃς ἔσχε Στρατονίκην γυναῖκα, τὴν μητέρα Νικολάου, οἳ διαφανεῖς ἦσαν ἐν Δαμασκῷ κατά τε σωφροσύνην καὶ ἄλλην λαμπρότητα· πλούτῳ τε γὰρ πολλῷ διαφέροντες ἥκιστα ἐπ' αὐτῷ ἐμεγαλύνοντο, εὐδοξίας τε οὐ τὰ δεύτερα φερόμενοι βραχὺ τοῦτο ἐλογίζοντο. ὁ δὲ δὴ Ἀντίπατρος καὶ λόγου δεινότητι προύχων ἔβλαψε μὲν οὐδ' ὁντινοῦν, ὤνησε δὲ μυρία τούτῳ οὐ τὸ κοινὸν μόνον, ἀλλὰ καὶ τῶν ἀστῶν συχνούς· δικαιοσύνην γὰρ ἀσκῶν, εἴπερ τις ἕτερος, πλεῖστα μὲν διῄτησε νείκη τοῖς πολίταις πρὸς ἀλλήλους, πλεῖστα δὲ τῇ πατρίδι πρὸς τοὺς ἐν κύκλῳ δυνάστας, καὶ ἐτιμᾶτο ὑπὸ πάντων διὰ τοῦτο· πλείστας δὲ ἐπιστεύθη πρεσβείας καὶ ἐπιτροπάς, ἀρχάς τε πάσας διεξῆλθε τὰς ἐγχωρίους· τελευτῶν δὲ τὸν βίον οὐκ ἔστιν ὅ,τι ἐπέσκηψε Νικολάῳ τῷ υἱεῖ καὶ Πτολεμαίῳ τῷ τούτου ἀδελφῷ ἢ τῷ Διὶ θυμιατήριον, ὅπερ ἔφθη αὐτὸς προϋπεσχημένος τῷ θεῷ, κατασκευάσαι, ἐπειδὰν τελευτήσῃ, δηλῶν, οἶμαι, ὅτι τὸ πρὸς θεοὺς ὅσιον δεῖ καὶ τελευτῶντας φυλάττειν καὶ μηδὲν ἔτι ἀπολαύσεσθαι τοῦ βίου μέλλοντας.* 1

[Suidas v. *Ἀντίπατρος.*]

2 *Οὗτος ἐν τῇ ἄλλῃ παιδείᾳ διατεθραμμένος, διὰ τὸ καὶ τὸν πατέρα αὐτοῦ περὶ ταῦτα μάλιστα σπουδάσαι, ἐπειδὴ ἀπ' αὐτῆς αὐτῷ ὅ τε πλοῦτος καὶ ἡ δόξα ὑπεγένετο, ἔτι μᾶλλον ηὔξησε ταύτην, ἔρωτά τινα ἀδιήγητον αὐτῆς σχών, ἄλλως τε καὶ φύσεως οὐ φαύλης λαβόμενος· ὥστε πρὶν γενειᾶν εὐδόκιμος εἶναι ἐν τῇ πατρίδι καὶ τῶν ἡλίκων διαφέρειν. γραμματικῆς τε γὰρ οὐδενὸς χεῖρον ἐπεμεμέλητο καὶ δι' αὐτὴν ποιητικῆς πάσης, αὐτός τε τραγῳδίας ἐποίει καὶ κωμῳδίας εὐδοκίμους, ἔτι μᾶλλον ὕστερον αὐξηθείς, ὥστε καὶ τὴν δύναμιν συναυξῆσαι, ῥητορικῆς τε καὶ μουσικῆς καὶ τῆς περὶ τὰ μαθήματα θεωρίας καὶ φιλοσοφίας πάσης. ζηλωτὴς γὰρ Ἀριστοτέλους γενόμενος καὶ τὸ ποικίλον τῆς περὶ τὸν ἄνδρα παιδείας ἀγαπήσας, χάριν εἰδέναι πᾶσιν ἔλεγεν ἀεὶ τοῖς μαθήμασι, πολὺ μὲν ἔχουσι τὸ ἐλευθέριον, πολὺ δὲ τὸ χρήσιμον εἰς τὸν βίον, πάντων δὲ μάλιστα τὸ εὐδιάγωγον πρός τε νεότητα καὶ γῆρας. ἔλεγε δὲ καὶ τὰς Μούσας ἄρα διὰ τοῦτο πολλὰς ὑπὸ τῶν θεολόγων παραδεδόσθαι, ὅτι πολὺ τὸ ποικίλον ἔχει τὰ παιδεύματα καὶ πρὸς πᾶσαν βίου χρῆσιν οἰκεῖον, καὶ οὔτε τὴν ἐμπειρίαν αὐτῶν οὔτε τὴν ἀπόλειψιν ὁμοίως ὑπελάμβανεν εἶναι τῇ τῶν βαναύσων τεχνῶν, ἀλλὰ τοὐναντίον ἐπονείδιστον τοῖς μετρίως ζῶσι τήν τε τούτων ἄγνοιαν καὶ τὴν τῶν βαναύσων ἐπιστήμην. οὗτος μὲν οὖν οὐκ ἔστιν ὅτῳ τῶν παιδευμάτων πρὸς ἀργυρισμὸν ἐχρήσατο οὐδὲ ἐκαπήλευσεν.*

Ἔφη δὲ Νικόλαος ὁμοίαν εἶναι τὴν ὅλην παιδείαν ἀποδημίᾳ. ὡς γὰρ ἐν ταύτῃ συμβαίνει τοῖς ἀποδημοῦσι καὶ μακρὰν ὁδὸν διεξιοῦσιν ὅπου μὲν ἐγκατάγεσθαί τε καὶ ἐναυλίζεσθαι μόνον, ὅπου δὲ ἐναριστᾶν, ὅπου δὲ πλείους ἐνδημεῖν ἡμέρας, ἐνίους

δὲ τόπους ἐκ παρόδου θεωρεῖν, ἐπανελθόντας μέντοι ταῖς ἑαυτῶν ἐνοικεῖν ἑστίαις, οὕτω καὶ διὰ τῆς ὅλης παιδείας διερχομένους δεῖν ἐν οἷς μὲν ἐπιτηδεύμασιν ἐπὶ πλέον ἐνδιατρίβειν, ἐν οἷς δ᾽ ἐπ᾽ ἔλαττον, καὶ τὰ μὲν ὅλα, τὰ δὲ ἐκ μέρους, τὰ δὲ ἄχρι στοιχειώσεως παραλαμβάνειν, καὶ τὸ ἐκείνων χρήσιμον κατασχόντας ἐπὶ τὴν ὡς ἀληθῶς πατρῴαν ἑστίαν ἀνελθόντας φιλοσοφεῖν. [Suidas v. Νικόλαος.]

* καὶ παρακαλέσας οἷα δὴ φιλόσοφον καὶ ἀμνησί- 3
κακον ἐν πολὺ πλείονι ἦγε τιμῇ καὶ εὐνοίᾳ.

Ὅτι ἐπράχθη τι φιλανθρωπίας πολλῆς ἐχόμενον Νικολάῳ. Ἰλιεῖς γάρ, ἀφικνουμένης νύκτωρ ὡς αὐτοὺς Ἰουλίας τῆς Καίσαρος μὲν θυγατρός, γυναικὸς δὲ Ἀγρίππα, καὶ τοῦ Σκαμάνδρου μεγάλου ῥυέντος ὑπὸ χειμάρρων πολλῶν, κινδυνευούσης περὶ τὴν διάβασιν ἀπολέσθαι σὺν τοῖς κομίζουσιν αὐτὴν οἰκέταις οὐκ ᾔσθοντο. ἐφ᾽ οἷς ἀγανακτήσας ὁ Ἀγρίππας, ὅτι οὐ παρεβοήθησαν οἱ Ἰλιεῖς, δέκα μυριάσιν αὐτοὺς ἐζημίωσεν ἀργυρίου. οἱ δὲ ἀπόρως ἔχοντες, καὶ ἅμα οὐ προϋπιδόμενοι τὸν χειμῶνα οὐδὲ ὅτι ἐξίοι ἡ παῖς, Ἀγρίππα μὲν οὐδ᾽ ὁτιοῦν εἰπεῖν ἐτόλμησαν, ἥκοντα δὲ τὸν Νικόλαον δεόμενοι παρασχεῖν αὐτοῖς Ἡρώδην βοηθὸν καὶ προστάτην. καὶ ὃς μάλα προθύμως ὑπέστη διὰ τὴν τῆς πόλεως δόξαν, καὶ ἐδεήθη τοῦ βασιλέως, διηγήσατό τε αὐτῷ τὸ πρᾶγμα, ὡς οὐ δικαίως αὐτοῖς ὀργίζεται, οὔτε προειπὼν ὅτι πέμποι τὴν γυναῖκα ὡς αὐτοὺς οὔθ᾽ ὅλως ἐκείνων προῃσθημένων διὰ τὸ νυκτὸς ἰέναι. τέλος δ᾽ οὖν ἀναδεξάμενος ὁ ἀνὴρ τὴν προστασίαν εὑρίσκεται αὐτοῖς τὴν ἄφεσιν τῆς ζημίας, καὶ τὴν ὑπὲρ ταύτης ἐπιστολήν, ἅτε δὴ ἀπεληλυθότων ἤδη διὰ τὸ ἀπογνῶναι τὴν ἀπόλυσιν, Νικολάῳ δίδωσι πλέοντι ἐπὶ Χίου καὶ Ῥόδου, ἔνθα ἦσαν αὐτῷ

οἱ υἱεῖς· αὐτὸς γὰρ ἐπὶ Παφλαγονίας ᾔει σὺν Ἀγρίππᾳ. Νικόλαος δὲ ἐκ τῆς Ἀμισοῦ πλεύσας ἐπὶ Βυζάντιον, κἀκεῖθεν εἰς τὴν Τρῳάδα γῆν, ἀνέβη εἰς Ἴλιον, καὶ τὴν τῆς ἀπολύσεως τοῦ χρέους ἐπιστολὴν ἀποδούς, σφόδρα ὑπὸ τῶν Ἰλιέων αὐτός τε καὶ ἔτι μᾶλλον ὁ βασιλεὺς ἐτιμήθη. [Exc. de virt. et vit. p. 418.]

4 Ὅτι Ἡρώδης πάλιν διαμεθεὶς τὸν φιλοσοφίας ἔρωτα, ὃ φιλεῖ τοῖς ἐν ὑπεροχῇ οὖσι συμβαίνειν διὰ τὸ πλῆθος τῶν ἐξαλλαττόντων αὐτοὺς ἀγαθῶν, ἐπεθύμησε πάλιν ῥητορικῆς, καὶ Νικόλαον ἠνάγκαζε συρρητορεύειν αὐτῷ, καὶ κοινῇ ἐρρητόρευον. αὖθις δ' ἱστορίας αὐτὸν ἔρως ἔλαβεν, ἐπαινέσαντος Νικολάου τὸ πρᾶγμα καὶ πολιτικώτατον εἶναι λέγοντος, χρήσιμον δὲ καὶ βασιλεῖ, ὡς τὰ τῶν προτέρων ἔργα καὶ πράξεις ἱστοροίη. καὶ ἐπὶ τοῦτο ὁρμήσας προὔτρεψε καὶ Νικόλαον πραγματευθῆναι τὰ περὶ ἱστορίαν. ὁ δὲ μειζόνως ἔτι ὥρμησεν ἐπὶ τὸ πρᾶγμα, πᾶσαν ἀθροίσας τὴν ἱστορίαν, μέγαν τε πόνον ὑποστὰς καὶ οἷον οὐκ ἄλλος· ἐν πολλῷ δὲ χρόνῳ φιλοπονήσας ἐξετέλεσεν αὐτήν, ἔλεγέ τε ὡς τοῦτον τὸν ἆθλον Εὐρυσθεὺς εἰ προὔτεινεν Ἡρακλεῖ, σφόδρα ἂν αὐτὸν ἀπέτρυσεν. ἐκ τούτου πλέων εἰς Ῥώμην ὡς Καίσαρα Ἡρώδης ἐπήγετο τὸν Νικόλαον ὁμοῦ ἐπὶ τῆς αὐτῆς νηός, καὶ κοινῇ ἐφιλοσόφουν. [Exc. de virt. et vit. p. 421.]

5 Ὅτι ἐστράτευσεν ἐπὶ τὴν Ἀραβίαν Ἡρώδης, οὐ συνδοκοῦν Καίσαρι, ἐφ' οἷς ἐκεῖνος ἠφίει φωνάς, καὶ ὀργὴν εἶχε χαλεπὴν εἰς τὸν Ἡρώδην, ἐπέστειλέ τε αὐτῷ πικρότατα, καὶ τοὺς ἥκοντας παρ' αὐτοῦ πρέσβεις οὐ κατὰ κόσμον ἀπέλυσεν· ἀφικόμενος δ' ὡς Καίσαρα Νικόλαος οὐ μόνον τῶν ἐγκλημάτων ἐρρύσατο Ἡρώδην, ἀλλὰ καὶ τὴν ὀργὴν ἀπέστρεψεν ἐπὶ

τοὺς κατηγόρους. ὁ μὲν οὖν Ἄραψ ἤδη ἐτεθνήκει, τοῦ δὲ διοικητοῦ ἤδη κατέγνω πεισθεὶς τῇ Νικολάου κατηγορίᾳ, καὶ ὕστερον εὑρὼν κάκιστον ἀπέκτεινεν.

Ἐν τούτῳ δὲ Ἡρώδου ὁ οἶκος ἐταράχθη, τοῦ πρεσβυτάτου τῶν υἱέων τοὺς μετ᾽ αὐτὸν διαβαλόντος ὡς ἐπιβουλεύοντας τῷ πατρί, οἳ τῇ μὲν ἡλικίᾳ μετ᾽ αὐτὸν ἦσαν, ἀξιώματι δὲ πρότεροι διὰ τὸ ἐκ βασιλίδος γεγονέναι, τὸν δὲ ἐξ ἰδιώτιδος γυναικός. πρὶν δὲ ἐλθεῖν ἐκ Ῥώμης Νικόλαον, ἐν συνεδρίῳ κατεδικάσθησαν οἱ νεανίσκοι, καὶ παρωξυμμένος εὖ μάλα ὁ πατὴρ ἔμελλεν αὐτοὺς ἀναιρήσειν· καταπλεύσαντι δὲ Νικολάῳ περὶ τῶν γεγονότων ἀπήγγελλε καὶ σύμβουλον ἐποιεῖτο. ὁ δὲ αὐτῷ παρῄνεσεν ἀποθέσθαι αὐτοὺς ἔν τινι τῶν ἐρυμάτων, ἄχρι ἐν τῷ πλείονι χρόνῳ βουλεύσαιτο περὶ αὐτῶν ἄμεινον, μὴ δοκοίη ὑπ᾽ ὀργῆς προαχθεὶς ἀνήκεστόν τι γνῶναι περὶ τῶν ἀναγκαίων. αἰσθόμενος δὲ τοῦτο Ἀντίπατρος τόν τε Νικόλαον ὑπέβλεπε καὶ ἄλλους ἐπ᾽ ἄλλοις αὐτὸς καθιεὶς τὸν πατέρα ἐφόβει, ὡς αὐτίκα μάλα ἀναιρεθησόμενον ὑπὸ τῶν νεανίσκων διεφθαρκότων καὶ τὸ στρατιωτικὸν ἅπαν, ὡς ἔφη, καὶ τοὺς ἀπὸ τῆς θεραπείας, εἰ μὴ διὰ ταχέων ἐκποδὼν αὐτοὺς ποιήσαιτο. καὶ ὃς δείσας περὶ αὑτοῦ θᾶττον ἢ κάλλιον ἐβουλεύσατο, οὐδὲν ἔτι μεταδοὺς Νικολάῳ, ἀλλὰ νύκτωρ τοὺς ἀναιρήσοντας ὑποπέμψας. καὶ οἱ μὲν ἀπέθανον, Ἡρώδῃ δὲ τῶν συμπάντων ἤδη γίγνεται κακῶν ἀρχή, τὰ πρὸ τούτων εὖ ἑστώτων αὐτῷ τῶν πραγμάτων.

Ἐχθρὸν δ᾽ ἡγεῖτο Ἀντίπατρος Νικόλαον, ἀνελὼν τοὺς ἀδελφούς, ἐμισεῖτό γε μὴν δεινόν τι μῖσος οὐχ ὑπὸ τῆς βασιλείας μόνον, ἀλλὰ καὶ τῆς Συρίας καὶ

*τῶν πέραν οἰκούντων. ἐχώρει δὲ ὁ λόγος καὶ εἰς Ῥώμην, καὶ οὐδεὶς ἦν οὔτε μέγας οὔτε μικρός, ὃς οὐκ ἐμίσει τὸν ἄνθρωπον δι' ἀμφότερα, καὶ ὅτι πολὺ κρείττους αὑτοῦ ἀδελφοὺς ἀπέκτεινε καὶ ὅτι τὸν πατέρα ἔπεισε τοιούτου προσάψασθαι μύσους καὶ τὴν προϋποῦσαν εὔνοιαν αἰσχῦναι. ἐπεὶ δ' οὖν τὰ ἀκόλουθα δρῶν τοῖς προτέροις ἀνὴρ καὶ ἐπὶ τὸν πατέρα ὥρμησε, θᾶττον ἐπειγόμενος τὴν βασιλείαν λαβεῖν, καὶ τὸ φάρμακον ἐώνητο ἐξ Αἰγύπτου, ὅπερ ἐμήνυσεν εἷς τῶν κοινωνούντων τῆς πράξεως, ἐβασάνιζέ τε τοὺς οἰκέτας αὐτοῦ ὁ πατήρ, οἳ δὴ τὸ σύμπαν φανερὸν ἐποίησαν, ὡς καὶ τὴν τηθίδα ἔμελλεν ἀναιρήσειν καὶ τοὺς ἄλλους ἀδελφοὺς ὄντας τούς τε τῶν ἀνῃρημένων παῖδας, ὡς μηδεὶς λείποιτο κληρονόμος, ἐτύρευσε δέ τι μιαρὸν καὶ εἰς τὸν οἶκον Καίσαρος, πολὺ μεῖζον τῶν εἰς τὸ γένος παρανομημάτων, ἧκε μὲν ὁ τῆς Συρίας στρατηγὸς Οὔαρος καὶ οἱ ἄλλοι ἐπιμεληταί, καθίζει δὲ συνέδριον ὁ πατὴρ αὐτοῦ, παρηνέχθη δὲ εἰς μέσον τὸ φάρμακον καὶ αἱ τῶν οἰκετῶν βάσανοι τά τε ἐκ Ῥώμης γράμματα, Νικολάῳ δὲ τὸν ἀγῶνα ἐπέτρεψεν ὁ βασιλεύς. κατηγόρει μὲν οὗτος, ἀπελογεῖτο δὲ Ἀντίπατρος, ἔκρινε δὲ Οὔαρος μετὰ τῶν φίλον. καταδικάζεται δ' οὖν Ἀντίπατρος καὶ τὴν ἐπὶ θανάτῳ παραδίδοται. Νικόλαος δὲ καὶ τότε παρῄνει πέμπειν αὐτὸν ἐπὶ Καίσαρα, ἐπεὶ καὶ εἰς αὐτὸν ἠδίκησε, καὶ ὅ,τι ἂν ἐκεῖνος γνῷ, τοῦτο πράττειν. ἔφθη δὲ τὰ παρὰ Καίσαρος γράμματα ἥκοντα καὶ τῷ πατρὶ κολάζειν αὐτὸν ἐπιτρέποντα. καὶ ὁ μὲν ἐκολάσθη. ἀπέκτεινε δὲ καὶ ὁ Καῖσαρ τὴν συγκακουργήσασαν αὐτῷ ἀπελευθέραν. οὐδεὶς δὲ ἦν ὃς οὐχὶ Νικόλαον * κάλλιστα κατηγορήσαντα τοῦ πατραλοίου τε καὶ ἀδελφοκτόνου.*

Μετὰ δὲ ταῦτα ὀλίγου χρόνου διελθόντος τελευτᾷ καὶ ὁ βασιλεύς, καὶ τὸ ἔθνος ἐπανίσταται τοῖς τέκνοις αὐτοῦ καὶ τοῖς Ἕλλησιν. ἦσαν δὲ πλείους μυρίων. γενομένης δὲ μάχης νικᾷ τὸ Ἑλληνικόν· καὶ ὁ διάδοχος Ἀρχέλαος εἰς Ῥώμην πλέων ἕνεκα τῆς ὅλης ἀρχῆς μετὰ τῶν ἄλλων ἀδελφῶν παρακαλεῖ συμπλεῦσαι Νικόλαον, ἀναχωρεῖν ἤδη ὡς ἑαυτὸν ἐγνωκότα· καὶ γὰρ ἦν περὶ ἑξήκοντα ἔτη. συνέπλευσεν οὖν· καὶ εὗρε πάντα κατηγόρων πλέα ἐπὶ τὸν Ἀρχέλαον. χωρὶς μὲν γὰρ ὁ νεώτερος ἀδελφὸς τῆς βασιλείας ἀντεποιεῖτο, χωρὶς δ' οἱ συγγενεῖς ἅπαντες κατηγόρουν αὐτοῦ, οὐ τῷ νεωτέρῳ συναγωνιζόμενοι· ἐπρεσβεύσαντο δὲ καὶ αἱ ὑφ' Ἡρώδῃ Ἑλληνίδες πόλεις αἰτούμεναι τὴν ἐλευθερίαν παρὰ Καίσαρος, καὶ ὅλον δὲ τὸ Ἰουδαίων ἔθνος ἐπικαλοῦν φόνον τρισχιλίων ἀνδρῶν τῶν ἐν τῇ μάχῃ πεσόντων, καὶ ἀξιοῦν μάλιστα μὲν ὑπὸ Καίσαρι εἶναι, εἰ δὲ μή, ὑπό γε οὖν τῷ νεωτέρῳ ἀδελφῷ. τοσούτων δὲ δικῶν ἐπηγγελμένων, ἀγωνισάμενος ὑπὲρ Ἀρχελάου Νικόλαος τὸν πρὸς τοὺς συγγενεῖς ἀγῶνα πρῶτον κατώρθωσεν, ἔπειτα δὲ τὸν πρὸς τοὺς ὑπηκόους Ἰουδαίους· τὸν μέντοι πρὸς τὰς Ἑλληνίδας πόλεις οὐκ ἠξίου, ἀλλὰ καὶ Ἀρχελάῳ παρῄνει μὴ ἐναντιοῦσθαι αὐταῖς ἐλευθερίας γλιχομέναις· ἀρκεῖν γὰρ αὐτῷ τὴν ἄλλην δυναστείαν. ὁμοίως δ' οὐδὲ πρὸς τὸν ἀδελφὸν αὐτοῦ ἠξίου ἀγωνίζεσθαι διὰ τὴν πρὸς τὸν κοινὸν αὐτῶν πατέρα φιλίαν. διῄτησε δὲ Καῖσαρ καὶ τὸ ὅλον, ἑκάστῳ τῶν παίδων μέρος ἀποδοὺς τῆς ἀρχῆς, τὴν δ' ἡμίσειαν μοῖραν Ἀρχελάῳ. καὶ Νικόλαον μὲν ἐτίμησεν ὁ Καῖσαρ, Ἀρχέλαον δὲ ἐθνάρχην κατέστησεν· ὑπέσχετο δέ, εἰ αὐτὸν ἄξιον παρασκευάσει, καὶ βασιλέα ταχὺ ποιήσειν· τοὺς δὲ μετ' αὐτὸν ἀδελφοὺς

Φίλιππον καὶ Ἀντίπαν τετράρχας ἀπέδειξεν. [Exc. Escor. p. 64—68 Fed., 351—354 Müll.]

6 *Ὅτι πάνθ' ὅσα παρήγγελλεν, ἐπὶ τῶν ἔργων διεξῄει αὐτῶν, καὶ ἀπεδείκνυτο χρημάτων μὲν ὢν κρείττων, θᾶττον δὲ λαμπρότατα ἐφιλοτιμήθη, οὐδέν τε ὧν μὴ δεῖ ἐφάνη χρημάτων ἕνεκα πεποιηκώς. ἡδονῆς δ', ὃ τάχ' ἄν τῳ θαυμαστὸν εἴη, ἡστινοσοῦν κατεφρόνει, καὶ ταῦτα βασιλεῦσι καὶ ἡγεμόσι συνὼν πολλάκις· ἦν γὰρ αὐστηρὸς φύσει καὶ ἐναντίος πρὸς αὐτὴν καὶ ἀνδραποδώδεις νομίζων τοὺς τῶν ἀπολαύσεων τῶν τοιούτων ἥττους ἐπαινετής τε αὐταρκείας ἀεὶ καὶ ἁπλότητος, καίτοι γ' ἐν οἷς δεῖ λαμπρύνεσθαι μεγαλοπρεπής, οὐ γλίσχρος, ἦν, ὡς μὴ δόξαν ἀνελευθερίας λάβοι, πρός γε μὴν πόνους καὶ καρτερίαν, εἴ ποτε δέοι, πάντων ἀοκνότατος, οὐκ ἐν νεότητι μόνον, ἀλλὰ καὶ ἐν γήρᾳ, καὶ ὅπῃ κίνδυνος καταλάβοι ἐκ πολεμίων ἢ λῃστῶν ἢ διὰ νόσον ἢ χειμῶνα κατὰ θάλατταν ἢ ἄλλως πως, οὕτω δὴ σφόδρα εὔψυχος ἦν ὥστε καὶ τοῖς ἄλλοις ἀεὶ θαρρεῖν παρεῖχεν, ὁπόσοι κοινωνοὶ ἦσαν αὐτῷ τοῦ κινδύνου, πρός γε μὴν τὸ δίκαιον ἀκλινὴς οὕτω καὶ ἀθώπευτος ὥστε καὶ ἀπειλὰς ἐνεγκεῖν τινων ἡγεμόνων ποτὲ δικάζων ὑπὲρ τοῦ μὴ τοῦτο παραβῆναι. πολλοὶ γὰρ αὐτὸν ᾑροῦντο καὶ δικαστὴν καὶ διαιτητήν, φανερᾶς εἰς πάντας αὐτοῦ καὶ τῆς δικαιοσύνης γενομένης, ἔν τε συμβολαίοις καὶ ταῖς πρὸς τοὺς ἰδιώτας κοινωνίαις οὐδεὶς πώποτ' αὐτὸν ἐμέμψατο, οὐδ' εἴ τις πονηρὸς εἴη, διὰ τὴν ἐπιείκειαν· οὐδὲ γὰρ μαρτύρων ἔδει πρὸς αὐτὸν ἢ συμβολαίων, ἀλλ' ὅ,τι ἂν ὁμολογήσῃ, βέβαιον ἦν. κοσμιότητα δὲ καὶ σωφροσύνην οὐδεὶς αὐχήσει πλείω κατὰ τὸ ἦθος ἔν τε ἀγοραῖς καὶ ὁδοῖς* *)*

*) Excidit folium codicis.

**καὶ διατριβῶν παρακολουθεῖν εὐδοξίαν τε καὶ τιμὴν τῷ φιλοσόφῳ καὶ ἄλλας χάριτας καὶ ὠφελείας παρὰ τῶν δυνατῶν οὐκ εἶναι, πόνου δ' ἀλλότριον. τίνι γὰρ ἂν μᾶλλον ἁρμόττοι ταῦτα καρποῦσθαι ἀπὸ τοῦ βελτίστου καὶ σπουδαιοτάτου γιγνόμενα ἢ τῷ τοιούτῳ; οὐ γὰρ δὴ τῷ φαύλῳ καὶ οὐδενὸς ἀξίῳ. χρήσεται γὰρ αὐτοῖς ἀφύρτως τε καὶ ἐμμελῶς, καθὼς Νικόλαος τῷ γνώριμος εἶναι καὶ εὔπορος εἰς οὐδὲν ἄτοπον ἐχρήσατο, ἀλλ' εἰς μετριότητά τε καὶ δημοτικὴν φιλανθρωπίαν, πόλεως μὲν οὔποτ' ἀφ' ἑτέρας οἰόμενος δεῖν, ἀλλ' ἀπὸ τῆς αὑτοῦ προσαγορεύεσθαι· κατεγέλα δὲ καὶ τῶν καθ' αὑτὸν σοφιστῶν, οἳ μεγάλοις τιμήμασιν ἐωνοῦντο Ἀθηναῖοι ἢ Ῥόδιοι καλεῖσθαι, βαρυνόμενοι τὴν ἀδοξίαν τῶν πατρίδων· ἔνιοι δὲ καὶ συνέγραψαν περὶ τοῦ μὴ εἶναι ἀφ' ἧς πόλεως ἦσαν, ἀλλ' ἀπό τινος τῶν δι' ὀνόματος Ἑλληνίδων· ὁμοίους τε ἀπέφαινε τοῖς τοὺς ἑαυτῶν γονέας βαρυνομένοις.

Ὅτι ᾐτιῶντό τινες τὸν Νικόλαον πλεῖστα χρήματα παρὰ φίλων λαβόντα οὐ σώζειν αὐτά, καὶ ὅτι τὰς πλείους διατριβὰς ἐποιεῖτο μετὰ τῶν δημοτικῶν, ἐκκλίνων τοὺς μεγάλους καὶ ὑπερπλούτους τῶν ἐν Ῥώμῃ, * οὐδαμῶς ᾔει, πολλῶν καὶ ἐνδόξων αὐτὸν βιαζομένων, ἀλλὰ δι' ὅλης ἡμέρας ἐν ταῖς φιλοσόφοις θεωρίαις ἦν. ὁ δ' ἀπελογεῖτο περὶ μὲν τῶν χρημάτων, ὅτι ἡ κτῆσις, ὥσπερ λύρας ἢ αὐλῶν, οὐδενὸς ἂν εἴη ἀξία, ἡ χρῆσις δὲ τὸ κυριώτατόν ἐστιν, ἣν εἰ μέν τις εἰς ἄσωτον καὶ ἀμετάδοτον ἢ ὅλως ἄφρονα ἢ φαῦλον καταδαπανᾷ [βίον], ἐπίμεμπτος ἂν εἴη, εἰ δέ τις εἰς σώφρονά τε καὶ κόσμιον καὶ κοινωνικὸν καὶ φιλάνθρωπον, δεχόμενος καὶ ὅτε δεῖ ταῦτα καὶ παρ' ὧν δεῖ, καὶ προϊέμενος καὶ τοῖς τέκνοις ἀπολείπων,

ἀμείνων ἂν εἴη. ὅρον δὲ ἕνα ἔφη ποιεῖσθαι τὸν ἄνδρα τὸν ἀγαθὸν τοῖς ἐπιεικεστέροις ἐθέλειν ἀεὶ συνεῖναι, τοιούτους δ' ἐν τοῖς δημοτικοῖς ὁρᾶν πλείους ἢ ἐν τοῖς βαρυπλούτοις φυομένους. πολλῆς γὰρ ἀγαθῆς τύχης δεῖται πλοῦτος ὥστε εἰς ἐπιείκειαν φέρειν· ἐκτρέπει γὰρ τοὺς πλείους εἰς φιληδονίαν τε καὶ ὑπερηφανίαν.

Ὅτι τοὺς ἑαυτοῦ οἰκέτας ἐκπαιδεύσας, καὶ ἐκ τοῦ συζῆν ἀεὶ πολλὴν ὁμοήθειαν αὐτοῖς ἐμποιήσας, ἐχρῆτο οὐδὲν χείροσιν ἢ φίλοις. [Exc. de virt. et vit. p. 421—425.]

ΕΘΩΝ ΣΥΝΑΓΩΓΗ.

Ἀρίτονοι τῶν ἐμψύχων οὐδὲν ἀποκτείνουσι, τὰ δὲ κεραμεᾶ τῶν χρηστηρίων ἐν χρυσοῖς ἐλύτροις φυλάττουσιν. [Stobæi Flor. 5, 50.] 1

Δαρδανεῖς, Ἰλλυρικὸν ἔθνος, τρὶς ἐν τῷ βίῳ λούονται μόνον, ὅταν γεννῶνται, καὶ δεύτερον ἐπὶ γάμοις, καὶ τρίτον τελευτῶντες. [5, 51.] 2

Γαλακτοφάγοι, Σκυθικὸν ἔθνος, ἄοικοί τέ εἰσιν, ὥσπερ καὶ οἱ πλεῖστοι Σκυθῶν, τροφὴν δ' ἔχουσι γάλα μόνον ἵππειον, ἐξ οὗ τυροποιοῦντες ἐσθίουσι καὶ πίνουσι, καὶ εἰσὶ διὰ τοῦτο δυσμαχώτατοι, σὺν αὑτοῖς πάντῃ τὴν τροφὴν ἔχοντες. οὗτοι καὶ Δαρεῖον ἐτρέψαντο. εἰσὶ δὲ καὶ δικαιότατοι, κοινὰ ἔχοντες τά τε κτήματα καὶ τὰς γυναῖκας, ὥστε τοὺς μὲν πρεσβυτέρους αὐτῶν πατέρας νομίζειν, τοὺς δὲ νεωτέρους παῖδας, τοὺς δ' ἥλικας ἀδελφούς. ὧν ἦν καὶ Ἀνάχαρσις, εἷς τῶν ἑπτὰ σοφῶν νομισθείς, ὃς ἦλθεν εἰς τὴν Ἑλλάδα, ἵνα ἱστορήσῃ τὰ τῶν Ἑλλήνων νόμιμα. τούτων καὶ Ὅμηρος μέμνηται ἐν οἷς φησιν 3

Μυσῶν τ' ἀγχεμάχων καὶ ἀγαυῶν Ἱππημολγῶν,
Γλακτοφάγων ἀβίων τε, δικαιοτάτων ἀνθρώπων.

[*ἀβίους δ' αὐτοὺς λέγει ἢ διὰ τὸ γῆν μὴ γεωργεῖν ἢ διὰ τὸ ἀοίκους εἶναι ἢ διὰ τὸ μὴ χρῆσθαι τούτους μό-*

νους τόξοις· βιὸν γὰρ λέγει τὸ τόξον.] παρὰ τούτοις οὐδὲ εἷς οὔτε φθονῶν, ὥς φασιν, οὔτε μισῶν οὔτε φοβούμενος ἱστορήθη διὰ τὴν τοῦ βίου κοινότητα καὶ δικαιοσύνην. μάχιμοι δ' οὐχ ἧττον αὐτῶν αἱ γυναῖκες ἢ οἱ ἄνδρες, καὶ συμπολεμοῦσιν αὐτοῖς, ὅταν δέῃ, καὶ διὰ τοῦτο Ἀμαζόνας γενναιοτάτας εἶναι, ὥστε ποτὲ ἐλάσαι μέχρι Ἀθηνῶν καὶ Κιλικίας, ὅτι τούτων παρῴκουν ἐγγὺς τῆς Μαιώτιδος λίμνης. [5, 73].

4 Ὀμβρικοὶ ἐν ταῖς πρὸς τοὺς πολεμίους μάχαις αἴσχιστον ἡγοῦνται ἡττημένοι ζῆν, ἀλλ' ἀναγκαῖον ἢ νικᾶν ἢ ἀποθνήσκειν. [7, 39.]

5 Κελτοὶ οἱ τῷ Ὠκεανῷ γειτνιῶντες αἰσχρὸν ἡγοῦνται τοῖχον καταπίπτοντα ἢ οἰκίαν φεύγειν. πλημυρίδος δὲ ἐκ τῆς ἔξω θαλάττης ἐπερχομένης μεθ' ὅπλων ἀπαντῶντες ὑπομένουσιν ἕως κατακλύζονται, ἵνα μὴ δοκῶσι φεύγοντες τὸν θάνατον φοβεῖσθαι. [7, 40.]

6 Ἐν Παδαίοις, Ἰνδικῷ ἔθνει, οὐχ ὁ θύων, ἀλλ' ὁ συνετώτατος τῶν παρόντων κατάρχεται τῶν ἱερῶν. αἰτεῖται δ' ἀεὶ παρὰ τῶν θεῶν οὐδὲν ἄλλο πλὴν δικαιοσύνης. [9, 52.]

7 Ὀμβρικοὶ ὅταν πρὸς ἀλλήλους ἔχωσιν ἀμφισβήτησιν, καθοπλισθέντες ὡς ἐν πολέμῳ μάχονται, καὶ δοκοῦσι δικαιότερα λέγειν οἱ τοὺς ἐναντίους ἀποσφάξαντες. [10, 70.]

8 Πραΰσιοι τοὺς ἀστυγείτονας, ἐὰν λιμῷ πιεσθῶσι, τρέφουσι. [37, 38.]

9 Θῦνοι τοὺς ναυαγοὺς φιλανθρώπως δεχόμενοι φίλους ποιοῦνται, τῶν δὲ ξένων τοὺς μὲν ἀκουσίως ἐλθόντας σφόδρα τιμῶσι, τοὺς δ' ἑκουσίως κολάζουσιν. [ib.]

Τελχῖνες ἄνθρωποι ὀνομαζόμενοι τὸ ἀνέκαθεν 10
Κρῆτες, οἰκήσαντές τε ἐν Κύπρῳ, μεταναστάντες δ' εἰς Ῥόδον καὶ πρῶτοι τὴν νῆσον κατέχοντες, βάσκανοί τε σφόδρα ἦσαν καὶ φθονεροί· τεχνῖται δὲ ὄντες καὶ τὰ τῶν προτέρων ἔργα μωμησάμενοι Ἀθηνᾶς Τελχινίας ἄγαλμα πρῶτοι ἱδρύσαντο, ὥσπερ εἴ τις λέγοι Ἀθηνᾶς βασκάνου. [38, 56.]

Παρὰ Ταρτησσίοις νεωτέρῳ πρεσβυτέρου κατα- 11
μαρτυρεῖν οὐκ ἔξεστι. [44, 41.]

Λευκανοὶ δικάζονται ἀλλήλοις ὥσπερ ἄλλου τινὸς 12
ἀδικήματος, οὕτω καὶ ἀσωτίας καὶ ἀργίας. ἐὰν δέ τις ἀσώτῳ δανείσας χρέος ἐλεγχθῇ, στέρεται αὐτοῦ. καὶ Ἀθήνησι δὲ τῆς ἀργίας εἰσὶ δίκαι.

Παρὰ Σαυνίταις κατ' ἔτος οἵ τε ἤθεοι κρίνονται 13
δημοσίᾳ καὶ αἱ παρθένοι· ὁ δὲ κριθεὶς ἄριστος εἶναι λαμβάνει ἣν βούλεται, εἶθ' ὁ μετ' ἐκεῖνον δεύτερος καὶ οὕτως ἐφεξῆς.

Λιβύρνιοι κοινὰς τὰς γυναῖκας ἔχουσι καὶ τὰ 14
τέκνα ἐν κοινῷ τρέφουσι μέχρι ἐτῶν πέντε· εἶτα τῷ ἕκτῳ συνενέγκαντες ἅπαντα τὰ παιδία τὰς ὁμοιότητας πρὸς τοὺς ἄνδρας εἰκάζουσι, καὶ ἑκάστῳ τὸ ὅμοιον ἀποδιδόασι πατρί· ἀφ' ἧς δ' ἂν ἀπολάβῃ τὸ παιδίον, ἕκαστος υἱὸν ὑπολαμβάνει.

Κελτοὶ σιδηροφοροῦντες τὰ κατὰ πόλιν πάντα 15
πράττουσι. μείζω δ' ἐστὶν ἐπιτίμια κατὰ τοῦ ξένον ἀνελόντος ἢ πολίτην· ὑπὲρ τοῦ μὲν γὰρ θάνατος ἡ ζημία, ὑπὲρ τοῦ δὲ [*πολίτου*] *φυγή. τιμῶσι δὲ μάλιστα τοὺς χώραν τῷ κοινῷ προσκτωμένους. τὰς δὲ θύρας τῶν οἰκιῶν οὐδέποτε κλείουσι.*

Σαυρομάται διὰ τριῶν ἡμερῶν σιτοῦνται εἰς πλή- 16
ρωσιν. ταῖς δὲ γυναιξὶ πάντα πείθονται ὡς δεσποί-

ναις. παρθένον δὲ οὐ πρότερον συνοικίζουσι πρὸς γάμον πρὶν ἂν πολέμιον ἄνδρα κτείνῃ. [44, 41.]

17 Κερκέται τοὺς ἀδικήσαντας ὁτιοῦν τῶν ἱερῶν ἀπείργουσιν. ἐὰν δέ τις κυβερνῶν σκάφος διαμάρτῃ, προσιόντες ἐφεξῆς ἕκαστοι ἐμπτύουσιν αὐτῷ.

18 Μόσσυνοι τὸν ἑαυτῶν βασιλέα τρέφουσιν ἐν πύργῳ κατάκλειστον. ἐὰν δέ τις δόξῃ κακῶς ποτε βεβουλεῦσθαι, τῷ λιμῷ αὐτὸν ἀποκτείνουσι. τὸν δ' ἐκφερόμενον σῖτον ἐξ ἴσου διαιροῦσι, μέρος κοινῇ ἐξελόντες τοῖς ἀφικνουμένοις ξένοις.

19 Φρύγες ὅρκοις οὐ χρῶνται οὔτ' ὀμνύντες οὔτε ἄλλους ἐξορκοῦντες. ἐὰν δέ τις παρ' αὐτοῖς γεωργικὸν βοῦν ἀποκτείνῃ ἢ σκεῦος τῶν περὶ γεωργίαν κλέψῃ, θανάτῳ ζημιοῦσι.

20 Λύκιοι τὰς γυναῖκας μᾶλλον ἢ τοὺς ἄνδρας τιμῶσι καὶ καλοῦνται μητρόθεν, τάς τε κληρονομίας ταῖς θυγατράσι λείπουσιν, οὐ τοῖς υἱοῖς. ὃς δ' ἂν ἐλεύθερος ἁλῷ κλέπτων, δοῦλος γίγνεται. τὰς δὲ μαρτυρίας ἐν ταῖς δίκαις οὐκ εὐθὺς παρέχονται, ἀλλὰ μετὰ μῆνα.

21 Πισίδαι δειπνοῦντες ἀπάρχονται τοῖς γονεῦσιν, ὡς ἡμεῖς τοῖς θεοῖς [παρασπονδίοις]. ἡ δὲ μεγίστη κρίσις ἐστὶ περὶ παρακαταθήκης· τὸν δὲ ἀποστερήσαντα θανατοῦσιν. ἐὰν δὲ μοιχὸς ἁλῷ, περιάγεται τὴν πόλιν ἐπὶ ὄνου μετὰ τῆς γυναικὸς ἐπὶ ἡμέρας τακτάς.

22 Αἰθίοπες τὰς ἀδελφὰς μάλιστα τιμῶσι, καὶ τὰς διαδοχὰς [μάλιστα] καταλείπουσιν οἱ βασιλεῖς οὐ τοῖς ἑαυτῶν, ἀλλὰ τοῖς τῶν ἀδελφῶν υἱοῖς. ὅταν δ' ὁ διαδεξόμενος μὴ ᾖ, τὸν κάλλιστον ἐκ πάντων καὶ μαχιμώτατον αἱροῦνται βασιλέα. ἀσκοῦσι δὲ εὐσέβειαν καὶ δικαιοσύνην. ἄθυροι δ' αὐτῶν αἱ οἰκίαι, καὶ

ἐν ταῖς ὁδοῖς κειμένων πολλῶν οὐδὲ εἷς κλέπτει. [44, 41.]

Ἐν Ὑάλοις Λίβυσιν ἀνὴρ μὲν ἀνδρῶν βασιλεύει, γυνὴ δὲ γυναικῶν. 23

Μασουλεῖς Λίβυες ὅταν πολεμῶσι, τὰς μὲν νύκτας μάχονται, τὰς δ' ἡμέρας εἰρήνην ἄγουσι. 24

Δαψολίβυοι ὅταν συναχθῶσι, πάντες ἅμα γαμοῦσιν ἐν μιᾷ ἡμέρᾳ μετὰ δύσιν πλειάδος, καὶ μετὰ τὴν ἑστίασιν χωρὶς τῶν γυναικῶν κατακειμένων κατασβέσαντες τὸν λύχνον εἰσέρχονται, καὶ ὁ τυχὼν ἣν ἂν τύχῃ λαμβάνει. 25

Μαχλυεῖς Λίβυες, ὅταν πολλοὶ μνηστεύωνται γυναῖκα, παρὰ τῷ κηδεστῇ δειπνοῦσι, παρούσης καὶ τῆς γυναικός, πολλὰ δὲ σκωπτόντων, ἐφ' ᾧ ἂν ἡ γυνὴ γελάσῃ, τούτῳ συνοικεῖ. 26

Σαρδοὶ Λίβυες οὐδὲν κέκτηνται σκεῦος εἰ μὴ κύλικας καὶ μαχαίρας. 27

Ἀλιτέμνιοι Λίβυες τοὺς ταχυτάτους αὑτῶν αἱροῦνται βασιλεῖς, τῶν δ' ἄλλων τιμῶσι τὸν δικαιότατον. 28

Οἱ Νομάδες τῶν Λιβύων οὐ ταῖς ἡμέραις, ἀλλὰ ταῖς νυξὶν αὑτῶν ἀριθμοῦσι τὸν χρόνον. 29

Γαράμαντες Λίβυες ὀνόματα οὐκ ἔχουσιν. ἡλίῳ δὲ ἀνίσχοντι λοιδοροῦνται ὡς πολλὰ κακὰ φήναντι. τῶν δὲ θυγατέρων ἀρίστας κρίνουσι τὰς πλεῖστον χρόνον μεμενηκυίας παρθένους. 30

Βοιωτῶν ἔνιοι τοὺς τὸ χρέος οὐκ ἀποδιδόντας εἰς ἀγορὰν ἄγοντες καθίσαι κελεύουσιν, εἶτα κόφινον ἐπιβάλλουσιν αὐτοῖς· ὃς δ' ἂν κοφινωθῇ, ἄτιμος γίγνεται. δοκεῖ δὲ τοῦτο πεπονθέναι καὶ ὁ Εὐριπίδου πατήρ, Βοιωτὸς ὢν τὸ γένος. 31

32 *Ἀσσύριοι τὰς παρθένους ἐν ἀγορᾷ πωλοῦσι τοῖς θέλουσι συνοικεῖν, πρώτας μὲν τὰς εὐγενεστάτας καὶ καλλίστας, εἶτα τὰς λοιπὰς ἐφεξῆς· ὅταν δ' ἔλθωσιν ἐπὶ τὰς φαυλοτάτας, κηρύττουσι πόσον τις θέλει προσλαβὼν ταύταις συνοικεῖν, καὶ τὸ συναχθὲν ἐκ τῆς τῶν εὐπρεπῶν τιμῆς ταύταις προστίθενται. ἀσκοῦσι δὲ μάλιστα οὗτοι τὴν εὐθύτητα καὶ τὴν ἀοργησίαν.* [44, 41.]

33 *Πέρσαις ὃ μὴ ποιεῖν ἔξεστιν οὐδὲ λέγουσιν. ἐὰν δέ τις ἀπ' αὐτῶν πατέρα κτείνῃ, ὑπόβλητον αὐτὸν οἴονται. ἐὰν δέ τινα προστάξῃ ὁ βασιλεὺς μαστιγῶσαι, εὐχαριστεῖ, ὡς ἀγαθοῦ τυχὼν ὅτι αὐτοῦ ἐμνήσθη ὁ βασιλεύς. ἆθλα δὲ λαμβάνουσι παρὰ τοῦ βασιλέως πολυτεκνίας. οἱ δὲ παῖδες παρ' αὐτοῖς ὥσπερ τινὰ μαθήματα τὸ ἀληθεύειν διδάσκονται.*

34 *Παρ' Ἰνδοῖς, ἐάν τις ἀποστερηθῇ δανείου ἢ παρακαταθήκης, οὐκ ἔστι κρίσις, ἀλλ' αὐτὸν αἰτιᾶται ὁ πιστεύσας. ὁ δὲ τεχνίτου πηρώσας χεῖρα ἢ ὀφθαλμὸν θανάτῳ ζημιοῦται. τὸν δὲ μέγιστα ἀδικήσαντα ὁ βασιλεὺς κελεύει κείρασθαι, ὡς* [*λίαν*] *ἐσχάτης οὔσης τῆς τοιαύτης ἀτιμίας.*

35 *Λακεδαιμονίοις τέχνας μανθάνειν ἄλλας ἢ τὰς εἰς πόλεμον εὐθέτους αἰσχρόν ἐστιν. ἑστιῶνται δὲ πάντες ἐν κοινῷ. τοὺς δὲ γέροντας αἰσχύνονται κατ' οὐδὲν ἧττον ἢ τοὺς ἰδίους πατέρας. γυμνάσια δ' ὥσπερ ἀνδρῶν ἐστιν, οὕτω καὶ τῶν παρθένων. ξένοις δ' ἐμβιοῦν οὐκ ἔξεστιν ἐν Σπάρτῃ οὐδὲ Σπαρτιάταις ἔθος ξενιτεύειν. ταῖς δὲ αὐτῶν γυναιξὶ παρακελεύονται ἐκ τῶν εὐειδεστάτων κύεσθαι καὶ ἀστῶν καὶ ξένων. χρηματίζεσθαι δ' αἰσχρὸν Σπαρτιάταις. νομίσμασι δὲ χρῶνται σκυτίνοις· ἐὰν δὲ παρά τινι εὑρεθῇ χρυσὸς ἢ ἄργυρος, θανάτῳ ζημιοῦται. σεμνύνονται*

δὲ πάντες ἐπὶ τῷ ταπεινοὺς αὑτοὺς παρέχειν καὶ κατηκόους ταῖς ἀρχαῖς. μακαρίζονται δὲ μᾶλλον παρ' αὐτοῖς οἱ γενναίως ἀποθνήσκοντες ἢ οἱ εὐτυχῶς ζῶντες. οἱ δὲ παῖδες νομίμως περὶ τὸν βωμὸν περιιόντος μαστιγοῦνται, ἕως ἂν ὀλίγοι λειφθέντες στεφανωθῶσιν. αἰσχρὸν δέ ἐστι δειλῶν σύσκηνον ἢ συγγυμναστὴν ἢ φίλον γενέσθαι. κρίσις δὲ τῆς γεροντίας ἐπὶ τῷ τέρματι τοῦ βίου προτίθεται τοῖς τε εὖ ἢ κακῶς ζήσασιν. ὅταν δὲ στρατεύωνται ἔξω χώρας, πῦρ ἀπὸ τοῦ βωμοῦ τοῦ Ἁγήτορος Διὸς ἐναυσάμενος πυρφόρος λεγόμενος σύνεστι τῷ βασιλεῖ ἄσβεστον αὐτὸ τηρῶν. συνεκπέμπονται δὲ τῷ βασιλεῖ μάντεις καὶ ἰατροὶ καὶ αὐληταί, οἷς ἐν ταῖς μάχαις ἀντὶ σαλπίγγων ἀεὶ χρῶνται. μάχονται δὲ οἱ Λακεδαιμόνιοι ἐστεφανωμένοι. ὑπανίστανται δὲ τῷ βασιλεῖ πάντες πλὴν τῶν ἐφόρων. ὀμνύει τε πρὸ τῆς ἀρχῆς ὁ βασιλεὺς κατὰ τοὺς τῆς πόλεως νόμους βασιλεύσειν. [44, 41.]

Κρῆτες πρῶτοι Ἑλλήνων νόμους ἔσχον τοῦ Μί- 36
νωος θεμένου, ὃς καὶ πρῶτος ἐθαλασσοκράτησεν. προσεποιεῖτο δὲ ὁ Μίνως παρὰ τοῦ Διὸς αὐτοῦ μεμαθηκέναι δι' ἐννέα ἐτῶν εἴς τι ὄρος φοιτῶν, ἐν ᾧ Διὸς ἄντρον ἐλέγετο, κἀκεῖθεν ἀεί τινας νόμους φέρων τοῖς Κρησί. μέμνηται δὲ τούτων καὶ Ὅμηρος ἐν οἷς λέγει

τοῖσι δ' ἐνὶ Κνωσσὸς μεγάλη πόλις, ἔνθα γε Μίνως
ἐννέωρος βασίλευε, Διὸς μεγάλου ὀαριστής.

οἱ δὲ Κρητῶν παῖδες ἀγελάζονται κοινῇ μετ' ἀλλήλων σκληραγωγούμενοι, καὶ θήρας καὶ δρόμους τε ἀνάντεις ἀνυπόδητοι κατανύοντες, καὶ τὴν ἐνόπλιον πυρρίχην ἐκπονοῦντες, ἥντινα πρῶτος εὗρε Πύρριχος

Κυδωνιάτης Κρὴς τὸ γένος. συσσιτοῦσι δ' ἐν κοινῷ οἱ ἄνδρες τὴν αὐτὴν δίαιταν ἔχοντες ἐξ ἴσου πάντες. δῶρα δὲ αὐτοῖς ἐστιν ὅπλα τιμιώτατα. [44, 41.]

37 *Αὐταριᾶται τοὺς ἀδυνάτους τῶν στρατιωτῶν ἐν ταῖς ὁδοιπορίαις οὐδέποτε ζῶντας ἀπολείπουσι.* [54, 39.]

38 *Τριβαλλοὶ τέτταρας φάλαγγας ἐν ταῖς μάχαις ποιοῦνται, τὴν πρώτην τῶν ἀσθενῶν, τὴν ἐχομένην τῶν κρατίστων, τὴν τρίτην τῶν ἱππέων, τελευταίαν τὴν τῶν γυναικῶν, αἳ αὐτοὺς εἰς φυγὴν τρεπομένους κωλύουσι βλασφημοῦσαι.* [54, 40.]

39 *Κῖοι τοὺς ἀποθανόντας κατακαύσαντες καὶ ὀστολογήσαντες ἐν ὅλμῳ τὰ ὀστᾶ καταπτίσσουσιν, εἶτα ἐνθέντες εἰς πλοῖον καὶ κόσκινον λαβόντες ἀναπλέουσιν εἰς πέλαγος καὶ πρὸς τὸν ἄνεμον ἐξοδιάζουσιν, ἄχρι ἂν πάντα ἐκφυσηθῇ καὶ ἀφανῆ γένηται.* [123, 12.]

40 *Ταῦροι, Σκυθικὸν ἔθνος, τοῖς βασιλεῦσι τοὺς εὐνουστάτους τῶν φίλων συγκαταθάπτουσιν. ὁ δὲ βασιλεὺς ἀποθανόντος φίλου ἢ μέρος ἢ τὸ ὅλον ἀποτέμνει ὠτίον πρὸς τὴν ἀξίαν τοῦ τελευτήσαντος.*

41 *Σινδοὶ τοσούτους ἰχθῦς ἐπὶ τοὺς τάφους ἐπιβάλλουσιν ὅσους ἂν πολεμίους ὁ θαπτόμενος ἀπεκτονὼς ᾖ.*

42 *Κολχοὶ τοὺς τελευτήσαντας οὐ θάπτουσιν, ἀλλὰ κρημνῶσιν ἀπὸ δένδρων.*

43 *Φρύγες οὐ κατορύττουσι τοὺς ἱερεῖς τελευτήσαντας, ἀλλ' ἐπὶ λίθους δεκαπήχεις τιθέασιν ὀρθούς.*

44 *Πάνηβοι Λίβυες, ὅταν αὐτοῖς βασιλεὺς ἀποθάνῃ, τὸ μὲν σῶμα κατορύττουσι, τὴν δὲ κεφαλὴν*

ἀποκόψαντες καὶ χρυσώσαντες ἀνατιθέασιν ἐν ἱερῷ. [123, 12.]

Ἰνδοὶ συγκατακαίουσιν, ὅταν τελευτήσωσι, τῶν 45
γυναικῶν τὴν προσφιλεστάτην. αὐτῶν δὲ ἐκείνων ἀγὼν μέγιστος γίγνεται, σπουδαζόντων ἑκάστην νικῆσαι τῶν φίλων. [*τὸ αὐτὸ Ἡρόδοτος ἐν πέμπτῃ ἱστοριῶν παρὰ Σκυθῶν τῶν ὕπερθεν Κρηστωναίων γίγνεσθαι λέγει.*]

Incertum quo ex libro et loco petitum sit hoc quod Anthologiae 7, 304 codex Palatinus habet Pisandri Rhodii epigramma:

Ἀνδρὶ μὲν Ἱππαίμων ὄνομ' ἦν, ἵππῳ δὲ Πόδαργος
καὶ κυνὶ Θήραγρος καὶ θεράποντι Βάβης.
Θεσσαλὸς ἐκ Κρήτης, Μάγνης γένος, Αἵμονος υἱός·
ὤλετο δ' ἐν προμάχοις ὀξὺν Ἄρη συνάγων.

τούτου τοῦ ἐπιγράμματος μέμνηται Νικόλαος ὁ Δαμασκηνὸς ὡς ἀρίστου.

PAUSANIAE DAMASCENI FRAGMENTA.

Damascenum hunc Pausaniam vocat Constantinus Porph. De them. 1, p. 17, 19: *Τὸ θέμα τὸ καλούμενον Ἀρμενιακὸν οὐ κύριον ἔχει τὸ ὄνομα οὐδὲ ἀρχαία τίς ἐστιν ἡ τούτου προσηγορία, ἀλλὰ ἀπὸ τῶν ὁμορούντων καὶ συνοικούντων Ἀρμενίων τὴν προσηγορίαν ἐκτήσατο, δοκῶ δὲ εἰπεῖν ὅτι ἐπὶ Ἡρακλείου τοῦ βασιλέως καὶ τῶν κάτω χρόνων τὴν τοιαύτην προσηγορίαν ἐκληρονόμησεν· οὔτε γὰρ Στράβων ὁ γεωγράφος τῆς τοιαύτης ὀνομασίας ἐμνήσθη, καίτοι Καππαδόκης ὢν τ᾽ γένος ἐξ Ἀμασείας τῆς πόλεως, οὔτε Μένιππος ὁ τοὺς σταδιασμοὺς τῆς ὅλης οἰκουμένης ἀπογραψάμενος οὔτε μὴν Σκύλαξ ὁ Καρυανδηνὸς οὔτε Παυσανίας ὁ Δαμασκηνὸς οὔτε ἄλλος τις τῶν ἱστορίας γεγραφότων.* Quo de loco duplicem vanissimam haud dubie coniecturam protulit Palmerius apud Schubartum praef. ad Pausan. vol. 2, p. VI, aut *οὔτ᾽ αὐτὸς Παυσανίας οὔθ᾽ ὁ Δαμασκηνός*, intellecto *Νικόλαος*, quem saepe sic vocari, quod de Ioanne potius verum quam de Nicolao, aut *Μαζακηνὸς* pro *Δαμασκηνός*, quum credibilius sit Damascenum exstitisse Pausaniam, de quo Müllerus Histor. fragm. vol. 4, p. 467: „Ad hunc sive ad alium Pausaniam Syrum referenda sunt quae ex Pausania affert

Stephanus Byzantius. Ex opere *περὶ Ἀντιοχείας* petita quae Ioannes Malalas de Antiochiae originibus, monumentis et historia e Pausania refert. Deinde Stephanus v. *Δῶρος* citat Pausaniam *ἐν τῇ τῆς πατρίδος αὐτοῦ κτίσει.* Quod scriptum de Damasco urbe fuit, si auctor est Damascenus ille; sin minus, vel Antiochiam vel aliam quamvis Syriae urbem intelligere licet. Quae praeterea Stephanus habet e libris quinto et sexto, ex eadem Antiochenorum historia fluxerint"*).

Δῶρος, πόλις Φοινίκης .... τὸ ἐθνικὸν Δωρίτης. 1
Πανσανίας δὲ ἐν τῇ τῆς πατρίδος αὐτοῦ κτίσει Δωριεῖς αὐτοὺς καλεῖ, τῇδε γράφων· Τύριοι, Ἀσκαλωνῖται, Δωριεῖς, Ῥαφανεῶται. [Stephanus Byz. v. *Δῶρος.*]

Σελευκόβηλος, πόλις Συρίας πλησίον· ὁ πολίτης 2
Σελευκοβηλίτης καὶ Σελευκοβηλαῖος. λέγεται καὶ Σελευκεὺς πρὸς τῷ Βήλῳ· οὕτω γὰρ Πανσανίας ἐν τῷ περὶ Ἀντιοχείας φησί. [Stephanus Byz. v. *Σελευκόβηλος.*]

Ὁ δὲ αὐτὸς Περσεὺς μετὰ τὸ βασιλεῦσαι τῆς Περ- 3
σικῆς χώρας ἔτη πολλά, μαθὼν ὅτι ἐν τῇ Συρίᾳ χώρᾳ διάγουσιν ἐκ τοῦ Ἄργους Ἰωνῖται, ἦλθεν εἰς τὴν Συρίαν πρὸς αὐτοὺς εἰς τὸ Σίλπιον ὄρος ὡς πρὸς ἰδίους σὺγγενεῖς· οἵτινες δεξάμενοι αὐτὸν μετὰ πάσης τιμῆς προσεκύνησάν· γνόντες αὐτὸν οἱ αὐτοὶ

---

*) Prorsus incertum quem ad Pausaniam sint referenda haec Galeni vol. 7, p. 450 (8, 213 Lips.), quae nonnulli, de quibus Schubartus l. c., ad Periegetam retulerant: *Πανσανίας οὖν* (addendum *ὁ*) *ἀπὸ τῆς Συρίας σοφιστὴς εἰς Ῥώμην ἀφικόμενός ποτε, τοὺς μικροὺς δύο δακ'ύλους τῆς ἀριστερᾶς χειρὸς καὶ τοῦ μέσου τὸ ἥμισυ δυσαισθήτους μὲν ἔσχε τὸ πρότερον, ὕστερον δὲ καὶ ἀναισθήτους, κακῶς θεραπευσάμενος* (legendum *τεθεραπευμένος*) *ὑπὸ τῶν ἰατρῶν.*

Ἀργεῖοι Ἰωπολῖται ὅτι καὶ οὗτος ἐκ τοῦ γένους τῶν Ἀργείων κατάγεται, χαρέντες ἀνύμνουν αὐτόν. χειμῶνος δὲ γενομένου, καὶ πλημμυρήσαντος πολὺ τοῦ παρακειμένου ποταμοῦ τῇ Ἰωνιτῶν πόλει τοῦ καλουμένου Δράκοντος, νυνὶ δὲ Ὀρόντου, ᾔτησε τοὺς Ἰωνίτας εὔξασθαι· καὶ ἐν τῷ εὔχεσθαι αὐτοὺς καὶ μυσταγωγεῖν κατηνέχθη σφαῖρα πυρὸς κεραυνοῦ ἐκ τοῦ οὐρανοῦ, ἥτις ἐποίησε πανθῆναι τὸν χειμῶνα καὶ τὰ τοῦ ποταμοῦ ἐπισχεθῆναι ῥεῖθρα. καὶ θαυμάσας ἐπὶ τῷ γεγονότι ὁ Περσεὺς ἐξ ἐκείνου τοῦ πυρὸς εὐθέως ἀνῆψε πῦρ, καὶ εἶχε φυλαττόμενον μεθ' ἑαυτοῦ· ὅπερ πῦρ ἐβάσταξεν ἐπὶ τὰ Περσικὰ μέρη εἰς τὰ ἴδια βασίλεια. καὶ ἐδίδαξεν αὐτοὺς τιμᾶν ἐκεῖνο τὸ πῦρ, ὅπερ ἔλεγεν αὐτοῖς ἑωρακέναι ἐκ τοῦ οὐρανοῦ κατενεχθέντα· ὅπερ πῦρ ἕως τοῦ παρόντος ἐν τιμῇ ἔχουσιν οἱ Πέρσαι, ὡς θεῖον. ὁ δὲ αὐτὸς Περσεὺς ἔκτισε τοῖς Ἰωνίταις ἱερόν, ὃ ἐπωνόμασε πυρὸς ἀθανάτου. ὁμοίως δὲ καὶ εἰς τὰ Περσικὰ ἔκτισεν ἱερὸν πυρός, καταστήσας ἐκεῖ διακονεῖν αὐτῷ εὐλαβεῖς ἄνδρας, οὕστινας ἐκάλεσε μάγους. ταῦτα δὲ Πανσανίας ὁ σοφώτατος χρονογράφος συνεγράψατο. [Ioannes Malalas p. 37, 17—38, 16 et Chron. Pasch. p. 72, 11—73, 12 edd. Bonn.]

4 *Ὁ δὲ Νικάτωρ Σέλευκος εὐθέως μετὰ τὴν νίκην Ἀντιγόνου τοῦ Πολιορκητοῦ, βουλόμενος κτίσαι πόλεις διαφόρους ἤρξατο κτίζειν πρῶτον εἰς τὴν πάραλον τῆς Συρίας. καὶ κατελθὼν παρὰ τὴν θάλασσαν εἶδεν ἐν τῷ ὄρει κειμένην πόλιν μικράν, ἥντινα ἔκτισε Σύρος ὁ υἱὸς Ἀγήνορος. τῇ δὲ κγʹ τοῦ ξανθικοῦ μηνὸς ἦλθε θυσιάσαι εἰς τὸ ὄρος τὸ Κάσιον Διὶ Κασίῳ, καὶ πληρώσας τὴν θυσίαν καὶ κόψας τὰ κρέα ηὔξατο ποῦ χρὴ κτίσαι πόλιν. καὶ ἐξαίφνης ἥρπασεν*

ἀετὸς ἀπὸ τῆς θυσίας καὶ κατήγαγεν ἐπὶ τὴν παλαιὰν πόλιν· καὶ κατεδίωξεν ὀπίσω Σέλευκος καὶ οἱ μετ' αὐτοῦ ὀρνοσκόποι, καὶ ηὗρε τὸ κρέας ῥιφὲν παρὰ θάλασσαν κάτω τῆς παλαιᾶς πόλεως ἐν τῷ ἐμπορίῳ τῆς λεγομένης Πιερίας. καὶ περιχαράξας τὰ τείχη εὐθέως ἔβαλε θεμελίους, καλέσας αὐτὴν Σελεύκειαν πόλιν εἰς ἴδιον ὄνομα. καὶ εὐχαριστῶν ἀνῆλθεν εἰς Ἰώπολιν καὶ μετὰ τρεῖς ἡμέρας ἐπετέλεσεν ἑορτὴν ἐκεῖ τῷ Κεραυνίῳ Διὶ ἐν τῷ ἱερῷ τῷ κτισθέντι ὑπὸ Περσέως τοῦ υἱοῦ Πίκου καὶ Δανάης, τῷ ὄντι εἰς τὸ Σίλπιον ὄρος, ἔνθα κεῖται ἡ Ἰώπολις, ποιήσας τὴν θυσίαν τῇ πρώτῃ τοῦ ἀρτεμισίου μηνός. καὶ ἐν τῇ πόλει ἐλθὼν Ἀντιγονείᾳ τῇ κτισθείσῃ ὑπὸ Ἀντιγόνου τοῦ Πολιορκητοῦ, ἀπὸ γὰρ τῆς λίμνης ἐξερχομένου ἄλλου ποταμοῦ Ἀρχευθᾶ (Ἀρκεύθου) τοῦ καὶ Ἰάφθα, ἐμεσάζετο ἡ πόλις Ἀντιγόνεια καὶ ἐν ἀσφαλείᾳ ἐκαθέζετο· καὶ ποιήσας ἐκεῖ θυσίαν τῷ Διὶ εἰς τοὺς βωμοὺς τοὺς ἀπὸ Ἀντιγόνου κτισθέντας ἔκοψε τὰ κρέα· καὶ ηὔξατο ἅμα τῷ ἱερεῖ Ἀμφίονι μαθεῖν διὰ διδομένου σημείου, εἰ τὴν αὐτὴν ὀφείλει οἰκῆσαι πόλιν Ἀντιγόνειαν μετονομάζων αὐτὴν ἢ οὐκ ὀφείλει αὐτὴν οἰκῆσαι, ἀλλὰ κτίσαι πόλιν ἄλλην ἐν ἄλλῳ τόπῳ. καὶ ἐξαίφνης ἐκ τοῦ ἀέρος κατῆλθεν ἀετὸς μέγας, καὶ ἐπῆρεν ἐκ τοῦ βωμοῦ τοῦ πυρὸς τῆς ὁλοκαυτώσεως κρέα, καὶ ἀπῆλθε παρὰ τὸ ὄρος τὸ Σίλπιον. καὶ καταδιώξας ἅμα τοῖς αὐτοῦ εὗρε τὸ κρέας τὸ ἱερατικὸν καὶ τὸν ἀετὸν ἐπάνω ἑστῶτα. τοῦ δὲ ἱερέως καὶ τῶν ὀρνοσκόπων καὶ τοῦ αὐτοῦ Σελεύκου ἑωρακότων τὸ θαῦμα εἶπον ὅτι Ἐνταῦθα δεῖ ἡμᾶς οἰκῆσαι, ἐν τῇ δὲ Ἀντιγονείᾳ οὐ δεῖ ἡμᾶς οἰκῆσαι οὔτε δὲ γενέσθαι αὐτὴν πόλιν, ὅτι οὐ βούλονται τὰ θεῖα. καὶ λοιπὸν ἐβουλεύετο ἅμα αὐτοῖς

ἐν ποίῳ τόπῳ ἀσφαλῆ ποιήσει τὴν πόλιν. καὶ φοβηθεὶς τὰς ῥύσεις τοῦ Σιλπίου ὄρους καὶ τοὺς κατερχομένους ἐξ αὐτοῦ χειμάρρους, ἐν τῇ πεδιάδι τοῦ αὐλῶνος κατέναντι τοῦ ὄρους πλησίον τοῦ Δράκοντος ποταμοῦ τοῦ μεγάλου τοῦ μετακληθέντος Ὀρόντου, ὅπου ἦν ἡ κώμη ἡ καλουμένη Βοττία, ἄντικρυς τῆς Ἰωπόλεως, ἐκεῖ διεχάραξε τὰ θεμέλια τοῦ τείχους, θυσιάσας δι' Ἀμφίονος ἀρχιερέως καὶ τελεστοῦ κόρην παρθένον ὀνόματι Αἰμάθην*), κατὰ μέσου τῆς πόλεως καὶ τοῦ ποταμοῦ μηνὶ ἀρτεμισίῳ τῷ καὶ μαΐῳ κβ', ὥρᾳ ἡμερινῇ α', τοῦ ἡλίου ἀνατέλλοντος, καλέσας αὐτὴν Ἀντιόχειαν εἰς ὄνομα τοῦ ἰδίου αὐτοῦ υἱοῦ τοῦ λεγομένου Ἀντιόχου Σωτῆρος, κτίσας εὐθέως καὶ ἱερόν, ὃ ἐκάλεσε Βοττίου Διός, ἀνεγείρας καὶ τὰ τείχη σπουδαίως φοβερὰ διὰ Ξεναίου ἀρχιτέκτονος, στήσας ἀνδριάντος στήλην χαλκῆν τῆς σφαγιασθείσης κόρης Τύχην τῇ πόλει ὑπεράνω τοῦ ποταμοῦ, εὐθέως ποιήσας αὐτῇ τῇ Τύχῃ θυσίαν. καὶ ἀπελθὼν κατέστρεψε τὴν Ἀντιγόνειαν πόλιν πᾶσαν ἕως ἐδάφους, μετενεγκὼν καὶ τὰς ὕλας ἐκεῖθεν διὰ τοῦ ποταμοῦ, καὶ ποιήσας καὶ τῇ Τύχῃ Ἀντιγονείᾳ ἀνδριάντα στήλης χαλκῆς ἐχούσης Ἀμαλθείας κέρας ἔμπροσθεν αὐτῆς. καὶ ποιήσας ἐκεῖ τετρακιόνιν ἐν ὕψει ἔστησεν αὐτὴν τὴν Τύχην, καταστήσας ἔμπροσθεν αὐτῆς βωμὸν ὑψηλόν· ἥντινα στήλην τῆς Τύχης μετὰ τελευτὴν Σελεύκου Δημήτριος ὁ υἱὸς Ἀντιγόνου τοῦ Πολιορκητοῦ ἀπήγαγεν ἐν Ῥώσῳ ἐν τῇ πόλει τῆς Κιλικίας. ἡ δὲ αὐτὴ πόλις Ῥῶσος ἐκτίσθη ὑπὸ Κίλικος τοῦ υἱοῦ Ἀγήνορος. ὁ δὲ Σέλευκος μετὰ

---

*) *Αἰμάθην* corruptum esse ex *Ἠμαθίαν*, quod est nomen ἄκρας prope Antiochiam apud Libanium vol. 4, p. 297, 9; 300, 10, animadvertit Müllerus Comment. Antioch. p. 27.

τὸ καταστρέψαι τὴν Ἀντιγόνειαν ἐποίησε μετοικῆσαι τοὺς Ἀθηναίους εἰς ἣν ἔκτισε πόλιν Ἀντιόχειαν τὴν μεγάλην τοὺς οἰκοῦντας τὴν Ἀντιγόνειαν· οὕστινας ἦν ἐκεῖ ἐάσας Ἀντίγονος μετὰ Δημητρίου, υἱοῦ αὐτοῦ, καὶ ἄλλους δὲ ἄνδρας Μακεδόνας, τοὺς πάντας ἄνδρας ͵ετʹ *), ποιήσας ὁ αὐτὸς Σέλευκος ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ ἀνδριάντα χαλκοῦν φοβερὸν τῆς Ἀθήνης διὰ τοὺς Ἀθηναίους, ὡς αὐτὴν σεβομένους. κατήγαγε δε καὶ τοὺς Κρῆτας ἀπὸ τῆς ἀκροπόλεως, οὓς εἴασεν ὁ Κάσιος ὁ υἱὸς Ἰνάχου ἄνω οἰκεῖν· οἵτινες μετοικήσαντες εἰς τὴν αὐτὴν Ἀντιόχειαν μετὰ καὶ τῶν Κυπρίων, ἐπειδὴ ὁ Κάσος βασιλεὺς ἠγάγετο Ἀμύκην τὴν καὶ Κιτίαν, θυγατέρα Σαλαμίνου τοῦ Κυπρίων βασιλέως· καὶ ἦλθον μετ' αὐτῆς Κύπριοι καὶ ᾤκησαν τὴν ἀκρόπολιν· καὶ τελευτᾷ ἡ Ἀμύκη, καὶ ἐτάφη ἀπὸ σταδίων τῆς πόλεως ρʹ, δι' ἣν ἐκλήθη ἡ χώρα Ἀμύκη. προετρέψατο δὲ ὁ αὐτὸς Σέλευκος καὶ τοὺς Ἀργείους Ἰωνίτας, καὶ κατήγαγε καὶ αὐτοὺς ἐκ τῆς Ἰωπόλεως ἐν τῇ αὐτῇ Ἀντιοχείᾳ οἰκεῖν· οὕστινας ἱερατικοὺς καὶ εὐγενεῖς πολιτευομένους ἐποίησεν. ἔστησε δὲ ὁ αὐτὸς Σέλευκος καὶ πρὸ τῆς πόλεως ἄγαλμα λίθινον τῷ ἀετῷ. ἐκέλευσε δὲ ὁ αὐτὸς καὶ τοὺς μῆνας τῆς Συρίας κατὰ Μακεδόνας ὀνομάζεσθαι, διότι εὗρεν ἐν τῇ αὐτῇ χώρᾳ γίγαντας οἰκήσαντας· ἀπὸ γὰρ δύο μιλίων τῆς πόλεως Ἀντιοχείας ἐστὶ τόπος, ἔχων σώματα ἀνθρώπων ἀπολιθωθέντων κατὰ ἀγανάκτησιν θεοῦ, οὕστινας ἕως τῆς νῦν καλοῦσι γίγαντας· ὡσαύτως δὲ καὶ Πάγραν τινα οὕτω καλούμενον γίγαντα ἐν τῇ αὐτῇ οἰκοῦντα γῇ κεραυνωθῆναι ὑπὸ πυρός, ὡς δῆλον ὅτι οἱ Ἀντιοχεῖς τῆς

---

*) De hoc numero dubitat Müllerus Comment. Antioch. p. 28.

Συρίας ἐν τῇ γῇ οἰκοῦσι τῶν γιγάντων. ἐποίησε δὲ ὁ αὐτὸς Σέλευκος πρὸ τῆς πόλεως πέραν τοῦ ποταμοῦ ἄλλο ἄγαλμα κεφαλῆς ἵππου καὶ κασσίδα κεχρυσωμένην πλησίον, ἐπιγράψας ἐν αὐτοῖς, Ἐφ' οὗ φυγὼν ὁ Σέλευκος τὸν Ἀντίγονον διεσώθη· καὶ ὑποστρέψας ἐκεῖθεν ἀνεῖλεν αὐτόν. ἀνήγειρε δὲ ὁ αὐτὸς Σέλευκος καὶ τῷ Ἀμφίονι στήλην μαρμαρίνην ἔσω τῆς λεγομένης Ῥωμανησίας πόρτας, ὀρνεοθυσίαν ποιοῦντα ἅμα αὐτῷ. ἔκτισε δὲ ὁ αὐτὸς Σέλευκος ὁ Νικάτωρ καὶ ἄλλην παραλίαν πόλιν ἐν τῇ Συρίᾳ ὀνόματι Λαοδίκειαν εἰς ὄνομα τῆς αὐτοῦ θυγατρός, πρῴην οὖσαν κώμην ὀνόματι Μαζαβδάν, ποιήσας κατὰ τὸ ἔθος θυσίαν τῷ Διί, καὶ αἰτησάμενος ποῦ κτίσει τὴν πόλιν, ἦλθεν ἀετὸς πάλιν καὶ ἥρπασεν ἀπὸ τῆς θυσίας· καὶ ἐν τῷ καταδιώκειν αὐτὸν τὸν ἀετὸν ὑπήντησεν αὐτῷ σύαγρος μέγας, ἐξελθὼν ἀπὸ καλαμῶνος, ὅντινα ἀνεῖλεν ᾧτινι κατεῖχε δόρατι· καὶ φονεύσας τὸν σύαγρον καὶ σύρας τὸ λείψανον αὐτοῦ, ἐκ τοῦ αἵματος αὐτοῦ διεχάραξε τὰ τείχη ἐάσας τὸν ἀετόν· καὶ οὕτως τὴν αὐτὴν πόλιν ἔκτισεν ἐπάνω τοῦ αἵματος τοῦ συάγρου, θυσιάσας κόρην ἀδαῆ ὀνόματι Ἀγαύην, ποιήσας αὐτῇ στήλην χαλκῆν εἰς Τύχην τῆς αὐτῆς πόλεως. ἔκτισε δὲ ὁ αὐτὸς Σέλευκος ὁ Νικάτωρ καὶ ἄλλην πόλιν εἰς τὴν Συρίαν μεγάλην εἰς ὄνομα τῆς αὐτοῦ θυγατρὸς Ἀπάμας, εὑρηκὼς κώμην πρῴην λεγομένην Φαρνάκην· καὶ τειχίσας αὐτὴν ὁ αὐτὸς Σέλευκος ἐπωνόμασε πόλιν, καλέσας αὐτὴν Ἀπάμειαν, θυσίαν ποιήσας· ἣν αὐτὸς μετεκάλεσεν ὀνόματι Πέλλαν διὰ τὸ ἔχειν τὴν Τύχην τῆς αὐτῆς Ἀπαμείας πόλεως τὸ ὄνομα τοῦτο· ἦν γὰρ ὁ αὐτὸς Σέλευκος ἀπὸ Πέλλης τῆς πόλεως Μακεδονίας. ἐποίησε δὲ θυσίαν ταῦρον καὶ τράγον·

καὶ ἐλθὼν πάλιν ὁ ἀετὸς ἐπῆρε τὰς κεφαλὰς τοῦ ταύρου καὶ τοῦ τράγου, καὶ περιεχάραξεν ἐκ τοῦ αἵματος τὰ τείχη. ἔκτισε δὲ καὶ ἄλλας διαφόρους πόλεις εἰς ἄλλας ἐπαρχίας καὶ εἰς τὰ Περσικὰ μέρη ὁ αὐτὸς Σέλευκος πολλάς, ὧν ἀριθμός ἐστιν οε΄, καθὼς ὁ σοφὸς Παυσανίας ὁ χρονογράφος συνεγράψατο, ὥντινων πόλεων καὶ τὰ ὀνόματα ἐξέθετο, εἰς ὄνομα ἴδιον καὶ τῶν αὐτοῦ τέκνων, ὡς ἔδοξεν αὐτῷ. ὁ δὲ σοφὸς Παυσανίας ἐξέθετο ὅτι εἰς ὄνομα τοῦ ἑαυτοῦ πατρὸς ἔθηκε τὸ ὄνομα τῆς μεγάλης Ἀντιοχείας ὁ αὐτὸς Σέλευκος, ἐπειδὴ καὶ ὁ αὐτοῦ πατὴρ Ἀντίοχος ἐλέγετο. οὐδεὶς δὲ κτίζων πόλιν εἰς ὄνομα τεθνηκότος αὐτὴν καλεῖ· ἔστι γὰρ λῆρον· ἀλλ' εἰς ὄνομα ζῶντος καὶ ἑστῶτος καλεῖ. ἥντινα πόλιν εἰς ὄνομα Ἀντιόχου τοῦ ἰδίου αὐτοῦ υἱοῦ, ὡς προείρηται, ἐκάλεσε. πολλὰ δὲ καὶ ἄλλα ὁ αὐτὸς σοφώτατος Παυσανίας ποιητικῶς συνεγράψατο. [Ioannes Malalas p. 201, 12—204, 8.]

Eundem locum respicit Io. Tzetzes Histor. 7, 118, v. 168:

Ὡς Παυσανίας γράφει μὲν Ἀντιοχείας κτίσει,
κτίζεται Ἀντιόχεια Νικάτορι Σελεύκῳ,
κατά τινας εἰς ὄνομα πατρὸς σφοῦ Ἀντιόχου,
Λουκιανῷ δ' εἰς ὄνομα υἱέος Ἀντιόχου.

Ad quae ipse in scholiis Crameri Anecd. Ox. vol. 3, p. 369, 20: *Τὸ κατά τινας ἐγὼ Τζέτζης φημί, οὐχ ὁ Παυσανίας.* Qui rectius etiam *Ἀντιοχείας κτίσει*, ut in fragm. 1, dicere videtur quam *περὶ Ἀντιοχείας*, utrumque iungens fr. 5.

Etiam sequentia continuo apud Malalam p. 204, 9: 5
Ὁ δὲ αὐτὸς Σέλευκος καὶ εἰς τὴν Ἡρακλεῖδα τήν ποτε πόλιν, νυνὶ δὲ λεγομένην Δάφνην, ἐφύτευσε

τὰς κυπαρίσσους πλησίον τοῦ ἱεροῦ τοῦ Ἀπόλλωνος μετὰ τὰς φυτευθείσας κυπαρίσσους ὑπὸ τοῦ Ἡρακλέους τοῦ τελεστοῦ τοῦ κτίσαντος τὴν Δάφνην εἰς ὄνομα ἑαυτοῦ καὶ καλέσαντος αὐτὴν Ἡρακλεῖδα πόλιν, et fortasse plura de proximis, a Pausania esse petita ostendit Tzetzes schol. in Exegesin Iliadis p. 138, 15 sive p. 833 ed. Bachm.: *Τὸ κατὰ Δάφνην διήγημα πᾶσι γνωστόν ἐστι. Παυσανίας δὲ ὁ ἱστορικὸς ἐν τῷ περὶ Ἀντιοχείας κτίσεως γράφει πλατύτερον. Κυπάρισσος ὡραῖος ἦν νεανίσκος Αἰγύπτιος· οὗ πεσόντος καὶ ἀποπνιγέντος ἐν φρέατι, οἱ καθ' αἷμα τοῦ νέου τὴν κυπάρισσον, μήπω καλουμένην κυπάρισσον, εἰς ὄνομα τοῦ νεανίσκου κατωνομάκασιν, ὥσπερ καὶ τὰ λοιπὰ τῶν δένδρων εἰς ἐπωνυμίας ἑτέρων.*

6 *Ἐπὶ δὲ τῆς βασιλείας τοῦ αὐτοῦ Κλαυδίου οἱ αὐτοὶ Ἀντιοχεῖς κτήτορες καὶ πολῖται ἀναφορὰν ἔπεμψαν, δεόμενοι ὥστε παρασχεθῆναι αὐτοῖς ἀπὸ θείας αὐτοῦ κελεύσεως ἀγορασθῆναι τὰ Ὀλύμπια ἀπὸ τῶν Πισαίων τῆς Ἑλλάδος χώρας ἀπὸ τῶν ἐτησίων προσόδων τῶν ἐαθέντων χρημάτων παρὰ Σωσιβίου τινὸς συγκλητικοῦ, συμπολίτου αὐτῶν. καὶ παρέσχεν αὐτοῖς ἀγοράσαι τὰ Ὀλύμπια ὁ αὐτὸς Κλαύδιος βασιλεύς, ἔτους χρηματίζοντος κατὰ τοὺς Ἀντιοχεῖς Σύρους ϟβ'. τοῦτο δὲ ἐποίησαν οἱ αὐτοὶ Ἀντιοχεῖς λυπηθέντες πρὸς τοὺς πολιτευομένους τῆς αὐτῆς πόλεως διὰ τὰς προσόδους τὰς προειρημένας, παρὰ Σωσιβίου ἐαθείσας τῇ πόλει αὐτῶν· περὶ οὗ Σωσιβίου ὁ σοφὸς χρονογράφος Παυσανίας ἐξέθετο ὅτι εἴασε τελευτῶν κατὰ διαθήκας τῇ τῶν Ἀντιοχέων μεγάλῃ πόλει Σωσίβιός τις ἐτησίαν πρόσοδον χρυσίου τάλαντα δεκαπέντε· ἅτινα ἐν τοῖς ἀνωτέρω χρόνοις τοῦ Αὐγούστου Ὀκταβιανοῦ προγέγραπται.*

τὰ δὲ τῆς προσόδου εἰάθη εἰς τὸ ἐπιτελεῖσθαι τοῖς αὐτοῖς συμπολίταις κατὰ πενταετῆ χρόνον πολύτροπον θέαν ἐπὶ ἡμέρας λ' μηνὶ ὑπερβερεταίῳ τῷ καὶ ὀκτωβρίῳ σκηνικῶν, θυμελικῶν καὶ τραγικῶν καὶ ἀθλητῶν ἀγῶνα καὶ ἱππικῶν καὶ μονομάχων. καὶ τὰς μὲν ἀρχὰς ἐπετέλεσαν οἱ αὐτοὶ πολιτευόμενοι, μετὰ δὲ ταῦτα ὑπερετίθεντο τὰς προσόδους ἀποκερδαίνοντες, ἀπὸ θείας κελεύσεως οἱ αὐτοὶ πολιτευόμενοι Ἀντιοχείας μετὰ καὶ τῶν κτητόρων ἠγόρασαν τὰ Ὀλύμπια ἀπὸ τῶν Πισαίων. καὶ ᾔτησαν οἱ αὐτοὶ βουλευταὶ τοὺς τῆς πόλεως πάντας, ὡς ἂν ἕτοιμοι ὄντες ἐνδοῦναι αὐτοῖς ἐν τῷ τέως τὴν τῶν Ὀλυμπίων ἑορτὴν ἐπιτελεῖσθαι αὐτοῖς. καὶ πεισθέντων τῶν κτητόρων καὶ τοῦ δήμου παντὸς καὶ τῶν ἱερέων, ἐνεδόθη αὐτοῖς· καὶ ἐπετέλεσαν οἱ αὐτοὶ πολιτευόμενοι κατὰ τὸ πρῴην ἔθος πάλιν τὸν τῶν σκηνικῶν καὶ ἀθλητῶν, θυμελικῶν καὶ τραγικῶν καὶ ἱππικῶν ἀγῶνα, καὶ λοιπὸν τὰς λ' ἡμέρας ἀπὸ τῆς νεομηνίας τοῦ ὑπερβερεταίου μηνὸς κατὰ πέντε ἔτη ἕως τοῦ καιροῦ τοῦ πενταετοῦς φθάσαντος. καὶ πάλιν εὑρίσκοντες ἀφορμὴν εὔλογον οἱ αὐτοὶ πολιτευόμενοι, διαφόρων πολέμων κινηθέντων ἐν τῇ ἀνατολῇ, οὐ μὴν ἀλλὰ καὶ τῆς αὐτῆς πόλεως Ἀντιοχείας ληφθείσης ὑπὸ ἐναντίων, ὡσαύτως δὲ καὶ θεομηνίας γενομένης καὶ διαφόρων σεισμῶν καὶ ἐμπρησμῶν, ἀνεβάλοντο καὶ τὴν κατὰ πενταετῆ χρόνον πάλιν ἐπιτελεῖν αὐτοῖς πολύτροπον ἀγῶνος θέαν, ἀλλ' ἐπετέλεσαν ἄλλας διαφόρους περιόδους ἐξ τὴν αὐτὴν προειρημένην πανήγυριν δι' ἐνιαυτῶν ιε' ἢ καὶ κ', ὡς ἐὰν αὐτοῖς ἔδοξε μετὰ τὸ τὴν πόλιν τῶν Ἀντιοχέων τῶν κακῶν ἀπαλλαγῆναι καὶ ἐν εἰρήνῃ διάγειν. [Ioannes Malalas p. 248, 5—249, 22.]

7 *Βότρυς, πόλις Φοινίκης. ὁ πολίτης Βοτρυηνός, ὡς Παυσανίας, παραλόγως.* [Stephanus Byz. Itaque fortasse ex Pausania petita quae hac de urbe Malalas p. 485, 12.]

8 *Γάββα, πόλις Συρίας. τὸ ἐθνικὸν Γαββηνός, ὡς Παυσανίας φησί.* [Stephanus Byz. *Γάβαλα* urbem dici Malalae p. 378, 14; 448, 12, coniicit Müllerus estque credibile sua hic quoque Pausaniae debere Malalam.]

9 *Γάζα, πόλις Φοινίκης ... ὁ πολίτης Γαζαῖος. λέγονται καὶ Γαζηνοὶ παραλόγως, ὡς Παυσανίας.* [Stephanus Byz.]

10 *Λάεια, πόλις Καρίας ... ὁ πολίτης Λαΐτης, ὡς Παυσανίας φησὶ πέμπτῳ.* [Stephanus Byz.]

11 *Μαριαμμία, πόλις Φοινίκων. οἱ πολῖται Μαριαμμῖται, ὡς Παυσανίας ἐν κτη* (*κτίσει* Mein.) *αὐτῆς.* [Id.]

12 Incertum quo ex libro petita sint quae habet Malalas p. 197, 9: *Ἐβασίλευσαν οὖν οἱ ιγʹ Πτολεμαῖοι οἱ Μακεδόνες τῆς Αἰγυπτιακῆς χώρας ἁπάσης ἀπὸ τοῦ Πτολεμαίου τοῦ Λάγου ἕως Κλεοπάτρας τῆς Διονύσου θυγατρὸς ἔτη τʹ ἕως τοῦ ιεʹ ἔτους τῆς βασιλείας Αὐγούστου Καίσαρος τοῦ καὶ Ὀκταβιανοῦ Σεβαστοῦ Ἰμπεράτορος τοῦ νικήσαντος τὸν Ἀντώνιον καὶ τὴν αὐτὴν Κλεοπάτραν ἐν τῇ ἐπὶ χώρᾳ ναυμαχίᾳ εἰς τὸν Λευκάτην τόπον καὶ φονεύσαντος αὐτοὺς καὶ ὑποτάξαντος τὴν Αἴγυπτον πᾶσαν, καθὼς Εὐσέβιος ὁ Παμφίλου καὶ Παυσανίας οἱ χρονογράφοι συνεγράψαντο.*

Hunc autem Pausaniam Schubartus cur non diversum a Periegeta et nihil tribuendum putet Constantiniano ὁ *Δαμασκηνὸς* ipse dixit loco p. 154 citato p. VII.

DEXIPPI FRAGMENTA.

ΤΑ ΜΕΤΑ ΑΛΕΞΑΝΔΡΟΝ.

Ἄρχεται δὲ [Δέξιππος] ἐν τοῖς μετὰ Ἀλέξαν- 1
δρον ἀπ' αὐτῆς τῆς τοῦ βασιλέως τελευτῆς, καὶ διέξεισιν ὅπως εἰς τὸν ἀδελφὸν Ἀλεξάνδρου τὸν Ἀριδαῖον, ὃς ἦν ἐκ Φιλίννης τῆς Λαρισαίας τῷ Φιλίππῳ γεγενημένος, ἡ τῶν Μακεδόνων ἀρχὴ περιέστη, εἰς αὐτόν τε καὶ εἰς τὸν μέλλοντα Ἀλεξάνδρου παῖδα τίκτεσθαι ἐκ Ῥωξάνης, ἐν γαστρὶ γὰρ ἔχουσα κατελέλειπτο, καὶ εἰς τοὺς ἀμφὶ Περδίκκαν, οἳ κρίσει τῶν Μακεδόνων ἐπετρόπευον αὐτοῖς τὴν ἀρχήν. διέξεισι καὶ ὅπως ἡ τοῦ Ἀλεξάνδρου διενεμήθη ἀρχή. τὰ μὲν οὖν τῆς Ἀσίας οὕτω· Πτολεμαῖος ὁ Λάγου Αἰγύπτου πάσης καὶ Λιβύης καὶ τῆς ἐπέκεινα γῆς, ὁπόση Αἰγύπτῳ συνάπτει, ἄρχειν ἐτάχθη· ὁ δὲ τῷ βασιλεῖ Ἀλεξάνδρῳ ἐπὶ τῇ σατραπείᾳ ταύτῃ τεταγμένος Κλεομένης ὕπαρχος Πτολεμαίῳ ἀποκατέστη. Λαομέδων δὲ ὁ Μυτιληναῖος Σύρων ἡγεῖσθαι ἀπεφάνθη, καὶ Φιλώτας μὲν Κιλικίας, Πίθων δὲ Μηδίας, Εὐμένης δὲ Καππαδοκίας τε καὶ Παφλαγονίας καὶ τῶν ἐπὶ τὸν Εὔξεινον πόντον κατιόντων μέχρι καὶ Τραπεζοῦντος, Ἀντίγονος δὲ Παμφύλων καὶ Κιλίκων μέχρι Φρυγίας, Καρῶν δὲ Ἄσανδρος, Μέ-

νανδρος δὲ Λυδῶν, Λεώνατος δὲ τῆς ἐφ' Ἑλλησπόντῳ Φρυγίας. καὶ τῶν μὲν Ἀσιανῶν οὕτω, τῶν δ' Εὐρωπαίων Θρᾴκης μὲν καὶ Χερρονήσου Λυσίμαχος, Ἀντίπατρος δὲ ἐπὶ πᾶσι Μακεδόσι καὶ Ἕλλησι καὶ Ἰλλυριοῖς καὶ Τριβαλλοῖς καὶ Ἀγριᾶσι καὶ ὅσα τῆς Ἠπείρου ἐξέτι Ἀλεξάνδρου στρατηγὸς αὐτοκράτωρ ἐτέτακτο. τὴν δὲ κηδεμονίαν καὶ ὅση προστασία τῆς βασιλείας Κράτερος ἐπετράπη, ὃ δὴ πρώτιστον τιμῆς τέλος παρὰ Μακεδόσι· Περδίκκας δὲ τὴν Ἡφαιστίωνος χιλιαρχίαν. ἦσαν δὲ ἄρχοντες Ἰνδῶν μὲν ἁπάντων Πῶρος καὶ Ταξίλης· ἀλλ' ὁ μὲν Πῶρος οἳ ἐν μέσῳ Ἰνδοῦ ποταμοῦ καὶ Ὑδάσπου νέμονται, Ταξίλης δὲ τῶν λοιπῶν. Πίθων δέ τις τῶν τούτοις ὁμόρων ἡγεῖτο πλὴν Παροπαμισαδῶν. οἱ δὲ συνάπτοντες Ἰνδοῖς, ὅσοι ὑπὸ τοῖς Καυκασίοις ὄρεσι νέμονται, Ὀξυάρτῃ τῷ Βακτρίῳ, ὃς ἦν Ῥωξάνης πατήρ, εἰς ἀρχὴν ἀπενεμήθησαν· ἧς ἐτέχθη παῖς μετὰ τὸν τοῦ πατρὸς Ἀλεξάνδρου θάνατον, ᾧ τὸ Μακεδόνων πλῆθος τοῦ πατρὸς τὴν προσηγορίαν Ἀλέξανδρον ἔθεντο. Ἀραχωσίων δὲ καὶ Γαδρωσίων ἐπῆρχε Σιβύρτιος καὶ Στασάνωρ ὁ Σόλιος Ἀρείων καὶ Δραγγῶν ἡγεῖτο. Φιλίππου δὲ ἦν ἀρχὴ Σογδιανοὶ καὶ Ῥαδαφέρνους (l. Φραταφέρνους) Ὑρκανίαι καὶ Νεοπτολέμου (l. Τληπολέμου) Καρμανία. Πέρσαι δὲ ὑπὸ Πευκέστῃ ἐτάχθησαν. τὴν δὲ Σογδιανῶν βασιλείαν Ὀρώπιος (?) εἶχεν, οὐ πάτριον ἔχων ἀρχήν, ἀλλὰ δόντος αὐτοῦ Ἀλεξάνδρου· ἐπεὶ δὲ τύχη τις αὐτῷ συνέπεσεν ἐπαναστάσεως αἰτίαν φεύγοντι παραλυθῆναι τῆς ἀρχῆς, τότε ἐκεῖνος αὐτῶν τὴν ἀρχὴν εἶχε. Βαβυλωνίων δὲ καὶ τῆς μέσης τῶν ποταμῶν Τίγρητος καὶ Εὐφράτου, τῶν μὲν Σέλευκος, τῆς δὲ Μεσοποταμίας Ἀρχέλαος ἦρχε. τοσόσδε

ἀριθμὸς ἐθνῶν τε καὶ ἔθνεσιν ἀρχόντων ἦν, ὅτε Περδίκκας μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν τὰς ἀρχὰς ἔνειμε. καὶ τὰ ἄλλα διέξεισιν ἐν πολλοῖς, ὡς κἀν τούτοις, Ἀρριανῷ κατὰ τὸ πλεῖστον σύμφωνα γράφων. [Photius Bibl. cod. 82.]

Περδίκκας, Πτολεμαῖος καὶ Σέλευκος] Οὗτοι οἱ τρεῖς διάδοχοι ἦσαν Ἀλεξάνδρου, καὶ ὁ μὲν Περδίκκας συνδιῴκει Ἀριδαίῳ τῷ βασιλεύοντι μετ᾽ Ἀλέξανδρον, ἀσθενεῖ ὄντι, τὴν βασιλείαν, ὁ δὲ Πτολεμαῖος ἦρχεν Αἰγύπτου, καὶ Σέλευκος τῶν περὶ Βαβυλῶνα τόπων, ὡς ἱστορεῖ Δέξιππος. [Schol. Luciani Galli c. 25.]

2 *** τὸ αὔχημα, ὃ κέκτηται, μὴ καταλύσασα, πρὸς δὲ τῷδε καὶ ἄρχειν ἑτέρων δικαιοῦσα, καὶ γιγνώσκουσα ὡς πολυπραγμοσύνῃ μὲν βεβαιοῦται ἀρχὴ πᾶσα, ἀπραγμοσύνῃ δὲ φθείρεται· ἕλοιτό τε ἂν οὐδαμῶς τις, ἀνδρὶ ἐοικὼς προτιμᾶσθαι ἑτέρων ἀξιοῦντι καὶ μεῖζον ἐς τὸ κοινὸν φρονεῖν, καταλύειν ἐς ἑαυτὸν τὴν κοινὴν εὔκλειαν καὶ μὴ τῷ συμβάντι ἐξισοῦσθαι μηδὲ τὸν μὲν ἀντίπαλον δόξαι ἐπιθεραπεύειν, παρορᾶν δὲ τό τε ὑμέτερον φρόνημα καὶ τὴν ἐκ τοῦ θείου ὑπουργίαν, ἣν χρὴ σπεύσαντας δι᾽ αὐτῶν νοήσασθαι· περιέσται γὰρ ὑμῖν τὸ τῆς τε δαιμονίας σπουδῆς μὴ ἀναξίους φανῆναι καὶ τά τε ἕτοιμα ἐς τὸ ὑπακούειν οἰκειώσασθαι καὶ τὰ ἔτι μέλλοντα σὺν ἐκπλήξει τοῦ ἀδήλου προσαγαγέσθαι. σωφροσύνῃ δὲ ἀνδρῶν τοῖς τε ἐκ τῆς τύχης προφαινομένοις εὖ χρήσασθαι καὶ ἅμα συνέσει ἐς τὰς πράξεις ἰόντας μὴ παριέναι τῶν καιρῶν τὸ ἐφεστηκὸς μηδὲ μεταστάντων ἐς μεταμέλειαν ἥκειν τοῦ παροφθέντος. ἀρετὴ δὲ ἡ μὲν πρωτίστη ἐν τῷ τὰ κράτιστα εὖ γνῶναι, δευτέρα δὲ ἡ ἐν ἔργοις. ἀμ-

φοῖν δὲ ὁ παρὼν καιρὸς δεῖται, καὶ τοῦ γε πράττειν ἑτοιμοτέρου, ὡς ἥ γε ἄνευ τοῦ προμηθοῦς σὺν τῷ ὀκνεῖν μέλλησις χρηστὸν μὲν οὐδὲν ἤνεγκε, τοὺς δὲ χρησαμένους πολλάκις ἐπ᾽ οὐδενὶ μετρίῳ ἔσφηλε. ταπειναὶ μέντοι φύσεις οὐκ εὐπαράκλητοι ἐς σπουδὴν τῶν ἀρίστων, διότι παραδειγμάτων τε καλῶν ἀμοιροῦσιν ἰδίων τε καὶ πατέρων τῶν ἑαυτῶν καὶ τῇ σφῶν ἀνανδρίᾳ ῥαθυμοτέραις κέχρηνται ταῖς ἐπιτηδεύσεσιν. οἷς δὲ ἡ ἀρετὴ διά τε αὐτῶν καὶ προπατόρων ἐκτήθη, φόβου αἰσχύνης μᾶλλον ἢ ὄκνου ἐς τοὺς κινδύνους ἡττῶνται, καὶ ἐθελοντὶ τὸν τῶν καλῶν πόνον ὑφίστανται.

Ὅτι φέρει αἰσχύνην ὁμοίως θράσει τε ἀλογίστῳ τῆς μὴ προσηκούσης εὐκλείας ὀρέγεσθαι καὶ διαδοχὴν ἔργων ἀρίστων ἀνανδρίᾳ ἐν ἑαυτῷ καταλῦσαι.

Ὅτι οὐ ταὐτὸν εὐβουλία καὶ ὄκνος· ὁ μὲν γὰρ σὺν τῷ περιδεεῖ διαμέλλει, ἡ δὲ τὰ κράτιστα ἑλομένη ὥρμησεν ἐς τὰ ἔργα.

Ὅτι τοῖς ἀνδρείᾳ χρωμένοις ἐς τὰ ἔργα τὸ θεῖον συνέπεται.

Ὅτι ἰσχυρότατον στάσις ταράξαι εὐεξίαν καὶ εὐταξίαν φθεῖραι πόλεώς τε καὶ στρατοπέδων. — ἔνθα δὴ καὶ ἄλλα τῶν ἀνελπίστων ἄνθρωποι κατεργάζονται· τόλμῃ γὰρ πρὸ δυνάμεως πιστεύσαντες ἐπὶ τοῖς πολέμοις — τῶν ἀεὶ μοχθούντων. — ἀνέγκλητοι δὲ σύμμαχοι, κἂν ἐλάττους ὦσιν, ἅμα προθυμίᾳ συμφορώτεροι ἢ πλήθει περιόντες, ὕποπτοι ὑπελείποντο.

Ὅτι τοὺς πραγμάτων μεγάλων προστασίαν ἐξ ἀρχῆς ἑλομένους οὐδὲ ἐθέλοντας ἔστι κινδύνων ἔξω

καὶ πολέμων εἶναι· νομίζοντες γὰρ οἱ ἐν τῷ παρόντι ἰσχύοντες τῶν ἀρετῇ διαφερόντων οὐκ ἀκινδύνους τὰς ἡσυχίας σὺν τῷ περιδεεῖ τοῦ μήποτε ὑπ' αὐτῶν ἀρχθῆναι καὶ μὴ κινουμένοις ἐπέρχονται, βεβαιοτάτην σφίσιν ἀσφάλειαν εἶναι νομίζοντες, εἰ κἂν ταῖς δοκούσαις ἀπραγμοσύναις τὰ ἰσχυρὰ προκαταλήψονται. ἄριστον δὴ τὸ μέλλον δέος ἔσω τοῦ παρόντος ἐν ἀσφαλεῖ θέσθαι, καὶ μὴ ἀναμείναντας προπαθεῖν κακῶς οὐκ ἀπὸ τοῦ ἴσου ἀμύνεσθαι· βέλτιον γὰρ τὸ μὴ συμβησόμενον προελπίσαντας φυλάξασθαι ἢ ἀπραγμοσύνης ἐλπίδι τὸ ἄνανδρον* αὐτὸν θεραπεύσαντας καὶ τὴν παροῦσαν ἀρχὴν ἀποθεμένους ἐν τοῖς δεινοῖς ἀσθενείᾳ ἐνδοῦναι. προφυλακὴ δὲ τοῦ μέλλοντος ἄδειαν κτᾶται.

Ὅτι ἐν τοῖς πολέμοις μάλιστα αἱ τῆς τύχης πλεονεξίαι ἄλλοτε ἐπ' ἄλλους ὁρμὴν ἔχουσι, κατὰ τὸ ἀεὶ συμβαῖνον περιήκουσαι. κάλλιόν τε ὑμῖν ὑπὲρ τοῦ ποιῆσαι μᾶλλον ἢ παθεῖν αἱρεῖσθαι τὸ ἀγώνισμα. καλοῖς δὲ ἔργοις ἀεὶ συνέπεται καλὸς ἔπαινος, ὥς τά γε ἐναντία φήμην ἀναξίαν ὑμῶν ἔχει τῆς εὐκλείας. (ταῦτα τοῦ Ὑπερίδου.) [Exc. de sentent. (cod. p. 81, 82, 101, 102) p. 319—323 ed. Mai., 29—32 Niebuhr.]

[Δέξιππος· 'τῶν δέ τινων τοῖς Ὑπερίδου λόγοις ἐπὶ μᾶλλον ἀχθέντων.' Suidas v. ἐπὶ μᾶλλον.]

Ὅτι οὐ χρὴ ταῖς ἡδίσταις ἀκροάσεσιν ἀγομένους συνεῖναι ταῖς δυσχερείαις ἐπὶ τῶν πράξεων, ἀλλ' ἕως περίεστί τις ἄδεια, βουλῇ ἀγαθῇ χρωμένους τὸ βέλτιστον αἱρεῖσθαι, μηδὲ σφαλέντας μεταμέλειαν ἔχειν τοῦ γνωσθέντος. ἀμαθία γὰρ οὐκ ἐπαινεῖται, διότι καὶ σφάλλεται, εὐβουλία τε ἄριστον, ἐπειδὴ ξύνεσίς ἐστι τοῦ μέλλοντος· τό τε γὰρ συμφέρον λογισμῷ ἐπέγνω καὶ τὸ ἐναντίον προμαθοῦσα ἐφυλά-

ξατο. αἱ δὲ ὀξεῖαι καὶ ἀπερίσκεπτοι ἐγχειρήσεις ταχείας καὶ τὰς μεταμελείας ἤνεγκαν. ἥ τε τῶν λόγων ἰσχύς, ἐλπίδων μὲν καὶ ἐπιθυμιῶν νικηθεῖσα, ἐς μὲν τὴν παραυτίκα πειθὼ εὖ συγκεῖσθαι ἔδοξεν, ἔργῳ δὲ οὐ συνήνεγκεν. ὀρέγεται δὲ εἰρήνη μὲν τοῦ εὖ γνῶναι, πόλεμος δὲ μάλιστα· κἂν τύχῃ μὲν τοῦ προσήκοντος, ἐλάχιστα ἢ οὐδὲν ἂν σφάλλοιτο, διαμαρτὼν δὲ πλείστῳ καὶ παντὶ χρῷτ' ἂν τῷ ἐναντίῳ. παραινῶ δὲ τοῖς...

Ἠλπίσαμεν ἀπαρκήσειν ἐπὶ μεγάλαις ... ἐσαῦθις φιλίας διδόντες.

Ὅτι ἐν τοῖς .. πολέμοις τὸ μὲν χρηστὸν ἑτέρων, τὸ δὲ δυσχερὲς ἴδιον τῶν διακινδυνευόντων γίγνεται. ἄμεινον δὴ .. ὑπερφρονήσαντας ἐκδέξασθαι .. πεῖραν. εἰ δέ τις θράσει ἀλογίστῳ ἰέναι πρὸς πόλεμον ἡγεῖται, ἐς τὴν Ἀλεξάνδρου συμφορὰν ... σκεψάσθω τὸ .. πεῖραν φοβερόν .. καὶ τὴν .. παρασκευάζει .. δοκεῖ καὶ ὁ ἐπι .. το διαφερόντως .. κινδύνους εὔτολμος .. τι προμηθὲς μαλακίαν ἡγοῦντο ... τὸ δὲ .. ὄντος καὶ ἡ δόξα .. πρὸς μὴ βουλόμενον ἐκ .. καὶ τὸν τοῦ ἐπικινδυν .. καὶ ἐκ τοῦ δὲ .. διότι οὗτος .. ῥώμῃ καὶ παρασκευῇ ὑπὲρ τῆς αὐτῶν ἐλευθερώσεως μείζονα ἀνθρωπίνης ἐλπίδος ἐννοήσαντες πρᾶξαι ἐπεχείρησαν. ἀρετῇ γὰρ καὶ παρασκευῇ τῆς Μακεδόνων δυνάμεως ἀναμφιλόγως πάντας ἀνθρώπους ὑπερβαλλούσης, οἱ δέ, καίπερ ἀρρωστίᾳ τῇ οἰκείᾳ οὐδὲ τῶν πολεμίων τοῖς προσοίκοις ἀξιόμαχοι νομιζόμενοι, προθυμίᾳ τῇ σφετέρᾳ καὶ πόθῳ τῆς παλαιᾶς εὐπραξίας ἐς τὸ ἀντιστῆναι Μακεδόσι κατὰ παρασκευὴν ὡρμήθησαν .. χρὴ δὲ .. μὲν προπαθόντας καὶ ὡς ἀπὸ τῆς ὁμοίου ἀ .. τοῖς .. νήσας καὶ δωρεὰς ἐοικυίας ἀντιδιδόναι καὶ ὑπο ..

αὖθις ζήλῳ τῶν προσγενομένων ἐφεδρεύειν ἐν τῷ εὖ ποιεῖν.

Ὅτι πιστοῦται εὔνοια συμμάχων, μάλιστα δὲ τοὺς προϋπάρξαντας χάριτος, ἧς κα.. τοὺς τὴν μετουσίαν ἥξειν.. τῶν ὁμοίων ἐπὶ τὰς εὐεργεσίας τρέπονται· χρεῶσται.. τοῖς ἐπαγγελθεῖσι παρ' ἡμῶν ἤδη τιθέμενοι.. μὴ συναινεῖν· καὶ πρεσβευομένοις παρὰ τοὺς βασιλεῖς σπουδῇ πάσῃ συν.. ἡμῶν καὶ τῶν.. ελλει.. τὰ δὲ πλήθη ὡς τῶν τοῦτον.. πρέσβεων βουλομένοις τὴν εὐθὺς ἡκίστους ὄντες.. ἐφ' ἑαυτὸν..

Ὅτι οἵ δει.. συγχωρήσεως οὐ δεῖται.. σφετερωθέντες εἰ δοξάζετε.. τὸ αὐτὸ πεῖραν.. ἑτοίμως.. σοὶ δὲ γνώριμον.. ὃς ἐπιτάττομεν.. ὡς αὐτῶν πραγμάτων συμφορ.. κάλλιστα.. καιροῦ τυχοῦσιν καὶ εἰ.. σὺν μὲν τῷ.. τούτου βλαβερᾶς.. ἐπ' ἀμφοτέροις καὶ σὺν τῷ δικαίῳ καὶ ἅμα συμφέροντι.. ἀσφάλειαν βεβαίως ὄντες· πολέμου δὲ παρασκευὴ φυλακὴ εἰρήνης βεβαιοτάτη· τὰ γὰρ.. μέχρι τούτου οὐκ ἂν.. δὲν πράξειν.

Ὅτι.. οἱ κρατήσαντες ἡττηθῆναι...

[Exc. de sentent. (cod. p. 82, 101, 102, 107) p. 322, 323 Mai., 32—34 Niebuhr.]

ΧΡΟΝΙΚΑ.

Δεξίππῳ τῷ Ἀθηναίῳ κατὰ τοὺς Ἀθήνησιν ἄρχοντας, ἀφ' οὗ παρὰ Ἀθηναίοις ἄρχοντες, ἱστορία συγγέγραπται, προσαριθμουμένων καὶ τῶν Ῥωμαϊκῶν ὑπάτων καὶ πρό γε αὐτῶν τῶν ὑπάτων τε καὶ ἀρχόντων ἀρξαμένης τῆς γραφῆς. τὸ δὲ ἓν κεφάλαιον τῆς ἱστορίας τὰ μὲν ἀνωτέρω καὶ ὅσα τὸ ποιητικὸν νέμεται γένος ἀφεῖναι καὶ ἐπιτρέψαι τῷ πιθανῷ καὶ μᾶλλον ἀναπείθοντι τὸν ἐντυγχάνοντα, τὰ δὲ προϊόντα καὶ ἐπὶ πλέον μαρτυρούμενα συνενεγκεῖν καὶ

κατακλεῖσαι πρὸς ἱστορικὴν ἀκρίβειαν καὶ κρίσιν ἀληθεστέραν. βιάζεται γοῦν καὶ συναριθμεῖται τὸν χρόνον ἔς τε τὰς ὀλυμπιάδας περιγράφων καὶ τοὺς ἐντὸς ἑκάστης ὀλυμπιάδος ἄρχοντας. πρόθυρα δὲ κάλλους ἀνάμεστα προθεὶς τῆς συγγραφῆς, καὶ προϊὼν τά τε ἔνδον ἐπιδείξας σεμνότερα, τὸ μὲν μυθῶδες καὶ λίαν ἀρχαῖον ἀφαιρεῖ καὶ ἀφίησιν ὥσπερ φάρμακον παλαιὸν καὶ ἀδόκιμον ἐς τοὺς συντεθεικότας· Αἰγυπτίους δὲ χρόνους ἀναλεγόμενος καὶ συνωθούμενος ἐπὶ τὰ πρῶτα καὶ παλαιότερα τῶν παρ' ἑκάστοις ἀρχῶν, τοὺς ἡγεμόνας καὶ πατέρας τῆς ἱστορίας ἐκτίθησιν, ἔνδηλος ὢν καὶ σχεδόν τι μαρτυρόμενος ὅτι τῶν ἀπιστουμένων ἕκαστον ἕτερος προλαβὼν εἴρηκεν. καὶ περιφέρει γε τὴν ἱστορίαν ἐκ πολλῶν καὶ παντοδαπῶν τῶν ταῦτα εἰρηκότων ὥσπερ ῥῶπόν τινα ποικίλον καὶ χρήσιμον ἐς ἓν μυροπώλιον τὴν ἰδίαν ἐξήγησιν κατακεκλειμένην καὶ συνηγμένην. πάντα δέ, ὅσα πρός τε τὸ κοινὸν ἁπάντων ἀνθρώπων ἀξιόλογα καὶ κατ' ἄνδρα δι' ἀρετὴν περιττοῦ τινος ὀνόματος τετυχηκότα, λάβρως ἐπιδραμὼν καὶ διαθέμενος τῷ λόγῳ, τελευτῶν ἐς Κλαύδιον καταλύει τὴν συγγραφὴν καὶ Κλαυδίου τῆς βασιλείας ἔτος τὸ πρῶτον, ἐς ὃ δὴ καὶ τῆς βασιλείας ἤρχετο καὶ ἐτελεύτα, ἐνιαυτὸν ἄρξας Ῥωμαίοις ἕνα· οἱ δὲ καὶ ἕτερον αὐτῷ χαρίζονται. εἶτα ὀλυμπιάδας καταλογίζεται τόσας καὶ τόσας καὶ ὑπάτους καὶ ἄρχοντας ἐπὶ ταύταις, τὴν χιλιάδα τῶν ἐτῶν ὑποβαλών, ὥσπερ ἀγωνιῶν, εἰ μὴ πολλῶν λίαν ἐτῶν ἀποδοίη λόγον τοῖς ἐντυγχάνουσιν.

Ἐγὼ δὲ ὁ τοῦτο τὸ ἔργον ἐς νοῦν βαλόμενος, ὑπ' αὐτοῦ Δεξίππου ταῦτα ἔχων ἐκδιδάσκεσθαι καὶ συλλαμβάνειν, ὅσος καὶ ἡλίκος ὁ κίνδυνος κατὰ τὸν ἐνιαυτὸν ἕκαστον ἱστορίαν γράφειν, καὶ πρὸς τοὺς

ἐντυγχάνοντας ὁμολογεῖν ὅτι ταῦτα οὐκ ἔστιν ἀληθῆ κατὰ τοὺς χρόνους, ἀλλὰ τῷ μὲν οὕτως, τῷ δὲ ἑτέρως ἔδοξε, καὶ περιφανῶς ἑαυτοῦ κατηγορεῖν, ὥσπερ ἐκεῖνος, ὅτι χρονικὴν ἱστορίαν γράφων πλανωμένην τινὰ καὶ μεστὴν τῶν ἀντιλεγόντων ὥσπερ ἀπρόεδρον ἐκκλησίαν ἐκτίθησι τὴν γραφήν, ὀξέως δὲ καὶ τῆς Βοιωτίας ἀκούων παροιμίας, ὅτι οὕτως αὐλεῖν οὐ πρέπει, κἀκεῖνα προσελογιζόμην, ὅτι τέλος ἱστορίας καὶ σκοπὸς ἄριστος τὰ πραχθέντα ὅτι μάλιστα δίχα τινὸς πάθους ἐς τὸ ἀληθὲς ἀναφέροντα γράφειν, οἱ δὲ ἀκριβεῖς λογισμοὶ τῶν χρόνων, ὥσπερ ἄκλητοι μάρτυρες αὐτομάτως ἐπεσιόντες, ἐς ταῦτα ὠφελοῦσιν οὐδέν. (Pluribus in hanc sententiam disputatis mox iterum Dexippi mentio fit in his:) κωλύει μὲν γὰρ ἴσως οὐδὲν καὶ περιττόν τι μαθεῖν, ἄλλως τε, ἅς φησιν αὐτὸς Δέξιππος, τῶν μὲν χρονικῶν ἢ πάντων ἢ τῶν πλείστων διαπεφωνημένων, τῶν δὲ ὑπερώρων καὶ φανερῶν πράξεων συμπεφωνημένων. [Eunapius p. 56—59 ed. Niebuhr.]

Ἡρακλειδῶν κάθοδος Ὕλλου τοῦ πρεσβυτέρου 3
παιδὸς Ἡρακλέους ἡγουμένου τῆς κατὰ Πελοποννησίων μάχης, ἥτις ἐπεκράτησεν ἱκανοῖς ἔτεσι μεταξὺ Πελοποννησίων καὶ τῶν Ἡρακλειδῶν. τότε Ῥόδος ἡ νῆσος οἰκίζεται παρὰ Λακεδαιμονίων, ὡς Δέξιππος ἱστορεῖ, μετοικησάντων ἐκ Πελοποννήσου διὰ τὴν τῶν Ἡρακλειδῶν ἐπίθεσιν. [Georgius Syncellus p. 177, D.]

Ἀλέξανδρος εἰκοστὸν ἄγων ἔτος κατὰ Δέξιπ- 4
πον, πᾶσαν ἄσκησιν ἠσκημένος σωματικήν, αὐτοῦ τε γνησιώτατος Ἀριστοτέλους γεγονὼς τοῦ δαιμονιῶντος φοιτητής, ἐπὶ τὴν πατρῴαν παρῆλθε βασιλείαν. [Idem p. 263, D, qui plura fortasse deinde ex eodem petiit.]

5 *Ἐν τούτοις τοῖς χρόνοις* (Claudii imperatoris) *ἐφάνη τὸ ὄρνεον ὁ φοῖνιξ, καθὼς ἱστοροῦσιν Αἰγύπτιοι, πρὸ πεντήκοντα δὲ ἐτῶν φανείς, ἅς καὶ Δέξιππος συμφωνεῖ.* [Idem p. 334, C.]

6 *Δέξιππος δὲ ἐν Χρονικῶν δεκάτῳ φησὶν οὕτως· ῾Καὶ Μακεδόνων τὴν πρότερον μὲν Ἐπίδαμνον, ἐσύστερον δὲ Δυρράχιον μετονομασθεῖσαν, πόλιν τῆς Μακεδονίας μεγάλην καὶ εὐδαίμονα, κατὰ κράτος αἱροῦσιν.* [Stephanus Byz. v. *Δυρράχιον.* Eadem ex Stephano Constantinus Porphyr. De them. 2, 9, p. 56, 20.]

7 *Σουκχαῖοι, ἔθνος Μαυρούσιον, ὡς Δέξιππος Χρονικῶν δεκάτῳ.* [Steph. Byz.]

8 *Ἔλουροι, Σκυθικὸν ἔθνος, περὶ ὧν Δέξιππος ἐν Χρονικῶν δωδεκάτῳ.* [Idem.]

9 Dexippus dixit uxorem eum (Alexandrum Severum) cuiusdam Martiani filiam duxisse, eundemque ab eo Caesarem nuncupatum: verum quum vellet insidiis occidere Alexandrum Martianus, detecta factione et ipsum interemptum et uxorem abiectam. Idem dicit fuisse patruum Antoninum Heliogabalum Alexandri, non uxoris sororis eiusdem filium. [Lampridius in Alexandro Severo c. 49.]

10 Appellato igitur Gordiano imperatore, iuvenes qui auctores huius facinoris erant, statuas Maximini deiecerunt, imagines perfregerunt, nomen publicitus eraserunt; ipsum etiam Gordianum Africanum appellarunt. Addunt quidam Africani cognomentum Gordiano idcirco inditum, non quod in Africa imperare coepisset, sed quod de Scipionum familia originem traheret. In plurimis autem libris invenio et hunc Gordianum et filium eius pariter imperatores appellatos et Antoninos cognominatos; alii vero Antonios. Post hoc Carthaginem ventum cum pompa regali et fascibus laureatis; filiusque legatus patris,

exemplo Scipionum, ut Dexippus Graecae historiae auctor ait, gladii potestate succinctus est. [Iulius Capitolinus in Gordianis c. 9.]

Cordus dicit uxorem eum (Gordianum iuniorem) 11
nunquam habere voluisse. Contra Dexippus putat eius filium esse Gordianum tertium, qui post hoc cum Balbino et Pupieno sive Maximo puerulus adeptus est imperium. [Idem ib. c. 19.]

Dexippus quidem asseverat ex filio Gordiani tertium Gordianum esse natum. [Idem ib. c. 23.]

Gordiani non, ut quidam imperiti scriptores loquuntur, duo, sed tres fuerunt, idque docente Arriano scriptore Graecae historiae, docente item Dexippo, Graeco auctore, potuerunt addiscere, qui, etiamsi breviter, ad fidem tamen omnia persequuti sunt. [Idem ib. c. 2.]

Quum igitur duo consulares et eminentes quidem 12
viri, Maximus et Balbinus (quorum Maximus a plerisque in historia reticetur, et loco eius Pupieni nomen infertur, quum et Dexippus et Arrianus Maximum et Balbinum dicant electos contra Maximinum post Gordianos, quorum alter bonitate, virtute alter ac severitate, clari habebantur) ingressi essent curiam etc. [Idem in Maximo et Balbino c. 1.]

Dexippus, Graecus scriptor, Maximum et Balbinum imperatores dicit factos contra Maximinum post Gordianos duos, et a Maximo victum Maximinum, non a Pupieno. [Idem ib. c. 15.]

Sane quod nullo in loco tacendum est, quum et Dexippus et Arrianus et multi alii Graeci scripserunt, Maximum et Balbinum imperatores contra Maximinum factos, Maximum autem cum exercitu missum, et apud Ravennam bellum parasse, Aquileiam autem nisi victo-

rem non vidisse: Latini scriptores non Maximum, sed Pupienum contra Maximinum apud Aquileiam pugnasse dixerunt, eundemque vicisse: qui error unde natus sit scire non possum, nisi forte idem est Pupienus qui et Maximus. (Est M. Clodius Pupienus Maximus.) [Idem ib. c. 7.]

13 Denique quum caput Maximini pilo circumferretur, et ex hoc ingens gaudium esset, prope par moeror erat, quod et filii caput pariter portaretur. Addit Dexippus tantum odium fuisse Maximini, ut interfectis Gordianis viginti viros senatus creaverit, quos opponeret Maximino: e quibus fuerunt Balbinus et Maximus, quos contra eum principes fecerunt. Idem addidit in conspectu Maximini iam deserti a militibus Anolinum praefectum praetorio ipsius et filium eius occisum. [Iulius Capitolinus in Maximino iun. c. 6.]

14 Sub his pugnatum a Carpis contra Moesos fuit, et Scythici belli principium et Histriae excidium eo tempore; ut autem Dexippus dicit, Histricae civitatis. Dexippus Balbinum satis laudat, et dicit forti animo militibus occurrisse atque interfectum; ut mortem non timeret: quem omnibus disciplinis instructum fuisse dicit. Maximum vero negat eiusmodi virum fuisse, qualem Graeci plerique dixerunt. Addit praeterea contra Maximum Aquileiensium tantum odium fuisse ut de crinibus mulierum suarum arcubus nervos facerent atque ita sagittas emitterent. Dexippus et Herodianus, qui horum principum historiam persequuti sunt, Maximum et Balbinum fuisse principes dicunt delectos a senatu contra Maximinum post interitum duorum Gordianorum in Africa, cum quibus etiam puer tertius Gordianus electus est. [Idem in Maximo et Balbino c. 16.]

Καὶ Δεξίππῳ δὲ πλεῖστα περὶ τούτων πεπόνηται, ἀπὸ Σκυθικῶν ἀρξαμένῳ καὶ λήξαντι ἐς τὴν Κλαυδίου τοῦ μετὰ Γαλλιηνὸν βασιλείαν· ᾧ συνανείληπται περὶ ὧν Κάρποι καὶ ἕτερα βάρβαρα ἔθνη κατὰ τὴν Ἑλλάδα καὶ Θρᾴκην καὶ Ἰωνίαν διαπολεμοῦντες ἔπραξαν. [Euagrius Histor. eccl. V, 24, p. 450, 34.]

Docet Dexippus Titum tribunum Maurorum, qui a 15
Maximino inter privatos relictus fuerat, timore violentae mortis, ut alii dicunt, invitum vero et a militibus coactum, ut plerique asserunt, imperasse, atque hunc intra paucos dies post vindicatam defectionem, quam consularis vir Magnus Maximino paraverat, a suis militibus interemptum. Imperasse autem mensibus sex. [Trebellius in Triginta tyrannis c. 32.]

Σκύθαι περαιωθέντες οἱ λεγόμενοι Γότθοι τὸν 16[a]
Ἴστρον ποταμὸν ἐπὶ Δεκίου πλεῖστοι τὴν Ῥωμαίων ἐπικράτειαν κατενέμοντο. οὗτοι τοὺς Μυσοὺς φεύγοντας εἰς Νικόπολιν περιέσχον· Δέκιος δὲ ἐπελθὼν αὐτοῖς, ὡς Δέξιππος ἱστορεῖ, καὶ τρισμυρίους κτείνας ἐλαττοῦται κατὰ τὴν μάχην, ὡς καὶ τὴν Φιλιππούπολιν ἀπολέσαι ληφθεῖσαν ὑπ᾽ αὐτῶν καὶ Θρᾷκας πολλοὺς ἀναιρεθῆναι. ἐπανιοῦσι δὲ Σκύθαις ἐπὶ τὰ σφέτερα ὁ αὐτὸς Δέκιος ἐπιθέμενος ἀναιρεῖται ἐν Ἀβρύτῳ, τῷ λεγομένῳ φόρῳ Θεμβρωνίῳ, σὺν τῷ παιδὶ διὰ νυκτὸς ὁ θεομάχος. οἵ τε Σκύθαι μετὰ πλείστων αἰχμαλώτων καὶ λαφύρων ἐπανέρχονται. καὶ τὰ στρατόπεδα βασιλέα πάλαι τινὰ γενόμενον ὕπατον Γάλλον ἀναγορεύουσιν ἅμα Βουλουσιανῷ τῷ Δεκίου παιδί· οἳ καὶ βασιλεύουσι κατὰ Δέξιππον μῆνας ὀκτωκαίδεκα πράξαντες οὐδὲν ἀξιόλογον· κατὰ δὲ ἄλλους τινὰς ἔτη τρία καὶ καθ᾽ ἑτέρους ἔτη δύο.

[Georgius Syncellus p. 376, A, sive e Chronicis Dexippi sive ex Scythica historia.]

16[b] *Μέχρι τούτου* (i. e. usque ad Praxidamantem (*Προσιδάμας* cod.) Alexandrinum, Olymp. 249 stadio victorem) *τὴν τῶν ὀλυμπιάδων ἀναγραφὴν εὕρομεν. καὶ ὁ μὲν Εὐσέβιος ταῦτα. ἄλλοι δὲ χρονογράφοι καὶ Δέξιππος ὁ Ἀθηναῖος καὶ τῶν ἐφεξῆς ὀλυμπιάδων τῶν τε ἐν αὐταῖς νικησάντων μέμνηται. ἀμέλει τὴν χρονικὴν ἱστορίαν ὁ Δέξιππος μέχρι τῆς διακοσιοστῆς ἑξηκοστῆς δευτέρας ὀλυμπιάδος* (269 p. C.) *συγγράψας Διονύσιον Ἀλεξανδρέα φησὶν ἐπὶ ταύτης νικῆσαι.* [Crameri Anecd. Paris. vol. 2, p. 153, 20.]

ΣΚΥΘΙΚΑ.

17[a] *** *τύχας ἀνδρῶν καὶ καταστάσεις πόλεων καὶ ἐθνῶν νεωτερίζουσαι ἐλάττους τε ὁμοίως καὶ μείζους καὶ διαφερόντως περὶ εἰρήνην καὶ πόλεμον συμβαίνουσιν ἄγοντος τοῦ χρόνου μηδεμίας, ἀλλὰ μετατρέποντος. ἄλλῃ ἄλλους πρός τε τὸ ἄμεινον· καὶ μὴν τὰ γιγνόμενα ἐν τοῖς ἀνθρωπείοις ἄριστοι γνῶναι οἱ μὴ χαλεποὶ δέξασθαι τὰς ἐξαλλαγὰς τῶν ὡρῶν καὶ χρόνων· μηδὲ ἐτῶν τούτους ὅσοι πολέμου τε καὶ στρατοπέδων ἐξηγοῦνται μνήμῃ τῶν προγενομένων ἔχειν ἐπὶ τὰ συμφορώτατα ἑκάστους καὶ τοῖς προσπίπτουσιν εἰκόνας τε εμβαλειν ἐκ τῆς τῶν ἱστορηθέντων νεωτέρων τε καὶ παλαιοτέρων.. πρὸς δὲ τοὺς κατα..*

κατ' ἀνθρώπους ἧς ἀπορῇ λύσις.. ἡ γὰρ ἰσχύοντας κατὰ τῶν τι.. τῷ συνενέχοντι ἐν.. η αποκνήμη.. ὡς ἁλίσκεσθαι δέον. [Exc. de sentent. (cod. p. 107, 108) p. 323 ed. Mai., 21 Niebuhr. Corruptissima haec ex praefatione operis petita esse videntur.]

['Εκ τῶν Δεξίππου. Πολιορκία Μαρκιανουπόλεως.] ..... Μαρκιανούπολιν· τὸ δὲ ὄνομα Τραιανοῦ τοῦ βασιλέως τὴν ἀδελφὴν ἐνδεδωκέναι τῇ πόλει λέγουσιν οἱ ἐγχώριοι. ταύτην δὴ οὖν τὴν πόλιν οἱ Σκύθαι ὡς δὴ κατὰ κράτος ἁλώσιμον εἶναι νομίσαντες, ἐπεῖχον μὲν τῆς εὐθὺ προσβολῆς, λίθους δὲ ὅτι πλείστους παρεφόρουν πρὸ τοῦ τειχίσματος, ὡς χύδην καὶ σωρηδὸν καταvενημένων ἀφθόνως ὑπάρχειν χρῆσθαι· ᾤοντο γὰρ φόνον τε πολὺν ἐπὶ τοῦ τείχους οὕτω συμβήσεσθαι καὶ τῶν πολεμίων ἐν τῷ φυλάττεσθαι μᾶλλον ἢ ἀντεπιχειρεῖν ὄντων ῥᾳστώνῃ τὴν πόλιν αἱρήσειν. τοῖς δὲ ἐν τῷ ἄστει πάλαι τε παρεσκεύαστο ὅσα ἐς πολιορκίαν ἐπιτήδεια καὶ Μάξιμος, ἀνὴρ γένος μὲν τῶν απορω μετακου (ἀπὸ Ῥωμετάκου i. e. Ῥοιμητάλκου, quod nomen regum Thraciorum habent Tacitus, Dio, C. I. n. 2009, 2; 2108 f. 4, et numi, C. Müllerus in Diar. Gotting. 1869, 1, p. 31, 32), φιλοσοφίᾳ δὲ ἄρα συζῶν, οὐ μόνον στρατηγοῦ, ἀλλὰ καὶ στρατιώτου ἀγαθοῦ ἔργα ἐν τῷ τότε ἕτοιμος ὢν ἐπιδείκνυσθαι, ἐπεθάρρυνέ τε ἑκάστους καὶ παρήνει, ὅτε δὴ ἐκ χειρὸς ἀκροβολίζοιντο οἱ πολέμιοι, τοῦ ἀμύνεσθαι ἀπεχομένους ὑπὸ ταῖς ἐπάλξεσιν ἱσταμένους ἔχειν σφῶν αὐτῶν φυλακὴν τάς τε ἀσπίδας προϊσχομένους καὶ ὅσα δύναται στέγειν καὶ ἀποκρούεσθαι τὰς τῶν ἐναντίων βολάς. ὡς δὲ ἱκανῶς ἔχειν ἐδόκει τοῖς βαρβάροις τῆς τῶν λίθων παρασκευῆς, ἀθρόοι περιχυθέντες ἐν κύκλῳ τὸ τεῖχος, οἱ μὲν ἀκόντια μεθίεσαν, οἱ δὲ λίθοις ἠκροβολίζοντο τοὺς ἐπὶ τῶν ἐπάλξεων, καὶ συνέχεια τῶν μεθιεμένων, ὡς χαλάζῃ τῇ πυκνοτάτῃ προσεοικέναι κατὰ τὸ ἐπάλληλον τῆς φορᾶς. οἱ δέ γε ἔσω τοῦ ἄστεως σφᾶς τε αὐτοὺς κατὰ τὸ δυνατὸν καὶ τὸ τεῖχος ἐφύλαττον· ἀπεί- 17[b]

χοντο δὲ τοῦ ἀμύνεσθαι ᾗπερ αὐτοῖς προσετέτακτο. ὡς δὲ ἐπ' οὐδενὶ ἔργῳ λαμπρῷ ἥ τε τῶν λίθων ἐκενώθη τοῖς βαρβάροις παρασκευὴ καὶ ὅσα ἐκ χειρὸς ἢ ἀπὸ τόξου ἀκόντια, ἥ τε ἐλπὶς αὐτοῖς τοῦ σὺν οὐδενὶ πόνῳ τὴν πόλιν αἱρήσειν ἀνάλωτο, ἀθυμίᾳ δὴ ἔσχοντο, καὶ τῶν στρατηγῶν ἀνακαλεσάντων ἀπήεσαν, οὐ πόρρω τῆς πόλεως τὴν στρατοπεδείαν ποιούμενοι· καὶ γὰρ ἦν τῆς ὥρας ἀμφὶ ἡλίου δυσμάς. διαλιπόντες δὲ ἡμέρας οὐ μάλα συχνὰς καὶ ἐπελθόντες αὖθις καὶ περιστάντες ἐν κύκλῳ τὸ τεῖχος ἠκροβολίζοντο· ὅτε δὴ Μάξιμος τοῖς ἐν τῷ ἄστει καιρὸν εἶναι τῆς ἐπιθέσεως ἐπηγγέλλετο· γίγνεται δὴ οὕτω· καὶ ἀναθαρρήσαντες διὰ τὴν ἐν τῇ προτέρᾳ τῶν βαρβάρων ἄπρακτον ἀναχώρησιν βοήν τε ἦραν καὶ λίθους καὶ ἀκόντια ὡς εἶχον μεθίεσαν· οἷα δὴ οὖν πυκνῶν ἀλλήλοις ἐφεστηκότων τῶν βαρβάρων καὶ διὰ τὸ ἀπροσδόκητον τοῦ ἀντιπάλου ἂν σφίσιν ἄνωθέν τι ἀπαντῆσαι οὐκ ἐς τὸ ἀκριβὲς πεφραγμένων, πρὸς δὲ καὶ ἀθρόαις ταῖς βολαῖς καὶ ταῦτα ἐκ μετεώρου βαλλομένων, καὶ διὰ τὸ πλῆθος τῶν ἐναντίων οὐδὲ ἐθέλοντας ἦν ἁμαρτεῖν τοὺς ἀπὸ τοῦ ἄστεως. βιαζόμενοι δὴ οὖν οἱ Σκύθαι καὶ μηδὲ ἀντιδρᾶν ἔχοντες τοὺς Μυσοὺς διά τε τὰς ἐπάλξεις καὶ τὴν ἐκ τῶν θυρεῶν παραφυλακήν, ἀπαγορεύοντες πρὸς τὰς πληγάς, καὶ ὡς οὐκ ἦν αὐτοῖς περαιτέρω καρτερεῖν, ἀνεχώρησαν ἄπρακτοι. [Exc. de stratagem. in codice montis Atho in Wescheri Poliorceticis p. 296—298.]

18 Ὅτι Δέκιος βασιλεὺς Ῥωμαίων . . εἶχε τὴν Θρᾴκιον δύναμιν . . ὀρρωδῶν μή τι αὐτῷ νεώτερον γένηται περὶ τῆς ἀρχῆς τὴν κατάστασιν . . ἐπιστολῆς . . ἐς αὐτοὺς ἐπεξιέναι τοῖς πολεμίοις . . βουλόμενον

τῆς δι' ἀνθρώπους οὐκ ἐμφαιν . . ους ἄγειν· μὴ περαιτέρω πράττοντες ἄνθρωποι ἀπο . . οὐκ εὐκαίρου προθυμίας τὴν πεῖραν λάβωσι . . πρὸς τὴν . . ἐπικουρίαν παραγίγνεσθαι. καὶ ὁ μὲν . . βασιλέως ἡμεροδρόμου φέρων τὴν . .

Πρίσκῳ, ὃς δὴ τῆς τῶν . . ων . . ἐπί τε εἰρήνης τὰ πολλὰ ἐχρημάτισε . . τὰ τοῦ πολέμου· τὸ δὲ . . ὃς δὲ τότε πόλεμος . . . ἐμήνυσαν. καὶ ἐπεὶ ἠθροίσθησαν . . ἐδήλου γὰρ ἡ γραφὴ τάδε.

"Ὅτι ποθοῦμεν . . ὦ ἄνδρες . . ἀσφαλὲς ὄψει τῶν ὁρώντων . . μενον. ἐπεὶ δὲ . . μὲν . . πορευόμενοι . . δὲ κατὰ πολλὰ σκεδασθέντες . . ἀναγκαῖον διδαχῇ· ἅμα τῇ. . . . πράττοντες ἂν ὑμεῖς . . . ἐμοί· εἴ γε . . διὰ τί . . εἴ τις ὑμῶν διαμέλλοιτο· ἐξαγγέλλεται γὰρ . . νεότητι οὐ κατὰ καιρὸν θαρροῦντας, καὶ τούτῳ ἔκπληξιν ἐς τοὺς ἐναντίους ἕξειν νομίζοντας, οἷα δὴ πολέμων ἀπειράτους, εὐτολμότερον αὐτοῖς μᾶλλον ἢ προμηθέστερον παρὰ τὴν ἀπουσίαν τῶν προαγωνισμάτων συνίεσθαι. καὶ ἔστι μὲν οὐ πάντῃ ὑπαίτιος ὑμῶν ἡ ἐπιχείρησις, διότι καὶ ὑπὲρ καλῶν ἔργων· συνευξαίμην δ' ἂν καὶ πείρᾳ δύνασθαι συμφορωτάτους γενέσθαι. ἐπέσκεμμαι δὲ ὡς ἐν τοῖς πολέμοις τὸ ἀνδρεῖον μετὰ μὲν ἐμπειρίας ἰσχυρόν, ἄνευ δὲ τούτου ἀσθενές· καὶ θρασύτης λογισμῶν ἄμοιρος ἤδη σὺν τῷ μὴ κατὰ καιρὸν εὐτόλμῳ ἔσφηλε. κράτιστοι δὲ οἱ συνέσει τὸ διάφορον τῶν ἐκβησομένων εἰδότες μᾶλλον ἢ θυμῷ ἐς τὰς μάχας καθιστάμενοι. παραινῶ δὴ μὴ ἐς τὸ ἕτοιμον τῆς γνώμης καὶ τοῦ πλήθους τὸ ἀβέβαιον ἰδόντας τοῦ κοινοῦ τῆς ἀσφαλείας ὑφέσθαι· ἀποκινδυνεύσεται γὰρ ὑμῖν ἡ σωτηρία οὕτως ἐς μηδὲν δέον, καὶ θράττεσθαι ἡ διάνοια ὑμῶν δόξει μᾶλλον ἢ ἐπιβούλως περὶ τῇ πάσῃ

πόλει τοῦ ἐκβησομένου ἔχουσα τὴν πεῖραν. ὑπαίτιος δὲ ὁμοίως ὅ τε ἀνανδρίᾳ τὸν ἐφεστηκότα ἀγῶνα ἐξιστάμενος καὶ ὁ θρασύτητι ἐς τοὺς μὴ προσήκοντας κινδύνους ἰών, ἐξὸν σὺν ἀσφαλείᾳ σώζεσθαι. λογισμῷ δὲ πιστεύων ἀνὴρ βεβαιότερος ἢ ἀμαθίας λήματι πρὸς τὰς ἀδήλους φορὰς τῶν πραγμάτων ἐξορμώμενος. αἵ τε ἐν τοῖς πολέμοις συντυχίαι ἢ κατὰ τὸ ἀναγκαῖον τὴν τόλμαν διδόασιν ἐξισοῦσαι πρὸς τοὺς κινδύνους, ἢ ἀδείας περιουσίᾳ τὴν μετὰ τοῦ ἀσφαλοῦς σύνεσιν παρέχονται, ὡς μὴ σὺν δέει τι μᾶλλον ἠπειγμένως ἢ προμηθείᾳ πρᾶξαι.

"Λογιζόμενοι δὲ τάδε μὴ ἴτε πρὸς ἄνδρας ἐς ἀγῶνα κατ' ἐρημίαν τῶν συλληψομένων ἐχυρᾷ δυνάμει ἐξιόντας καὶ πολλῇ μὲν ἵππῳ, πολλοῖς δὲ ὁπλίταις καὶ ψιλοῖς παρεσκευασμένους, ἔτι δὲ διὰ πεῖραν πολεμικὴν φοβεροὺς καὶ σωμάτων ὄψει δεινοὺς καὶ ὅπλων ἀνασείσει ἀπειλαῖς τε καὶ βοῆς μεγέθει ἱκανωτάτους προεκφοβῆσαι τοὺς πρῶτον ἐπ' αὐτοὺς ἰόντας. μὴ δὴ πρὸς τούσδε ἀποκινδυνεύσητε, ἐξὸν ἀπὸ τῶν τειχῶν σὺν ἀσφαλείᾳ ἀμύνεσθαι. καὶ γὰρ ἡ ἐλπὶς τοῖς πρῶτον ἐς μάχην ἰοῦσιν ἰσχυρόν τι ἔδοξεν εἶναι καὶ προσαγωγότατον ἐς κατόρθωσιν· ἀλλ' ἐν τοῖς περιφανεστάτοις ὤφθη *, ὅταν τῷ ἀληθεῖ μάχηται. εὔδηλον δὲ δήπου, οἶμαι, ὡς κἂν τοῖς ἐξ ἴσου ἀγῶσιν ἄνευ στρατηγοῦ κατὰ μόνας ἀποκινδυνεύειν σφαλερώτατον· τὸ δὲ ὑπὸ ἡγεμόνι τε τάττεσθαι καὶ ἐς κοινωνίαν ἥκειν ἑτέροις τοῦ κινδύνου ἔν τε ἐνθυμήσεσι κἂν τοῖς ἔργοις ἀσφαλέστατον, ῥᾳδίαν ἔχον τὴν παρὰ τοῦ πέλας ἐπανόρθωσιν. κρεῖττόν τε σὺν ἑτέρῳ κατορθοῦντας δόξης ἔλαττον ἔχειν ἢ δίχα τοῦ προμηθοῦς κατὰ μόνας ἐπιχειρήσαντας σφαλῆναι. καὶ ἀπόντος μὲν πολὺ ἀπὸ σφῶν τοῦ ἐπιβοηθήσον-

τος, οἷα δὴ μονωθέντας, δρᾶσαί τι σὺν εὐχερείᾳ σύγγνωμον· ἀνδρῶν δὲ οὐκ ἄπωθεν ὄντων ἄριστα πολέμῳ ὡμιληκότων καὶ πεῖραν παρασχομένων τοῦ νικᾶν, καὶ ταῦτα τὸ ἀδεὲς ἐς τοὺς κινδύνους ἐν τῷ διὰ μέσου ἐκ τῆς τῶν τειχῶν ὀχυρότητος ἔχοντας, πρᾶξαί τι παρὰ τὴν τοῦ ἄρχοντος καταίνεσιν, κἂν τῳ ἄμεινον ἐκβῇ, οὐκ ἀνεπίκλητον ἐφάνη διά τε τὸ δυσπειθὲς τὸ περὶ τὸν προστάξαντα καὶ ὅτι σὺν τῷ ἀμφιβόλῳ τοῦ κινδυνεύματος ἐπεχειρήθη.

"Εἰ δέ τις προαστείων τε καὶ ἐνδιαιτημάτων τέρψεως ἀποστερούμενος ἄχθεται, καὶ ὅσα πλούτου ἐγκαλλωπίσματα, γνώτω τὸ μὲν ἀλγεινὸν ὀλίγον τε καὶ ἐν ὀλίγῳ τὴν αἴσθησιν οἶσον, οἷα δὴ ἐν οἰκοδομαῖς κείμενον, καὶ ἡμῶν οὐ διὰ μακροῦ ἐπιστησομένων, ὡς κωλῦσαί τε τὸν παντελῆ τούτων ἀφανισμὸν καὶ ἀναλαβεῖν μὲν τὴν δαψίλειαν τῆς ἐς τοῦτο χορηγίας οὐκ ἀδυνατῶν, τὸ δὲ τῆς σφετέρας σωτηρίας ἐπικίνδυνον οὐκ ἰασόμενος. ὅθεν τῇ παραυτίκα ἀχθηδόνι τὸ εἰς ἅπαν ἀσφαλὲς ἀντιτιθεὶς οὕτω λογιζέσθω, διότι μηδὲ ἐς πάντας, ἀλλ' ὅσοι δυνατοὶ τὸ λυπηρὸν τὴν ἀναφορὰν ἔχει, παρ' οἷς πλούτῳ ἰσχύουσι καὶ ἄνευ τοῦ ἡμετέρου ταχεῖα τῶν ἀφαιρεθέντων ἡ διόρθωσις. παυστέον δὴ οὖν ὑμῖν τῆσδε τῆς ὁρμῆς, εἰ μήτε ἑαυτοῖς ἐπιβούλως καὶ ἐς τὸν ἄρχοντα ἐναντίως πράττετε, καὶ ἔσω τειχῶν μενετέον. ἡμᾶς δὲ οὔτε τῇ παρασκευῇ οὔτε ταῖς γνώμαις τῆς τῶν κοινῶν σωτηρίας ἀφεστηκότας ὀλίγων ἡμερῶν ἐπιστησομένους ἅμα τῇ δυνάμει ἐλπίζετε, καὶ ἔσω τειχῶν ὑμῶν μενόντων τὰ ἐς τὴν τοῦ ἔξωθεν ἀγῶνος κατόρθωσιν ἡμῖν μελήσει. προαποδέδεικται δὲ οὐ πόρρω τοῦ ἀληθοῦς εἶναι τὸ ἐπάγγελμα ἐκ τῶν πρὸς Νικοπόλει πραχθέντων, εἴ γε μὴ μεγαληγορεῖσθαι

δεήσει. χρὴ δὲ ἐν τοῖς μεγίστοις τῶν ἀγώνων τούτοις συμβούλοις τε ἅμα καὶ βοηθοῖς χρῆσθαι, οἳ ἂν ἐν τοῖς φθάνουσιν ἔργοις σαφῆ τοῦ συμφέροντος ἐπιδείξωνται τὴν δήλωσιν, ἐμπειρίαν ἔργων καὶ πρὸς .... [Exc. de sentent. (cod. p. 108, 91, 92) p. 324—328 ed. Mai., 22—26 Niebuhr.]

19 [*Ἐκ τῶν Δεξίππου. Πολιορκία Φιλίππου πόλεως.*]

..... τὴν Φιλίππου πόλιν· ἔστι δὲ ἡ πόλις αὕτη μεθόριος μὲν τῆς Θρᾳκῶν καὶ Μακεδόνων γῆς· κεῖται δὲ ἐπὶ τῷ Ἕβρῳ ποταμῷ· οἰκιστὴν δὲ αὐτῇ γενέσθαι λέγουσι Φίλιππον τὸν Ἀμύντου Μακεδόνων ἄρχοντα· ἀφ' οὗ δὴ καὶ τὸ ὄνομα τῇ πόλει ἐγένετο. ταύτῃ δὴ οἱ Σκύθαι ὡς ἀρχαιοτάτῃ καὶ μεγίστῃ προσέβαλλον ἐς πολιορκίαν. ἐπολεμεῖτο δὲ αὐτοῖς ὁ πόλεμος ὧδε. ὑπερφέροντες τῶν κεφαλῶν τὰς ἀσπίδας, ὡς τῶν μεθειμένων ἐν σκέπῃ εἶναι, κύκλῳ τῆς πόλεως περιῄεσαν, καταθεώμενοι ὅπῃ εὐαποτείχιστον ἢ καὶ ἐπιβατὸν ἐν τῇ προσαγωγῇ τῶν κλιμάκων ὑπάρχοι διὰ στενότητα ἢ καὶ χθαμαλότητα τῶν τειχῶν. καὶ τὸ μὲν πρῶτον ἐποιοῦντο προσβολὰς ἐν ἀκροβολισμοῖς καὶ τοξείαις· οἱ δὲ ἄνωθεν ἠμύνοντο καρτερῶς, ὅπῃ πελάζοιεν οἱ πολέμιοι. αὖθις δὲ αὐτῆς τῆς πόλεως ἐπείραζον, κλίμακας πηξάμενοι καὶ μηχανάς. τὰ δὲ μηχανήματα ἦν ξύλα πεπηγότα τετράγωνα, ἐπιτεχνήματα οἰκίσκοις ἐμφερῆ· καὶ αὐτῶν βύρσας ὑπερτείνοντες, ὡς παντὸς τοῦ μεθιεμένου ἀβλαβῶς ἔχειν, προσέπιπτον ταῖς πύλαις, σφῶν τε τὰς ἀσπίδας προβεβλημένοι καὶ μετακινοῦντες αὐτὰ τροχοῖς καὶ μοχλείαις. οἱ δέ τινες ξύλα προμήκη σιδήρῳ καταπεφραγμένα, ὡς μὴ ἀποθραύεσθαι ἐν τῇ προσβολῇ, μετεωρίζοντες, ἐπείρων ἐναράττειν τῷ τείχει· ἕτεροι δὲ κλίμακας προσήρειδον, τὰς μὲν ἐπ' εὐθὺ

πεπηγυίας, τὰς δὲ ὑποτρόχους, κινουμένας ἐπὶ θάτερα· ἃς δή, ὅτε προσάγοιντο, κάλοις ἀπ' ἄκρων τῶν κλιμάκων ἠρτημένοις ἀνέπτυσσον, ὡς ὀρθουμένας ἐπιβάλλειν τοῖς τείχεσιν. ἦσαν δὲ οἳ καὶ πύργους ξυλίνους τῷ τείχει ὑποτρόχους ἐπῆγον, ὡς, ὅτε πελάσοιεν, ἐπιβολῇ γεφυρῶν τὴν διάβασιν ἀπὸ τούτων ἐξ ἰσοπέδου ποιήσονται. καὶ ἥδε μὲν αὐτοῖς ἀφθονία μηχανημάτων. ἀντήρκουν δὲ πρὸς ἕκαστα καὶ οἱ Θρᾷκες, τὰ μέν τινα τῶν μηχανῶν λίθοις μεγάλοις ἁμαξιαίοις συναράττοντες αὐτοῖς ἀνδράσι, τὰ δὲ καὶ καταπιμπράντες δᾳσὶ καὶ θείῳ καὶ πίττῃ· τῶν δὲ κλιμάκων κατεκυλίνδουν δοκοὺς ἐγκαρσίας καὶ λίθους, ὡς ὑπὸ τῇ βιαίῳ φορᾷ τάς τε ἀσπίδας τῶν ἐπαγόντων καὶ τὰς κλίμακας ἐν τῇ ἐμβολῇ ἀποθραύεσθαι· ὡς δὲ οὐδὲν ἐπλεονέκτουν ταῖς μηχαναῖς οἱ πολέμιοι, ἀθυμίᾳ δὴ εἴχοντο, καὶ βουλὴν τιθεμένοις εἰ δεῖ πολεμεῖν ἐδόκει χώματα χοῦν μετέωρα πρὸς τὴν πόλιν, ὡς εἶναι σφίσιν ἀπ' ἴσου πρὸς τοὺς ἐναντίους μάχεσθαι. ἔχουν δὲ ὧδε· ξύλα ἐκ τῶν πέριξ οἰκοδομημάτων συνεφόρουν, καὶ προβαλλόμενοι πρὸ σφῶν τὰς ἀσπίδας ἐνέβαλλον αὐτὰ ἐς τὴν τάφρον καὶ εὐθὺ καὶ παρ' ἄλληλα, ὅπῃ συμβαίνοι. ποιήσαντες δὲ ταῦτα χοῦν καὶ ὕλην παντοίαν ἐπεφόρουν μεταξὺ τοῦ χείλους ἑκατέρου τῆς τάφρου. καὶ οὕτω ταχεῖαν εἰργάσαντο τοῦ χώματος τὴν αὔξησιν. ὁρῶντες δὲ τὸ πραττόμενον οἱ Θρᾷκες καὶ ὅτι πρὸς σφᾶς τὸ χῶμα ἀντετειχίζετο, ξύλα πηξάμενοι καὶ τούτοις σανίδας προσαρτήσαντες πρόβλημα μετέωρον ἐπὶ τῷ τειχίσματι ἤγειρον. καὶ ἐπὶ τῷδε ἐμηχανῶντο τοιόνδε· καθῆκαν ἀπὸ τοῦ τείχους νύκτωρ ἀπὸ κάλων ὑπ' αὐτό που τὸ ἡσυχάζον ἄνδρα εὔτολμόν τε καὶ γενναῖον, δόντες αὐτῷ φέρειν ἐπὶ τὸ χῶμα δᾷδα ἡμμέ-

νην καὶ σκεῦος, ἵνα πίττα τε ἦν καὶ θεῖον καὶ τὰ τοιαῦτα. ἐμβάλλει δὴ οὖν τὸ πῦρ τοῖς ἀνέχουσι τὸ χῶμα ξύλοις, καὶ ἀθρόα γίγνεται καέντων τοῦ χώματος ἡ κατάπτωσις. ἐπεὶ δὲ καὶ ἐν τούτοις μεῖον εἶχον οἱ Σκύθαι, ἐδόκει αὐτοῖς καὶ τὰ ἀχρεῖα τῶν ὑποζυγίων καὶ τῶν αἰχμαλώτων ὅσοι ἢ νόσῳ ἢ χρόνῳ διὰ γῆρας ἐκακοπάθουν [κτεῖναι]· κτείναντες [δ'] ἐνέβαλον ἐς τὴν τάφρον καὶ ὕλην παντοίαν ἐπεφόρουν. τὰ δὲ σώματα ἄρτι τριταῖα γενόμενα ὕψος οὐ μέτριον παρεῖχεν ἐξοιδοῦντα τῷ χώματι. οἱ δὲ Θρᾷκες μέρος τι τοῦ τείχους διακόψαντες ὅσον ἐς μέγεθος πυλίδος στενῆς, ἐσεφόρουν κατὰ τοῦτο παρὰ σφᾶς ὅσαι νύκτες τὸν χοῦν· ὡς δὲ πάντῃ ἄποροι τῇ γνώμῃ ἐγίγνοντο οἱ βάρβαροι, ἐδόκει ἀναχωρεῖν. καὶ τοῦτο τῇ πολιορκίᾳ τέλος τοῖς Σκύθαις ἐγένετο. [Exc. de stratagem. in codice montis Atho in Wescheri Poliorceticis p. 299 — 302.]

20 " . . καὶ καρτερίᾳ οἱ πόλεμοι μᾶλλον ἢ πλήθει κρίνονται. ἡμῖν τε δύναμις ἔστιν οὐ φαύλη· δισχίλιοι γὰρ οἱ σύμπαντες ἠθροίσθημεν, καὶ τὸ χωρίον ἐρυμνότατον, ὅθεν ὁρμωμένους χρὴ τοὺς πολεμίους κακοῦν σποράσι τε ἐπιτιθεμένους καὶ τὰς παρόδους αὐτῶν ἐνεδρεύοντας· ἐξ ὧν κρατοῦσι μὲν ἡμῖν τῷ τρόπῳ τούτῳ ῥώμη ἔσται, καὶ δέος οὐ μέτριον παρέξομεν τοῖς ἐναντίοις· συνισταμένων δὲ ἀντιστησόμεθα, πρόβλημα ὥσπερ ὅπλων οὐ φαῦλον τὸ ἐρυμνὸν τοῦ χωρίου καὶ τήνδε τὴν ὕλην ἔχοντες. οἵ τε ἐναντίοι ἐκ διαφόρων προσβάλλοντες οἷα οὐ πάντῃ καταφανέσι ταράξονται, οὐκ ἐν τῷ ἴσῳ τρόπῳ τοῖς πρόσθεν πολεμήσουσι, τάξιν τε αὐτῶν λύοντες καὶ οὐδ' ὅποι τὰ τοξεύματα καὶ ἀκόντια μεθιέναι χρὴ εἰδότες, καὶ τῶν τε ἐφιεμένων ἀτυχήσουσι καὶ ὑφ' ὑμῶν ἔτι

μᾶλλον κακώσονται. ἡμεῖς τε τῇ ὕλῃ πεφραγμένοι ἐπίσκοπα καὶ ἐξ ὑπερδεξίων μεθήσομεν, καὶ ἀσφαλέστεροι μὲν ἐς τὸ δρᾶν ἐσόμεθα, οὐ ῥᾷστοι δὲ βλάπτεσθαι. περὶ δὲ αὖ τῆς ὁμόθεν μάχης, εἰ δὴ καὶ αὐτῆς δεήσει, ἐκεῖνο χρὴ λογίζεσθαι ὡς οἱ μέγιστοι κίνδυνοι μεγίστας καὶ προθυμίας παρέχονται, καὶ ἐν τῷ ἀπόρῳ τῆς σωτηρίας ἡ ἀντίτασις ἑτοιμοτέρα, καὶ πολὺ τὸ ἀνέλπιστον ἐξέβη, βιαζομένων τε ὑπὸ τοῦ ἀμηχάνου καὶ ἀμυνομένων ὑπὲρ τῶν σπουδῆς ἀξίων τιμωρίας ἐλπίδι. οὐδὲ γάρ ἔστιν ὅτῳ ἂν πρὸ ἡμῶν μείζους γένοιντο ὑποθέσεις τῆς ἀγανακτήσεως, οἷα δὴ γενῶν τῶν ἡμετέρων καὶ πόλεως ὑπὸ τῶν ἐναντίων κατεσχημένης. συνεπίθοιντο δὲ ἂν αὐτοῖς καὶ ὅσοι ἀνάγκῃ ἄκοντες συστρατεύουσιν, εἰ τὴν ἡμετέραν ἔφοδον αἴσθοιντο, ἐλευθερίας τῆς σφετέρας ἐλπίδι.

"*Πυνθάνομαι δὲ καὶ τὴν βασιλέως δύναμιν τὴν ναυτικὴν οὐχ ἑκὰς εἶναι ἀρήξουσαν ἡμῖν, ᾗ συνταχθέντας συνεσβαλεῖν κράτιστα. καὶ ἐπὶ τῷδε ἡγοῦμαι ὡς καὶ τοὺς Ἕλληνας ἐς ταὐτὸ τοῦτο πρόθυμον ἐπάξομεν. αὐτὸς δὲ δὴ ὢν οὐκ ἔξω κινδύνου οὐδὲ εὐτυχέστερον πράττων ἐπὶ ταῦτα ἵεμαι, ἀρετῆς ἐπιθυμῶν καὶ διακινδυνεύων, τὰ τιμιώτατα ἐθέλων περιποιήσασθαι καὶ ἐς ἐμαυτὸν μὴ καταλῦσαι τῆς πόλεως τὴν ἀξίωσιν. καὶ παραινῶ ὧδε γιγνώσκειν. ἔπεισι μὲν γὰρ ἡ τελευτὴ πάντας ἀνθρώπους, καταλῦσαι τὸν βίον ἐν τοῖς περὶ τῆς πατρίδος ἀγῶσιν ἆθλον κάλλιστον καὶ δόξαν ἀΐδιον φέρων. εἰ δέ τινα καὶ ἐπὶ τοῖς εἰρημένοις τὸ τῆς πόλεως πταῖσμα ἐκπλήττει καὶ δι' αὐτὸ ἄθυμός ἐστιν, ἴστω τάς τε πλείστας τῶν πόλεων ἐξ ἐνέδρας ὑπὸ τῶν ἐναντίων ᾑρημένας* (deest versus, cuius penultimum vocabulum fuit *ἐλάχιστον*) | *καὶ τῶν*

ἀντιστάντων αὐτοὺς τὸ ἀντίπαλον ἐρημωθέντας . . | ον δὲ τοῦ βαρβαρικοῦ ἐπιτίθεσθαι μὲν τῷ εἴκοντι, ὑποχωρεῖν δὲ τῷ | ἀνθισταμένῳ συνοισόμεθα τη τενουσα μονος? κατὰ τὸ πλεῖστ|ον τῇ παρόδῳ χρήσονται ἀθρόον τε πρὸς γε . . . . . . αὐτῶν μὲν | ἱκανοὶ εἴημεν· ἀναχωρήσομεν ἐς τὸ μετέωρον σὺν ἀσφαλείᾳ (πορευο?)μένων ἐπιθησόμεθα, κἂν τούτῳ τῶν ἐναντίων αἱ ἀπορίαι πρὸς ἡμῶν ἔσονται.

"Συστήσεσθαι δὲ ἡμῖν καὶ ἐκ τῆς τύχης τὸ εἰκὸς ἄγει· ἥ τε γὰρ ὑπόθεσις δικαιοτάτη, καθ' ἣν ἀμυνούμεθα τοὺς προαδικήσαντας, καὶ τὸ δαιμόνιον ταύτῃ ὡς ἐπὶ πολὺ βραβεύει τὰ ἀνθρώπεια, προθυμότατον ὂν συμφορὰς ἐλαττῶσαι καὶ ἐς τὰ ἀμείνω συνάρασθαι. καλὸν δὴ γνωρίσαι τὸ πάτριον ἡμῶν σχῆμα, καὶ αὐτοὺς τοῖς Ἕλλησιν ἀρετῆς καὶ ἐλευθερίας γενέσθαι παράδειγμα, καὶ παρά τε τοῖς οὖσι καὶ τοῖς ἐπιγιγνομένοις εὐκλείας ἀειμνήστου μετασχεῖν, ἔργῳ δεικνύντας ὡς καὶ ἐν ταῖς συμφοραῖς τὸ φρόνημα τῶν Ἀθηναίων οὐχ ἥττηται. σύνθημα δὴ τοῦ πολέμου παῖδας καὶ τὰ φίλτατα ποιησάμενοι καὶ τὸ ταῦτα διασώσασθαι, ἐς τὴν ἀντίστασιν συνταττώμεθα, θεοὺς ἐφόρους ἀρωγοὺς ἐπικαλεσάμενοι." καὶ ὁ μὲν τοιαῦτα εἶπεν· οἱ δὲ Ἀθηναῖοι τοῖς τε λεχθεῖσι πολὺ ἐπερρώσθησαν, δυνατὰ γὰρ ἐς τὴν ἀντίστασιν τὰ εἰρημένα, καὶ ἐπὶ τούτῳ ἐξηγεῖσθαι σφῶν αὐτῶν ἠξίουν.

Ὅτι τῶν τὰ ἄριστα προελομένων ἡ προθυμία, κἂν τὸ ἔργον μὴ συνακολουθήσῃ, ἐπαινεῖται.

Ὅτι ἀλγεινοτέρα ἀνδρὶ ἀρχὴν ἔχοντι τοῦ παντὸς ἡ ἀποτυχία μᾶλλον ἢ ἑκάστῳ ἡ καθ' αὐτὸν κάκωσις· τῷ γὰρ ἰδίῳ περιγραφὴ ἡ τύχη τοῦ συμβάντος, ἐς δὲ τὸν ἄρχοντα προσχωρεῖ τοῦ συνενεχθέντος ἡ αἴ-

σθησις. ῥοπὴ δὲ οὐκ ἐλαχίστη πεπειθὼς τῇ (sic) γνώμῃ παραπλησίως ἔχειν· καὶ τὸ εἰκὸς τούτου οὐκ ἀπε . . γεῖν ἐπ᾽ εὐνοίᾳ. καὶ παρίσταται δ᾽ ἐμοὶ ἀπὸ τῶν αὐτῶν θαρρεῖν, ἀφ᾽ ὧν καὶ τὸ δυσχερὲς ὡρμήθη.

Ὅτι φησὶν ὁ Δέξιππος πρὸς τοὺς Ἕλληνας δημηγορῶν· "καὶ μή τῳ παραστῇ ὡς ἐς . . . . . τῆς σωτηρίας ὑμῶν με | . . νιας ὀψὲ περὶ ταύτην τὴν δίκην. ἔγνων τε γὰρ τὰ κοινῇ λυσιτελῆ . . . . δή τις ἄλλος καὶ πρᾶξαι τὰ καθήκοντα . . ἀρετη δε δει . . . ἐ|παίτιος ὅτου ἐστὶν ἐπισκέψασθαι τὰ συνοίσοντα καὶ . . . . | ὑπ᾽ αὐτῷ | τις ἀνὴρ ἐκ τοῦ δικαίου τὴν ἀρχὴν ἔχων καὶ πολιτεύων ἄριστα πείθ|οι *** [Exc. de sentent. (cod. p. 47, 48) p. 328—330 ed. Mai., 26—29 Niebuhr.]

Quo (Claudio) ad deos atque ad sidera demigrante 21
Quintillus frater eiusdem ... suscepit imperium ... Sub hoc barbari qui superfuerant, Anchialo vastata, conati sunt Nicopolin etiam obtinere. Sed illi provincialium virtute obtriti sunt. Quintillus autem ob brevitatem temporis nihil dignum imperio gerere potuit. Nam septima decima die, quod se gravem et serium contra milites ostenderat ac verum principem pollicebatur, eo genere quo Galba, quo Pertinax, interemptus est. Et Dexippus quidem Quintillum non dicit occisum, sed tantum mortuum: nec tamen addidit morbo, ut dubium sentire videatur. [Trebellius in Claudio c. 12.]

[Ἐκ τῶν Δεξίππου. Σίδης πολιορκία.] Ἐπολιόρκουν οἱ Σκύθαι τὴν Σίδην· πόλις δὲ αὕτη τῶν ἐν Λυκίᾳ. ὡς παρασκευή τε πᾶσα ἦν ἄφθονος ἔσω τείχους καὶ πλῆθος ἀνδρῶν οὐ νωθρῶς ἁπτομένων τοῦ ἔργου, μηχανὰς ἐποιοῦντο καὶ προσῆγον τῷ τείχει. οἱ δὲ καὶ πρὸς ταύτας ἀντήρκουν, καθιέντες

ὅσα κωλύματα. πύργους δὲ ἐπὶ τούτῳ ξύλου ἰσομετρήτους τῷ τείχει κατεσκεύαζον καὶ ἐκίνουν ὑποτρόχους, ὡς ἐγγὺς ἵστασθαι. προυβέβληντο δὲ τῶν πύργων οἱ μὲν σίδηρον ἐπὶ λεπτὸν ἐληλαμένον καὶ ἐπὶ πολὺ τῶν ξύλων καταπεπηγότα, οἱ δὲ δέρριν καὶ ὅσα πυρὶ οὐχ ἁλώσιμα. ἀντεμηχανήσαντο δὲ καὶ οἱ ἐκ τοῦ ἄστεως τοιόνδε· σανίδας μεγάλας ὀρθίας προστησάμενοι καθ' ὅ,τι ἔμελλον οἱ ἐναντίοι ποιήσεσθαι τὴν προσαγωγὴν τῶν μηχανῶν, καὶ αὖ ἐγκάρσια ξύλα καὶ ἰκρία ταύταις παραπήξαντες, μέσαις αὐταῖς ἐτεκταίνοντο θυρίδας ὅσον ἐς ὑποδοχὴν ἀνδρὸς τὴν ἄχρι στέρνου, ὡς ὑπερέχοντας αὐτῶν κατὰ ὕψος ἐκ μετεώρου ἔχειν ἀμύνεσθαι. ποιήσαντες δὲ ταῦτα ἐκ μετεώρου καθίεσαν ἀρτῶντες κύκλῳ ἐφεστρίδας τε καὶ νάκη, ὡς ἂν τὰ τοιαῦτα προβλήματα μήτε εὔφλεκτα εἴη καὶ τῇ ἁπαλότητι αὐτῶν κατέχοι τὰ προσπηγνύμενα, οὐκ ἀντικόπτοντα τῇ βίᾳ πληγῆς. γενομένης δὲ πείρας ἐπὶ τούτοις ἑκατέρωθεν καὶ μάχης καρτερᾶς, ὡς ἄπρακτος ἦν τοῖς Σκύθαις ἡ διατριβὴ καὶ οὐδὲν προυχώρει ἐς ἐλπίδας, ἀνεχώρουν. [Exc. de stratag. in codice montis Atho in Wescheri Poliorceticis p. 302—303.

22 Ὅτι Αὐρηλιανὸς κατὰ κράτος νικήσας τοὺς Ἰουθούγγους*) Σκύθας, καὶ κατὰ τὴν τοῦ Ἴστρου περαίωσιν ἐς τὴν ἀποφυγὴν πολλοὺς τούτων ἀνελών, οἱ λειπόμενοι ἐς σπονδὰς ἧκον καὶ πρεσβείαν ἐστείλαντο. τὴν δὲ αἴτησιν τῆς εἰρήνης ἐδόκει μὴ σὺν τῷ ἄγαν περιδεεῖ καὶ καταπεπληγότι ἐκ τῆς ἥττης ποιεῖσθαι, ὡς ἂν ὑπάρχοι σφίσι καὶ τῶν πρόσθεν

*) E Dexippo hauserit Suidas: Ἰουθοῦγγοι, ὄνομα ἔθνους. "οἱ δὲ ἐπεραιώσαντο τὸν Ἴστρον, δόντων ἑκόντων εἶναι τὴν δίοδον Ἰουθούγγων ἔχθει τῷ πρὸς Ῥωμαίους." MÜLLERUS.

φοιτώντων χρημάτων παρὰ Ῥωμαίων ἡ ἀποδοχή, μὴ ἐς τὸ ἀδεὲς πάντη τῶν ἐναντίων καθισταμένων. ὁ δὲ Ῥωμαίων βασιλεὺς Αὐρηλιανὸς ὡς ἐπύθετο ἀφιγμένην τὴν Ἰουθούγγων πρεσβείαν, ἐς τὴν ὑστεραίαν φήσας χρηματιεῖν περὶ ὧν ἥκουσι, διέταττε τοὺς στρατιώτας ὡς ἐς μάχην, ἐκπλήξεως ἕνεκα τῶν ἐναντίων. ἐπεὶ δὲ καλῶς εἶχεν αὐτῷ ἡ διακόσμησις, ἐπὶ ὑψηλοῦ βήματος μετέωρος βέβηκε, καὶ ἁλουργίδα ἀμπέχων τὴν πᾶσαν τάξιν ἐποίει ἀμφ' αὐτὸν μονοειδῆ. παρέστησαν δὲ καὶ τῶν ἐν τέλει ὅσοι ἀρχάς τινας ἐπιτετραμμένοι, σύμπαντες ἀφ' ἵππων. κατόπιν δὲ βασιλέως τὰ σήματα ἦν τῆς ἐπιλέκτου στρατιᾶς· τὰ δέ εἰσιν ἀετοὶ χρυσοῖ καὶ εἰκόνες βασίλειοι καὶ στρατοπέδων κατάλογοι γράμμασι χρυσοῖς δηλούμενοι· ἃ δὴ σύμπαντα ἀνατεταμένα προυφαίνετο ἐπὶ ξυστῶν ἠργυρωμένων. ἐπὶ δὲ τούτοις ὧδε διακοσμηθεῖσιν Ἰουθούγγους ἠξίου [παρελθεῖν]. τοὺς δὲ συνέβη θαμβήσασθαι ἰδόντας καὶ ἐπὶ πολὺ σιγῇ ἔχειν. ἐπεὶ δέ σφισιν ἐκ τοῦ βασιλέως ἀπεδόθη λέγειν, διά τινος ἑρμηνέως ἔλεξαν τοιάδε· "Οὔτε τῇ ἐπὶ καιροῦ συμβάσῃ κακοπραγίᾳ ἡμῶν παρὰ τὸ εἰκὸς καταπεπληγότες οὔτε δυνάμεως ἐνδεῶς ἔχοντες ἢ καὶ πολέμων ἄπειροι καθεστηκότες ἀσθενείας εὐπρεπείᾳ κατὰ τὸ ἡμῖν αὐτοῖς μόνοις συμφέρον ἐς τὴν εἰρήνην σπεύδομεν· ἀλλὰ περίεστι μὲν ἡμῖν τοσοῦτον τῆς ἐν τοῖς πολέμοις περιουσίας πλήθους ἕνεκα καὶ ἰσχύος ὥστε μέρει ἐλαχίστῳ τὰς πρὸς Ἴστρῳ πόλεις ἐπελθόντες Ἰταλίαν μικροῦ πᾶσαν κατειλήφαμεν, ἱππικῷ μὲν στρατεύσαντες ἐς μυριάδας τέτταρας, καὶ τούτων οὐ μιγάδων οὐδὲ ἀσθενῶν, ἀλλὰ Ἰουθούγγων καθαρῶς, ὧν πολὺς ἐφ' ἱππομαχίᾳ λόγος. ἀσπίδα δὲ ἄγομεν διπλασίαν δυνάμεως τῆς ἱππικῆς, οὐδ' ἐν τούτοις ταῖς

ἑτέρων ἐπιμιξίαις ἐπισκιάζοντες τοῦ σφετέρου στρατοῦ τὸ ἀνανταγώνιστον. ἔχοντες δὲ καὶ οὕτω παρασκευῆς διακρίνεσθαι οὐ διαγιγνώσκομεν ἐς ἀντιλογίαν ἥκειν τῆς συμφορᾶς πέρι. οὐ διὰ τὸ μὴ κατὰ κράτος νενικῆσθαι, κατὰ δὲ τὸ ἄδηλον τοῦ ἐκβησομένου εἰρήνην πολέμου προτιμῶμεν, εἰκάζοντες καὶ ὑμῖν ὡς γένοιτ' ἂν διὰ γνώμης πρὸς Ἰουθούγγους εὖ παρασχὸν τῆς πρόσθεν διαφορᾶς συμβῆναι, οἷα δὴ ὑπούσης καὶ παλαιᾶς ἀμφοῖν τοῖν γενοῖν πρὸς ἄλληλα πίστεως ἐς τὸ ἡσυχάζειν, δι' ἣν χρὴ τὴν ἐπὶ καιροῦ διαφορὰν ἀπερίσκεπτον ἐν τῷ παρόντι καταλύσαντας πρὸς τὸ παλαίτερον καὶ λυσιτελοῦν μετατίθεσθαι ἑκατέροις. ἔν τε τῷ πολέμῳ οὐκ ἐπὶ πλεῖστον ταῖς καταδρομαῖς ληιζόμενοι, ἀλλ' ὅσον ἐς ἀφορμὴν τῶν ἐπιτηδείων ἀγαπῶντες τὴν ἄθροισιν, μέχρι τῆς γενομένης μάχης ἡσυχίᾳ τὸν καιρὸν διετρίβομεν, ὡς τοῖς ἐπιοῦσιν ὑμῖν σὺν τῇ ὑμετέρᾳ δυνάμει τὸ καθ' αὑτοὺς ἀντιτάξαντες. ὃ δὴ καὶ νῦν ποιεῖν παρεσκευάσμεθα· καὶ τό τε ὑμέτερον πρὸς πάντα κίνδυνον ἐκ τούτου ἀδεέστερον ἕξει καὶ τῶν μεγίστων στρατοπέδων συνελθόντων οὐδ' ἡτισοῦν ἑτέρα χεὶρ ἀξιόμαχος ἡμῖν νομισθήσεται. εἰ δέ τις τῇ εὐτυχίᾳ τοῦ πολέμου ἐπαιρόμενος ὀλίγωρός ἐστι πρὸς τὴν σύμβασιν, γνώτω οὐ βεβαίῳ πράγματι θρασυνόμενος, καὶ ὅτι ἐπὶ παντὶ φέρον (σφαλερὸν Nieb.) τῆς δοκούσης εὐπραγίας ἡττηθέντας καὶ πρὸς τὴν παροῦσαν τῆς τύχης ἀκμὴν ἀποκλίναντας τῶν ἀμεινόνων ἐξηρτῆσθαι μόνον ἐλπίδων, καὶ ὑπὸ τοιαύταις ἀνοίαις τῆς τε πρὸς θάτερον μεταβολῆς ὑπεριδεῖν καὶ συμμαχίαν εὔκαιρον διδομένην παραιτήσασθαι. πεφύκασί τε αἱ μείζους στρατιαί, παρὰ μὲν τὴν πρώτην θάρσει οἰκείας δυνάμεως ἐπαιρόμεναι καὶ ἐλαχίστη

προμηθεία χρώμεναι, σὺν καταφρονήσει τῶν ἀντιπολεμούντων ἐπὶ τὰς μάχας πορεύεσθαι καὶ κατὰ τὸ ἀφύλακτον ὡς ἐπὶ πολὺ τὸ ἧττον ἔχειν, αἱ δὲ τῷ αἰφνιδίῳ καὶ παρ' ἐλπίδα χωρήσαντι * λογισμῷ τε ἀσφαλεῖ καὶ περιουσίᾳ δυνάμεως βεβαίως χρησάμεναι δυσμαχώταται τοῖς ἀντιπάλοις γίγνεσθαι. σὺν δὴ τοιαύτῃ ἐλπίδι καὶ ἡμεῖς, διχῇ τὴν δύναμιν διελόντες τὸ πρῶτον, καὶ ἐν τῷ ποταμῷ τὰ πολλὰ τύχῃ μᾶλλον ἢ ἀρετῇ ὑμετέρᾳ σφαλέντες, οὐκ ἀπροσδόκητοί ἐσμεν ἀλλὰ νῦν ἅμα τῷ τοῦ μέλλοντος προμηθεῖ οὐχ ὑπόστατοι ὑμῖν γενέσθαι. κράτιστον δὴ τούτων ἕνεκα δι' εἰρήνης αἱρεῖσθαι ὑμᾶς τὰς ἐκ τῆς ὁμονοίας ὠφελείας, καὶ τὰ τοῦ πολέμου πράγματα σὺν ἡμῖν τίθεσθαι, τῇ τε παρ' ἡμῶν συμμαχίᾳ ῥωσθέντας πλέον ἔχειν πρὸς τοὺς ἐπιόντας. εἰ δὲ ταῦτα ποιεῖν ὧδε κρίνοιτε, ὑπάρχειν ἡμῖν δίκαιον καὶ ὅσα ἐν χρυσοῦ ἀσήμου τε καὶ ἐπισήμου δόσεσι καὶ ἀργύρου παρ' ὑμῶν ἐφοίτα ἐπὶ φιλίας βεβαιότητι. ἀπειπαμένων γάρ, ὅσα ἐχθροὺς ἀμυνόμενοι, καθ' ὅ,τι δυνατὸν πολεμήσομεν".

Πρὸς ταῦτα ὁ Ῥωμαίων βασιλεὺς ἔλεξεν ὧδε· "Εἰ μὲν ἐς ἀφανὲς καθέντες τὴν γνώμην ὑμῶν, περὶ ὧν πρεσβεύεσθε, ἐδιδάσκετε, οὐδ' ἡμῖν τοῖς ἐκδεξαμένοις τὸν λόγον χαλεπὴν παρείχετ' ἂν τὴν ἀπόκρισιν. ἐπεὶ δὲ τὰ εἰρημένα ἐς μὲν εὐπρέπειαν σύγκειται, ἔργῳ δὲ ἐναντίως ἔχει, πῇ μὲν εἰρήνης μνημονευόντων, ὅτε δ' αὖθις πόλεμον ἐπανατεινομένων ὑμῶν, ὧν συγχεῖν ἐοίκατε ἑκάτερον ἐκ θατέρου, ἀμφίβολον καὶ ἡμῖν καθίσταται πρὸς ὅ,τι χρὴ πρῶτον ἀποκριναμένους μὴ ἁμαρτάνειν. λέλειπται δέ τι καὶ ἐκ τῶν παρόντων βουλεύσασθαι· χρὴ γὰρ τὼ διττὼ τούτω λόγω διελόντας ἀπαντᾶν πρὸς ἄμφω· εἰ μὲν γὰρ καθαρῶς εἰρήνην ἐπαγγέλλεσθε, τί δεῖ μεμνῆσθαι χρημάτων

αἰτήσεως; καίτοι κἂν τούτῳ οὐ σὺν τῷ προχείρῳ ἡ βουλὴ τοῖς νενικηκόσι πρὸς τὴν ἄρνησιν ἢ τὴν καταίνεσιν. εἰ δὲ ἔτι σκοπεῖν ὑμῖν πρὸς τὸ συμφέρον καὶ τὰς ἐκ τοῦ πολέμου πλεονεξίας ἡγεῖσθε τὴν σύμβασιν, καὶ ἡττηθέντες ὥσπερ δασμοὺς παρ᾽ ἡμῶν ἀπαιτήσοντες ἥκετε, τῆς ῥαστώνης τὸ τερπνόν, ὅσον εἰρήνη δίδωσιν, ἐκ παντὸς μεταδιώκειν ἡμᾶς νομίζοντες, ἔχεσθε τῆς ὁμοίας τῇ πρόσθεν ἐπιχειρήσεως, μηδ᾽ ἐς εὐεργεσίας λόγον προϊσχόμενοι τοῦ πολέμου τὴν κατάλυσιν αἰτεῖτε μισθὸν τῆς συγχωρήσεως, ὠνητὴν καὶ οὐκ ἐθελούσιον ποιούμενοι τὴν παροῦσαν ἐς τὴν φιλίαν πρόκλησιν. οὐ γὰρ δὴ πολέμων ἀπείρους ὄντας ἡμᾶς τῷ πλήθει τῆς πολλὰ δὴ κομπασθείσης ὑφ᾽ ὑμῶν δυνάμεως ἐκπλήξετε, οὐδὲ πλούτῳ λαφύρων Ἰταλικῶν ἐπικομπαζόμενοι ἀδεῶς ἐπ᾽ οἴκου πορεύσεσθε, ἀλλὰ δῆλαι μὲν ὑμῶν αἱ πεζαὶ παρασκευαί, οὐκ ἄδηλοι δὲ αἱ τῶν ἱππέων, πρὸς ἃς ἐς τρόπον τὸν δυνατὸν ἀντιστησόμεθα. τολμῶμέν τε γὰρ μετ᾽ ἀσφαλείας καὶ ἀναχωροῦμεν σὺν προμηθείᾳ, οἷα δὴ λογισμῷ ἡγεμόνι ἐς πάντα χρώμενοι, οἷς ἡ ἰσχὺς βεβαιοτάτη, καὶ ἐμπειρίαν πολεμικῶν ἔργων διαφερόντως ἔχοντες. ὑμεῖς δὲ μετά τε τοῦ προχείρου ἔπιτε καὶ διαμαρτάνοντες τῶν ἔργων διὰ τὸ μὴ προσκέψασθαι ἐφ᾽ ἃ δεῖ ἐλθεῖν πείρᾳ τὴν βλάβην τοῦ προπετοῦς φερόμενοι μεταγιγνώσκετε. τοῖς γὰρ ζέσει ἐς τὰς πράξεις, μὴ συνέσει φερομένοις ἀνάγκη τοῦ βελτίστου ἁμαρτάνειν. καὶ ταχεῖαι μὲν ὑμῶν αἱ ἐπιχειρήσεις, δι᾽ ὀλίγου δὲ αἱ μεταμέλειαι. καὶ τὸ σύμπαν κατὰ τὸ εἰκὸς θαύματος ἀπήλλακται ἀντιπάλους ἡμῖν τυχόντας καὶ ἠθῶν ἀνομοίων καὶ ἐς τὰς γνώμας πραττομένων διεστάναι οὐκ ἀπεικότως, καὶ ὑμᾶς μὲν ἀμαθίᾳ, ἡμᾶς δὲ λόγῳ συνεῖναι,

*σὺν ᾧ μάλιστα καὶ τὸ κρατεῖν τοὺς ἥττους τῶν πλειόνων περιγίγνεται, συνέσει πρὸ δυνάμεως πιστεύοντας. τούς τε πλείονας σὺν τῷ ἀλογίστῳ διὰ μάχης ἰόντας κάκιον ἀπαλλάττεσθαι, ἔργου πείρᾳ μᾶλλον ἢ λόγου κομπωδεστέρᾳ προσποιήσει διδάσκεσθε, βλέψαντες ἐς τὰ Σκυθῶν πάθη· μετὰ σαφεστάτων γὰρ τεκμηρίων καὶ οὐκ ἀμάρτυρα λέξομεν. οὗτοι δὴ τριάκοντα μυριάσι στρατοῦ ἐφ' ἑκατέρας τὰς ἠπείρους σκεδασθέντες πάσῃ τῇ δυνάμει ἡττήθησαν πρὸς ἡμῶν, καὶ λαμπρὰ τοῖς νενικηκόσιν ὑπελίποντο τῆς οἰκείας ἀρετῆς ὑπομνήματα, ὧν τὴν εὔκλειαν ἐς τὸ παντελὲς ἕξομεν νῦν τε καὶ ἔπειτα, τῷ χρόνῳ συμπαραθέουσαν. τάς τε Ἀλαμανῶν συμφορὰς ἄγειν * σφᾶς τοῦ προχείρου τῷ ἀναρριφθέντι τῆς ἐπιχειρήσεως ταχυτέραν καὶ δι' ὀλίγου ἔθεντο τὴν μετάγνωσιν. ἡμεῖς τε ἐπὶ ταῖς πλημμελείαις ὑμῶν, αἷς ἐς ἡμᾶς ἐπλημμελήσατε, οὐκ ἀποχρῆν ἡγούμεθα ἣν ἐπάθετε τιμωρίαν, εἰ μὴ καὶ τὸν Ἴστρον ὑπερβάντες ἐν ὅροις τοῖς ὑμετέροις τὴν ὀργὴν ὡς ἐς προαδικήσαντας ὑμᾶς ἀποπλήσαιμεν. πόλεμον γὰρ ἐπὶ σπονδαῖς ἀκήρυκτον ἐφ' ἡμᾶς ἠγείρατε, ἐγκλήματα μὲν ὡς ἐς προαδικήσαντας εἰπεῖν οὐκ ἔχοντες, ἐπιθυμίαις δέ τισι καὶ ἐλπίσι κουφισθέντες, σὺν αἷς ὅμιλος ἀλόγιστος ἐπαίρεται, στρατείας καὶ πολέμου ἀντιλαμβάνεσθε. ὅθεν οὐκ ἔξω προσδοκίας ἄγομεν καὶ τὰ παρὰ τοῦ θείου ἔσεσθαι ἡμῖν ἀρωγά, οἷα δὴ ἡμῶν μὲν θεσμὸν τὸν ἐπὶ σπονδαῖς οὐκ ἀτιμασάντων, Ἰουθούγγων δὲ ἄδικον ὁδόν τε ἐφ' ἡμᾶς ἐλθόντων καὶ ὅρκους καὶ πᾶσαν πίστεως βεβαιότητα παρὰ φαῦλον τιθεμένων. τοῖς τε αὖ φθάνουσι κατορθώμασι τὸ μέλλον λαμβάνοντες, καὶ περὶ τῶν ἐσομένων οὐκ ἀπεικότως πρὸς τοῖς εἰρημένοις χρηστὰ δοξάζομεν. ἡ μὲν γὰρ ἐπ' εὐπραγίᾳ*

ἐλπὶς θάρσος φέρει, φόβον δὲ ἡ ἐπὶ τῷ ἐναντίῳ. λογισμῷ τε ἡγεμόνι πρὸς τὰς πράξεις χρώμενοι τάς τε δόξας τῶν συμβησομένων οὐκ ἀβασανίστως προσιέμεθα, κἂν τοῖς παροῦσιν, οἷα ἄνδρες ἀθληταὶ κινδύνων τῶν ἀρίστων, οὐκ ἐκπληττόμεθα ταῖς τοῦ πολέμου χαλεπότησιν, ἐξ ὧν τὸ ἐλπιζόμενον κέρδος οὐκ ἀσθενὲς καὶ περιττότερον τῆς ἀχθηδόνος. τὸ γὰρ πλῆθος ὑμῶν σώμασί τε ἥκιστα ἰσχύει καὶ φρονήμασιν. ἀπείληπται γὰρ Ῥοδανοῦ (Ἠριδανοῦ Vales.) μὲν ἔσω καὶ τῶν ἡμετέρων ὁρίων, σπανίῳ δὲ ἀγορᾷ συνεχόμενον καὶ τῇ ἄλλῃ ταλαιπωρήσει τοῖς ἀλγεινοῖς τοῖς μὲν ἤδη σύνεστι, τοῖς δὲ μέλλει. καὶ προκαμὸν ἐν τῷ ἀεὶ μοχθεῖν ἀτολμότερον ἔσται καὶ χρῆσθαι αὐτῷ παρέξει ἀμαχὶ ὅ,τι ἂν βουλώμεθα, ὡς ἂν πρὸς τὴν χρόνιον διατριβὴν ἀπειρηκότι. ὅθεν ὑμῖν τε τὸ πᾶν περιφανῶς κινδυνεύεται καὶ ἡ τῆς εἰρήνης ὑμῶν αἴτησις ἐπ' εὐπρεπείᾳ τοῦ φόβου σύγκειται, ὅπως ἂν τὸ σφέτερον δέος ἐπηλυγάξησθε. ἣν τί δεῖ προσίεσθαι, καλῶς ὑπάρχον πανταχόθεν ἀποκλεισθεῖσιν ὑμῖν τῆς οἴκαδε πορείας καὶ οἷον ἔσω πυλῶν ἀπειλημμένοις χρῆσθαι εὖ τε καὶ μή, ὅπως ἂν ἔχωμεν πρὸς ὑμᾶς διανοίας; ἐπὶ τούτοις λεχθεῖσιν ἐκ τοῦ βασιλέως κατεπλάγησάν τε Ἰουθοῦγγοι καὶ ὡς οὐδὲν αὐτοῖς κατὰ τὰς ἐλπίδας ἐπράττετο, παντελῶς τῶν σπονδῶν ἀπογνώσει ἐχόμενοι παρὰ τοὺς σφετέρους ἀπεχώρησαν.

Ὅτι ἐπὶ Αὐρηλιανοῦ οἱ Βανδῆλοι κατὰ κράτος ἡττηθέντες παρὰ Ῥωμαίων πρεσβείαν ἐποιήσαντο πρὸς Ῥωμαίους περὶ διαλύσεως πολέμου καὶ συμβάσεως. καὶ πολλὰ ἀναμεταξὺ εἰπόντων ἀλλήλων, τοῦ τε βασιλέως καὶ τῶν βαρβάρων, διελύθη μὲν ὁ σύλλογος, τῇ δὲ ὑστεραίᾳ τό τε πλῆθος τῶν Ῥωμαίων

στρατιωτῶν αὖθις ἠθροίσθη, καὶ ἐρομένου βασιλέως ὅ,τι σφίσι περὶ τῶν παρόντων λῷον εἶναι δοκεῖ, κρίνοντες τὴν εὐτυχίαν τὴν ὑπάρχουσαν προμηθείᾳ τῆς ὑπὲρ τῶν ὄντων ἀσφαλείας διασώσασθαι, καὶ βοῇ τὸ βουλόμενον σημαίνοντες, σύμπαντες ἐς τὴν κατάλυσιν τοῦ πολέμου ἐχώρησαν. καὶ οἵδε μὲν ὧδε συνηνέχθησαν γνώμῃ· οἱ δὲ τῶν βαρβάρων βασιλεῖς καὶ ἄρχοντες, ἥκοντες καθ' ὅ,τι σφίσι προειρημένον, ἔδοσαν ὁμήρους σφῶν αὐτῶν, οὐ τὰ δεύτερα ἀξιώσεως καὶ τύχης. οἵ τε γὰρ βασιλεῖς τοὺς παῖδας ἑκάτεροι διδόασιν ἐς τὴν ὁμηρείαν, ἐνδοιάσαντες οὐδέν, καὶ ἕτεροι ἅμα αὐτοῖς οὐ μάλα πόρρω ἀξιώσεως. καὶ ἐπὶ τούτοις ἐχώρησάν τε πρὸς σύμβασιν καὶ αἱ σπονδαὶ ἐγένοντο. συνεμάχουν δὲ ἀπὸ τῆσδε Ῥωμαίοις Βανδήλων ἱππεῖς ἐς δισχιλίους*), οἱ μέν τινες αἱρετοὶ ἐκ τοῦ πλήθους ἐς τὴν συμμαχίαν καταλεχθέντες, οἱ δὲ καὶ ἐθέλοντες ἑκούσιον στρατείαν ὑποδυόμενοι. ὁ δὲ λοιπὸς Βανδήλων ὅμιλος ἐπ' οἴκου ἐκομίζετο, παρέχοντος τοῦ Ῥωμαίων ἄρχοντος ἀγορὰν ἔστε ἐπὶ τὸν Ἴστρον. καὶ τὸ μὲν πλεῖστον αὐτοῦ ἀπαθὲς διεσώθη· ὅσοι δὲ παραβάσει τῶν σπονδῶν ἐπὶ λείας συλλογὴν ἀφθόνως ἀπεσκεδάσθησαν, ἀνῃρέθησαν σύμπαντες ὑπὸ τοῦ ἡγεμόνος τῶν ξενικῶν στρατοπέδων, οὐ μείους γενόμενοι πεντακοσίων. οἷα γὰρ δὴ διὰ φιλίας τῆς χώρας πορευόμενοι καὶ θάρσει τῆς γενομένης πρὸς Ῥωμαίους εἰρήνης ἐπαρθέντες, τῆς πάσης τάξεως προεξαίροντες κατά τινας

*) Hinc oritur mihi suspicio Dexippi esse fragmentum, quod anonymum v. *διοσημία* citat Suidas: "*Παρῆσαν δὲ οἱ δισχίλιοι* (*χίλιοι* codd. AVC.) *Σκύθαι πάσης ὀξύτεροι διοσημίας* (*ἤτοι ἀστραπῆς ἢ πρηστῆρος ἢ κεραυνοῦ ἢ σκηπτοῦ ἢ διάττοντος ἀστέρος.*) Maius.

αἰφνιδίους ἐπιδρομὰς προσέβαλλον γνώμῃ τοῦ ἄρχοντος, καὶ οὐκ ὀλίγα τῆς χώρας ἐκακούργουν. καὶ τὸ ἔργον τοῦτο τὸν ἐργασάμενον παρὰ τῷ βασιλεῖ κατατοξευθῆναι. οἱ δὲ λοιποὶ Βανδήλων διεσκεδάσθησαν καὶ ἀπενόστησαν ἐπ' οἴκου. βασιλεὺς δὲ Ῥωμαίων τὴν πλείστην δυνάμεως τῆς πεζῆς καὶ ἱππικῆς ἐκπέμπει ἐπ' Ἰταλίας. καὶ διαλιπὼν οὐ μάλα συχνῶν ἡμερῶν, τήν τε ἀμφ' αὐτὸν τάξιν ἑταιρικὴν καὶ ὅση δορυφορία τοῦ ἄρχοντος, τῶν τε συμμάχων ὅσοι ἦσαν Βανδήλων, καὶ τοὺς ὁμηρεύειν αὐτῷ δοθέντας παῖδας ἐπαγόμενος, καὶ αὐτὸς ἐπὶ Ἰταλίας ἐξήλαυνε σπουδῇ διὰ τὴν τῶν Ἰουθούγγων αὖθις παρουσίαν.* [Exc. de legat. p. 7—12 ed. Paris., 11—21 Niebuhr.]

23 Geberichus primitias regni sui mox in Wandalica gente extendere cupiens contra Visumar eorum regem, Asdingorum e stirpe, quae inter eos eminet, genusque indicat bellicosissimum, Dexippo historico referente, qui eos ab Oceano ad nostrum limitem vix in anni spatio pervenisse testatur prae nimia terrarum immensitate etc. [Iordanes De rebus Get. c. 22.]

FRAGMENTA SEDIS INCERTAE.

24 *Ὁ δὲ ἵππος αὐτῷ ἤσκητο ἄρα καὶ ἄνευ ἡνίας ἐλαυνόμενός τε ὠκύτατα φέρεσθαι καὶ βάδην προϊόντος πρᾳότατα ἵστασθαι, καὶ ἐκκλίνοντος, ὅπως περιοίσεται καὶ κυκλώσεται, εὐκαμπέστατα ἐπιστρέφειν.* [Suidas v. *ἵππος*, fortasse ex Parthicis.]

25 *Παρὰ πολὺ ἀπελείποντο τοῦ πείθεσθαι τοῖς ἐσηγουμένοις ἡσυχίαν αἱρεῖσθαι.* [Suidas v. *παρὰ πολύ.*]

26 *Ἦν δὲ τοῦ καθηγουμένου πρὸς πᾶν τὸ ἀπαγγελλόμενον ἔκπληξις· ὑπὸ γὰρ ἐμφύτου δειλίας καὶ*

ἀπειρίας τῶν πολεμικῶν ἀναπεπταμένοις μὲν τοῖς ὠσί, τεθορυβημένοις δὲ τοῖς ὀφθαλμοῖς, πατασσούσῃ δὲ τῇ καρδίᾳ, ἀεί τι ἀκούσεσθαι ἐλπίζων, τοῖς ἀρχομένοις κατάδηλος ἦν ὡς φυγῇ χρήσεται. [Suidas v. πατασσούσῃ.]

27 Ἀπὸ δὴ τούτων πάντων ἀναπειθόμενος τῶν πλεονεκτημάτων, πάντα τὸν ἀνθιστάμενον τιθεὶς ἐν δευτέρῳ ἐκ τῆς πείρας, εὐθαρσῶς ἐπῄει· συνηνέχθητον δὴ ἄμφω ἀλλήλοιν. [Suidas vv. ἀπὸ δὴ et εὐθαρσῶς.]

28 Καὶ ὡς ἐν τῷ παραχρῆμα ὥρμηντό τε ἐξιέναι καὶ ψηφίσματι τὴν στρατείαν ἐκύρωσαν, ὥρμητό τε (τε delet Bernhardy) πᾶς ἐς τὴν ἐπιχείρησιν. [Suidas v. παραχρῆμα.]

29 Αὕτη τῆς Ἀσσυρίων καὶ Περσῶν καὶ Μακεδόνων τῶν πρὶν μακρῷ ὑπερῆρεν, ὁρισαμένη πέρατα ἑαυτῆς πρὸς μὲν ἕω Ἰνδοὺς καὶ Ἐρυθρὰν θάλατταν καὶ Νεῖλον καὶ Καταρράκτας καὶ λίμνην Μαιῶτιν· ὅσα δὲ πρὸς δυσμὰς Ὠκεανόν τε αὐτόν, ὃν δὴ μῦθον εἶναι τοῖς ἔργοις ἐδηλώθη, μηδὲ ἄλλως ἢ πρὸς ψυχαγωγίαν τοὔνομα αὐτοῦ παρὰ τοῖς ποιηταῖς ᾄδεσθαι, εἴ γε καὶ ἡ Βρεττανῶν χώρα, ἣν περιρρέων νῆσον ἐργάζεται, νῦν εὑρεθεῖσα ἐν πέρασι τῆς Ῥωμαίων ἀρχῆς ἀριθμεῖται. λεγέτω μὲν οὖν, ὅτῳ δοκεῖ, ὡς ἀναμφίλογοι τῶνδε πρὸς τὰ παλαιὰ αἱ ὑπερβολαί, πλήθει τε χειρὸς τῶν ἐπελθόντων εἰκάζοντι καὶ τόλμαις ἑκατέρων καὶ στρατηγήσεσι καὶ μηχανῶν ἐπινοίαις καὶ τῶν ἀντιπολεμησάντων ἀρετῇ. [Suidas v. Ῥωμαίων ἀρχή.]

30 Ὅτι τοῦ τὴν Ῥωμαίων ἀρχὴν αἴτιον αὐξηθῆναι τὸ φιλόμαχον ἐθνῶν ([τοῦ] ἔθνους Niebuhrius) καὶ τὸ εὐσύντακτον τῆς δυνάμεως. πάντες γὰρ οἱ πρὸς ἑσπέραν θυμικώτεροί εἰσι τῶν ἐπὶ θάτερα κατοι-

κούντων. περιττεύει δὲ Ῥωμαίοις τὸ τεταγμένον ἐν τῷ ἔργῳ καὶ τεχνικόν, ᾧ καὶ Γαλατῶν ἐκράτουν καὶ ἐν τοῖς πρὸς τοὺς ὁμόρους πολέμοις τριβέντες καὶ περιόντες (l. τριβέντες, περιῆσαν) τῶν βαρβάρων τῇ συντάξει, τῶν δὲ Ἑλλήνων φύσει καὶ ἀνδρείᾳ. [Suidas ibid. *)]

31 *Σεμνὸν γὰρ αὐτὸν ἀπέφαινε τά τε ἄλλα καὶ ὅτι οἱ ὁ πατὴρ εὖ στρατηγήσειε.* [Suidas v. *σεμνόν.*]

---

*) Utrumque locum exscripsi. Uter ad Dexippum pertineat dubitari potest. Etenim vulgo legitur *Δέξιππος δὲ* (pro quibus Niebuhrius dedit: *Δέξιππός φησιν ὅτι κτλ.*), adeo ut posterior locus ad illum referendus sit. At particula *δὲ* deest in codd. AV ap. Gaisford. Quare Dexippi mentionem ad priorem locum retulit Gaisfordus. Plerumque Suidas praeponit, non postponit nomen auctoris. Ceterum nescio an fuerit *Δέξιππος δ'* i. e. *Χρονικῶν βιβλίῳ δ'*. Müllerus. Suidas hunc quoque historicum ex Constantianis tantum eclogis cognitum habuisse videtur, ut ignoti ei fuerint numeri librorum, nec dubitandum priorem certe locum esse Dexippi, etiamsi alius fuerit alter.

EUSEBII FRAGMENTUM.

ΕΚ ΤΩΝ ΕΥΣΕΒΙΟΥ ΒΙ. Θ'. *)

[*Πολιορκία Θεσσαλονίκης ὑπὸ Σκυθῶν.*] *Οἱ δὲ* 1
Θεσσαλονικέες οὐδὲ ἐν τῷ τοιούτῳ ἀδρανέες τινὲς εὑρέθησαν, ἀλλὰ τοῖσι ἑτοίμοισι εὑρισκομένοισι ὁπλισάμενοι συστάντες τούς τε βιωμένους ἐσελθεῖν ἀπεῖρξαν καὶ ἐν τῇ ταραχῇ ταύτῃ τῶν βαρβάρων τινὰς συναρπάζουσι, τὸ δὴ πολλοῖσι τῶν ἀπὸ τῆς πόλεως ἐζωγρημένοισι πρόφασιν τῆς ἀνακομιδῆς παρεχόμενον. οἱ γὰρ δὴ βάρβαροι ὑπὲρ τοῦ κομίσασθαι τοὺς

---

*) Eusebium, quem Ionica dialecto scripsisse ex hoc fragmento discimus, historiam composuisse, in qua ab Octaviano exorsus narrationem usque ad mortem Cari (283 p.C.) deduxerit, docet Euagrius Histor. eccl. V extr. Ceterum eundem esse puto quem Socrates Hist. eccl. VI, 6 (et inde Nicephorus Hist. eccl. XIII, 6) scholasticum, Procli sophistae sectatorem carminisque de bello contra Gainam Gothorum regem (sub Decio et seqq. temp.) gesto auctorem esse dicit. Certe tempora non repugnant, modo statuas eum historias provectiore demum aetate scripsisse, regnante Diocletiano. Verba Socratis l. c. haec sunt: *Εἰ δέ τῳ φίλον ἀκριβῶς μαθεῖν τὰ ἐν ἐκείνῳ τῷ πολέμῳ γεγενημένα, ἐντυγχανέτω τῇ Γαϊνίᾳ τοῦ σχολαστικοῦ Εὐσεβίου, ὃς ἐφοίτα μὲν τηνικαῦτα παρὰ Τρωΐλῳ τῷ σοφιστῇ, αὐτόπτης δὲ τοῦ πολέμου γενόμενος ἐν τέτταρσι βιβλίοις ἡρωικῷ μέτρῳ τὰ γενόμενα διηγήσατο.* Müllerus.

σφετέρους πολλοὺς τῶν εἶχον λαβόντες ἀπέδοσαν. οὔκω τε ἦσαν φθάντες οἱ βάρβαροι ὥστε τῇ σφετέρῃ στρατιῇ πᾶσαν τὴν πόλιν περιστοιχίσασθαι καὶ οἱ ἀνὰ τὴν πόλιν οὐδὲν ὑπὸ τοῦ ἀπροσδοκήτου ἀμβλυνθέντες οὐδὲ ....

.... τὴν ὄψιν αὐτὴν τοῦ πολέμου οὔτε τῶν ἀντιπολεμίων ἀπορηθῆναι καὶ ἐς τὰ ἀρήια τοῖς ἐν τοῖσι παιδηίοισι ἀθύρμασι εὕρισκε ἑωυτῷ παρεούσης εὐστοχίης καὶ τοξεύσαντα οὐκ ἁμαρτεῖν, κατακτεῖναι ἄνδρα πολέμιον, καὶ ἐπὶ τῷ ἔργῳ τούτῳ μεγαλοφρονησάμενον προσθεῖναι καὶ δεύτερον· τῷ γὰρ βεβλημένῳ τῶν πολεμίων τινὸς παραστάντος καὶ τὸ βέλος ἐξειρυμένου, τοξεῦσαι αὖτις καὶ τυχόντα ἐπὶ τῷ προτέρῳ καὶ τοῦτον κατακτεῖναι. τοῦτο ἰδομένους τοῦ παιδὸς τὸ ἔργον τοὺς μὲν πολεμίους θώματι ἐνέχεσθαι μυρίῳ, τοὺς δὲ πολιήτας καὶ ἐπὶ μέζον αὐτοῦ τῇ προθυμίῃ προερχομένου ἐπισχεῖν καὶ ἀναρπάσαι μιν, φόβῳ σχομένους μή τινι ἄρα παλιγκότῳ ἐπὶ παραδόξοις οὕτως ἐκ φθόνου δαίμονος ἐγκυρήσῃ.

ταῦτα μὲν δὴ οὕτως ἐγίγνετο. πρὸς δὲ τὰ ἐπιφερόμενα ἐκ τῶν μηχανημάτων καὶ πολλὰ ἀντιτεχνησαμένων τῶν ἀπὸ τοῦ τείχεος, τὰ μάλιστα λόγου ἄξια καὶ ἀφηγήσιος ἐπυθόμην γενέσθαι τούτοισι, ταῦτα σημανέω. τῇ μὲν ὦν ἀπὸ τῶν πυρφόρων βελέων ἐλπιζομένῃ ὠφελίῃ κατὰ πάντων ὁμοίως τῶν μηχανημάτων ἐχρέοντο. τὰ δὲ πυρφόρα ταῦτα βέλεα ἦν τοιάδε· ἀντὶ τῆς ἄρδιος τῆς πρὸς τῷ ἄκρῳ τοῦ ὀιστοῦ εἶχε ταῦτα τάπερ δὴ μεμηχάνητο ὥστε τὸ πῦρ αὐτὸ ἐπιφέρειν· ταῦτα δὲ ἦν σιδήρεα, ἔχοντα ἔνερθεν ἐκ τοῦ πυθμένος κεραίας ἐπεγκεκλιμένας· αἱ δὲ κεραῖαι χωρὶς ἐπ' ἑωυτέων ἐλαυνόμεναι, ἔπειτα καμπτόμεναι, κατὰ κορυφὴν πρὸς ἀλλήλας συνήγοντο.

συναφθεισέων δὲ τούτων ἐς ἄκρον ἀκὶς ἰθείη καὶ ὀξυτάτη ἀπὸ πασέων ἐξήιε· τῆσδε δὴ μεμηχανημένης οὕτως ἔργον ἦν, κατ' ὅτεο ἐνεχθείη, προσπεπερονημένην μιν ἐνεστάναι. ταύτης μὲν τῆς ἀκίδος ἔργον ἦν τοῦτο. τὸ δ' ἐπὶ τῷ πυρὶ σπουδαζόμενον ὧδε ἐνηργέετο· καμπτόμεναι αἱ κεραῖαι κόλπον κοῖλον, κατὰ τὸν διεστεῶσαι ἦσαν ἀπ' ἀλληλέων, ἐποίεον, οἷον δὴ καὶ αἱ τῶν οὕτως ἐχουσέων γυναικῶν ἠλακάται, περὶ ἃς δὴ στρέφεται τὸ εἴριον ἔξωθεν περιβαλλόμενον, ἀπ' ὧν δὴ τὸν στήμονα κατάγουσι· μεταξὺ τούτου τοῦ κόλπου ἔσω στυππεῖον ἢ καὶ ξύλα λεπτὰ θείου αὐτοῖσι προσπλασσομένου ἢ καὶ τῷ Μηδείης ἐλαίῳ καλεομένῳ αὐτὰ χρίσαντες ἐνετίθεσαν. τοῦ δ' ὦν ἀτράκτου τοξευομένου ἤτοι ὑπὸ μηχανῆς ἢ καὶ τοξοτέων τὰ ἐνεχόμενα ὑπὸ τῆς ῥύμης ἐξήφθη τε καὶ ἁφθέντα φλόγα ἐποίεε. τοιούτοισι μὲν δὴ κατὰ πάντων τῶν μηχανημάτων ἐχρέοντο, καὶ ἀπὸ τούτων πολλῶν ἅμα ἐκπεμπομένων ὠφελίη τις ἐγίγνετο, ἀπὸ δὲ ὀλίγων ἢ σμικρὴ ἢ οὐκ ὦν δή τις τοσαύτη προσήιε· ἢ γὰρ ὑπὸ τῶν βυρσέων ἔργοντο ἢ καὶ ὑπὸ σβεστηρίων πολλῶν μηχανημάτων.

Τόδε δὲ παρὰ μὲν Μακεδόνων αὐτῶν οὐκ 2
ἤκουσα, ἐν δ' ἑτέρῃ πολιορκίῃ ἔμαθον ἀντιτεχνηθῆναι πρὸς τὰ πυρφόρα ταῦτα βέλεα, Κελτῶν προσκατημένων πόλει Τούρωνι καλεομένῃ. ἔστι δὲ αὕτη χώρης τῆς Γαλατίης τῶν ἐν τῇ Ἑσπέρῃ κατοικημένων ἔθνεος τοῦ Λουγδονησίου. χρόνος δέ, κατ' ὃν [ἔτος] προσεκατέατο τῇ πολιορκίῃ, ἦν ἐν τῷ δὴ Γαλατίῃ πᾶσα καὶ τὰ ταύτῃ προσεχέα ἔθνεα ἀρχῇ τῇ Ῥωμαίων οὐ πιθέσκετο, ἀλλὰ ἀπέστη καὶ τοῖσι ἐπανεστηκόσι συνεφρόνεε. τότε γὰρ τῶν Κελτῶν τῶν πέρην Ῥήνου ἐπιστρατευσαμένων μοίρῃ ἀπὸ

τούτων ἀποσχισθεῖσα καὶ προσκατημένη τῇ πόλει τῇ λελεγμένῃ, καταφλεχθεισέων σφι πολλέων μηχανήσασθαι ἐξόπισθεν τῶν μηχανέων, ἔλυτρα ὀρύξαντες πλέα ὕδατος ταῦτα ἐποίεον, ἔπειτα μολυβδίνους στεγανοὺς ἀγωγοὺς τοὺς ὑποδεξομένους καὶ πα[ράξοντας τὸ ὕδωρ .... [Exc. de stratagem. in codice montis Atho in Wescheri Poliorceticis p. 342 — 346.]

EUNAPII FRAGMENTA.

Ἀνεγνώσθη Εὐναπίου Χρονικῆς ἱστορίας τῆς μετὰ Δέξιππον νέας ἐκδόσεως ἐν βιβλίοις τεσσαρεσκαίδεκα. ἄρχεται μὲν τῆς ἱστορίας ἀπὸ τῆς Κλαυδίου βασιλείας, ἐς ὃν Δεξίππῳ ἡ ἱστορία καταλήγει, ἀποτελευτᾷ δὲ εἰς τὴν Ὁνωρίου καὶ Ἀρκαδίου τῶν Θεοδοσίου παίδων βασιλείαν, ἐκεῖνον τὸν χρόνον τέλος τῆς ἱστορίας ποιησάμενος, ὃν Ἀρσάκιος μὲν τοῦ χρυσοῦ τῆς ἐκκλησίας στόματος Ἰωάννου ἀπελαθέντος εἰς τὸν ἀρχιερατικὸν θρόνον ἀνηγμένος ἱεράτευεν, ἡ δὲ τοῦ βασιλεύοντος Ἀρκαδίου γυνὴ κατὰ γαστρὸς ἔχουσα καὶ ἀμβλώσασα τὸν βίον ἀπέλιπεν. οὗτος ὁ Εὐνάπιος Σαρδιανὸς μὲν γένος ἐστί· τὰς γὰρ ἐν Λυδίᾳ Σάρδεις ἔσχε πατρίδα· δυσσεβὴς δὲ τὴν θρησκείαν ὤν, τὰ Ἑλλήνων γὰρ ἐτίμα, τοὺς μὲν εὐσεβείᾳ τὴν βασιλείαν κοσμήσαντας παντὶ τρόπῳ καὶ ἀνέδην κακίζων διασύρει, καὶ μάλιστά γε τὸν μέγαν Κωνσταντῖνον, ἐξαίρει δὲ τοὺς δυσσεβεῖς, καὶ τῶν ἄλλων πλέον Ἰουλιανὸν τὸν παραβάτην, καὶ σχεδόν τι τὸ τῆς ἱστορίας αὐτῷ εἰς τὸ ἐκείνου ἐγκώμιον συντεθὲν ἐξεπονήθη. ἔστι δὲ καλλιεπὴς τὴν φράσιν, εἰ περιέλοι τις αὐτῷ τῶν λόγων τὸ ἀλεκτρυονῶδες καὶ ἐλαφωδέστερον καὶ συωδέστερον, καὶ δὴ καὶ

τοὺς ἱερακώδεις καὶ κορακώδεις καὶ πιθηκώδεις καὶ τὸ ποταμῶδες δάκρυον καὶ τὰ ὅμοια· τούτοις γὰρ καὶ τὴν ἄλλην τῶν ὀνομάτων περιλυμαίνεται καὶ διανοθεύει εὐγένειαν. καὶ τροπαῖς μὲν κέχρηται παραβόλως, ὅπερ ὁ τῆς ἱστορίας οὐκ ἐθέλει νόμος, ἀφαιρεῖται δὲ τὸ λυποῦν ἡ τῆς λέξεως ἔμφασις τὰ πολλὰ καὶ ἀστειότης. τῇ συνθήκῃ δὲ καὶ τῷ σαφεῖ πρὸς ἱστορίαν καὶ ταῖς περιόδοις συμμέτρως καὶ οἰκείως ἔχει· πλὴν ἐνιαχοῦ δικανικώτερον μᾶλλον ἢ ἱστορικώτερον μεστοῖ καὶ περιβάλλει τὸν λόγον. νεωτερίζει δ' οὐκ ὀλίγα καὶ περὶ τὰς συντάξεις, πλὴν οὐκ εἰς τὸ ἄχαρι οὐδ' εἰς τὸ ταῖς μεθόδοις λαβὴν ἐπιδοῦναι.

Δύο δὲ πραγματείας τὴν αὐτὴν περιεχούσας ἱστορίαν συνεγράψατο, πρώτην καὶ δευτέραν. καὶ ἐν μὲν τῇ πρώτῃ πολλὴν κατὰ τῆς καθαρᾶς ἡμῶν τῶν Χριστιανῶν πίστεως κατασπείρει βλασφημίαν καὶ τὴν Ἑλληνικὴν ἀποσεμνύνει δεισιδαιμονίαν, πολλὰ τῶν εὐσεβῶν βασιλέων καθαπτόμενος· ἐν δὲ τῇ δευτέρᾳ, ἣν καὶ νέαν ἔκδοσιν ἐπιγράφει, τὴν μὲν πολλὴν ὕβριν καὶ ἀσέλγειαν, ἣν κατὰ τῆς εὐσεβείας ἐσκέδαξεν, ὑποτέμνεται, τὸ δὲ λοιπὸν τῆς συγγραφῆς σῶμα συνείρας νέαν ἔκδοσιν, ὡς ἔφημεν, ἐπιγράφει, ἔτι πολλὰ τῆς ἐκεῖσε λύσσης ὑποφαίνουσαν. ἀμφοῖν δὲ ταῖς ἐκδόσεσιν ἐν παλαιοῖς ἐνετύχομεν βιβλίοις, ἰδίως ἑκατέρᾳ ἐν ἑτέρῳ τεύχει καὶ ἑτέρῳ συντεταγμένῃ· ἐξ ὧν αὐτῶν καὶ τὴν διαφορὰν ἀναλεξάμενοι ἔγνωμεν. συμβαίνει οὖν ἐν τῇ νέᾳ ἐκδόσει πολλὰ τῶν χωρίων διὰ τὰς γεγενημένας τῶν ῥητῶν περικοπὰς ἀσαφῶς ἐκκεῖσθαι, καίτοι φροντιστής ἐστι τοῦ σαφοῦς· ἀλλ' ὅτῳ τρόπῳ λέγειν οὐκ ἔχω, μὴ καλῶς κατὰ τὰς περικοπὰς ἁρμόσας τοὺς λόγους ἐν τῇ δευ-

τέρᾳ ἐκδόσει τὸν νοῦν λυμαίνεται τῶν ἀναγινωσκομένων. ἐν οἷς καὶ τὸ τέλος. [Photius Bibl. cod. 77.]

Εἴποι δ᾽ ἄν τις οὐ γράψαι αὐτὸν ἱστορίαν, ἀλλὰ μεταγράψαι τὴν Εὐναπίου, τῷ συντόμῳ μόνον διαφέρουσαν, καὶ ὅτι οὐχ, ὥσπερ ἐκεῖνος, οὕτω καὶ οὗτος Στελίχωνα διασύρει. τὰ δ᾽ ἄλλα κατὰ τὴν ἱστορίαν σχεδόν τι ὁ αὐτὸς καὶ μάλιστα ἐν ταῖς τῶν εὐσεβῶν βασιλέων διαβολαῖς. δοκεῖ δέ μοι καὶ οὗτος δύο ἐκδόσεις, ὥσπερ κἀκεῖνος, πεποιηκέναι· ἀλλὰ τούτου μὲν τὴν προτέραν οὐκ εἶδον· ἐξ ὧν δὲ ἣν ἀνέγνωμεν ἐπέγραψε Νέας ἐκδόσεως συμβαλεῖν ἦν καὶ ἑτέραν αὐτῷ, ὥσπερ καὶ τῷ Εὐναπίῳ, ἐκδεδόσθαι. σαφὴς δὲ μᾶλλον οὗτος καὶ συντομώτερος, ὥσπερ ἔφημεν, Εὐναπίου· καὶ ταῖς τροπαῖς, εἰ μὴ σπάνιον, οὐ κεχρημένος. [Idem cod. 98, de Zosimo.]

ΙΣΤΟΡΙΑ Η ΜΕΤΑ ΔΕΞΙΠΠΟΝ.

ΝΕΑ ΕΚΔΟΣΙΣ.

ΠΡΟΟΙΜΙΟΝ.

Δεξίππῳ τῷ Ἀθηναίῳ κατὰ τοὺς Ἀθήνησιν ἄρ- 1
χοντας, ἀφ᾽ οὗ παρὰ Ἀθηναίοις ἄρχοντες, ἱστορία συγγέγραπται, προσαριθμουμένων καὶ τῶν Ῥωμαϊκῶν ὑπάτων, καὶ πρό γε αὐτῶν τῶν ὑπάτων τε καὶ ἀρχόντων ἀρξαμένης τῆς γραφῆς. τὸ δὲ ἓν κεφάλαιον τῆς ἱστορίας τὰ μὲν ἀνωτέρω καὶ ὅσα τὸ ποιητικὸν νέμεται γένος ἀφεῖναι καὶ ἐπιτρέψαι τῷ πιθανῷ καὶ μᾶλλον ἀναπείθοντι τὸν ἐντυγχάνοντα, τὰ δὲ προϊόντα καὶ ἐπὶ πλέον μαρτυρούμενα συνενεγκεῖν καὶ κατακλεῖσαι πρὸς ἱστορικὴν ἀκρίβειαν καὶ κρίσιν ἀληθεστέραν. βιάζεται γοῦν καὶ συναριθμεῖται τὸν

χρόνον ἔς τε τὰς ὀλυμπιάδας περιγράφων καὶ τοὺς ἐντὸς ἑκάστης ὀλυμπιάδος ἄρχοντας. πρόθυρα δὲ κάλλους ἀνάμεστα προθεὶς τῆς συγγραφῆς καὶ προϊὼν τά τε ἔνδον ἐπιδείξας σεμνότερα, τὸ μὲν μυθῶδες καὶ λίαν ἀρχαῖον ἀφαιρεῖ καὶ ἀφίησιν ὥσπερ φάρμακον παλαιὸν καὶ ἀδόκιμον ἐς τοὺς συντεθεικότας· Αἰγυπτίους δὲ χρόνους ἀναλεγόμενος καὶ συνωθούμενος ἐπὶ τὰ πρῶτα καὶ παλαιότερα τῶν παρ᾽ ἑκάστοις ἀρχῶν, τοὺς ἡγεμόνας καὶ πατέρας τῆς ἱστορίας ἐκτίθησιν, ἔνδηλος ὢν καὶ σχεδόν τι μαρτυρόμενος ὅτι τῶν ἀπιστουμένων ἕκαστον ἕτερος προλαβὼν εἴρηκεν. καὶ περιφέρει γε τὴν ἱστορίαν ἐκ πολλῶν καὶ παντοδαπῶν τῶν ταῦτα εἰρηκότων ὥσπερ ῥῶπόν τινα καὶ ποικίλον καὶ χρήσιμον ἐς ἓν μυροπώλιον τὴν ἰδίαν ἐξήγησιν κατακεκλειμένην καὶ συνηγμένην. πάντα δέ, ὅσα πρός τε τὸ κοινὸν ἁπάντων ἀνθρώπων ἀξιόλογα καὶ κατ᾽ ἄνδρα δι᾽ ἀρετὴν περιττοῦ τινος ὀνόματος τετυχηκότα, λάβρως ἐπιδραμὼν καὶ διαθέμενος τῷ λόγῳ, τελευτῶν ἐς Κλαύδιον καταλύει τὴν συγγραφήν, καὶ Κλαυδίου τῆς βασιλείας ἔτος τὸ πρῶτον, ἐς ὃ δὴ καὶ τῆς βασιλείας ἤρχετο καὶ ἐτελεύτα, ἐνιαυτὸν ἄρξας Ῥωμαίοις ἕνα· οἱ δὲ καὶ ἕτερον αὐτῷ χαρίζονται. εἶτα ὀλυμπιάδας καταλογίζεται τόσας καὶ τόσας καὶ ὑπάτους καὶ ἄρχοντας ἐπὶ ταύταις, τὴν χιλιάδα τῶν ἐτῶν ὑποβαλών, ὥσπερ ἀγωνιῶν, εἰ μὴ πολλῶν λίαν ἐτῶν ἀποδοίη λόγον τοῖς ἐντυγχάνουσιν. ἐγὼ δὲ ὁ τοῦτο τὸ ἔργον ἐς νοῦν βαλόμενος, ὑπ᾽ αὐτοῦ Δεξίππου ταῦτα ἔχων ἐκδιδάσκεσθαι καὶ συλλαμβάνειν ὅσος καὶ ἡλίκος ὁ κίνδυνος κατὰ τὸν ἐνιαυτὸν ἕκαστον ἱστορίαν γράφειν, καὶ πρὸς τοὺς ἐντυγχάνοντας ὁμολογεῖν ὅτι ταῦτα οὐκ ἔστιν ἀληθῆ κατὰ τοὺς χρό-

νους, ἀλλὰ τῷ μὲν οὕτως, τῷ δὲ ἑτέρως ἔδοξε, καὶ περιφανῶς ἑαυτοῦ κατηγορεῖν, ὥσπερ ἐκεῖνος, ὅτι χρονικὴν ἱστορίαν γράφων πλανωμένην τινὰ καὶ μεστὴν τῶν ἀντιλεγόντων, ὥσπερ ἀπρόεδρον ἐκκλησίαν, ἐκτίθησι τὴν γραφήν, ὀξέως δὲ καὶ τῆς Βοιωτίας ἀκούων παροιμίας, ὅτι οὕτως αὐλεῖν οὐ πρέπει, κἀκεῖνα προσελογιζόμην ὅτι τέλος ἱστορίας καὶ σκοπὸς ἄριστος τὰ πραχθέντα ὅτι μάλιστα δίχα τινὸς πάθους ἐς τὸ ἀληθὲς ἀναφέροντα γράφειν, οἱ δὲ ἀκριβεῖς λογισμοὶ τῶν χρόνων, ὥσπερ ἄκλητοι μάρτυρες, αὐτομάτως ἐπεσιόντες ἐς ταῦτα ὠφελοῦσιν οὐδέν. τί γὰρ Σωκράτει πρὸς σοφίαν καὶ Θεμιστοκλεῖ πρὸς δεινότητα συντελεῖται παρὰ τῶν χρόνων; ποῦ δὲ ἐκεῖνοι καλοὶ κἀγαθοὶ διὰ θέρος ἦσαν; ποῦ δὲ τὰς ἀρετὰς ἐφ' ἑαυτῶν, καθάπερ τὰ φύλλα, πρὸς τὴν ὥραν τοῦ ἔτους αὐξανομένας καὶ ἀπορρεούσας παρείχοντο; ἀλλ' ἴσως ἕκαστος αὐτῶν τὸ γοῦν ἐς φύσιν καὶ δύναμιν ἀγαθὸν διαρκῶς καὶ συνεχῶς ἐν ταῖς ἐνεργείαις ἀπεδίδου καὶ διέσωζεν. τίς οὖν λόγος πρὸς ἱστορίας τέλος εἰδέναι καὶ γιγνώσκειν ὅτι τὴν ἐν Σαλαμῖνι ναυμαχίαν ἐνίκων οἱ Ἕλληνες κυνὸς ἐπιτέλλοντος; τί δ' ὄφελος ἦν τοῖς ἐντυγχάνουσιν ἐς ὠφέλειαν ἱστορικῆς χρείας, εἰ κατὰ ταύτην ἐτέχθη τὴν ἡμέραν ὁ δεῖνα καὶ μελοποιὸς ἀνέσχεν ἢ τραγῳδὸς ἄριστος; εἰ γὰρ ἔσχατος ὅρος τῶν περὶ τὴν ἱστορίαν καλῶν τὸ πολλῶν καὶ ἀπείρων πραγμάτων ἐν ὀλίγῳ χρόνῳ καὶ διὰ βραχείας ἀναγνώσεως πεῖραν λαβεῖν καὶ γενέσθαι γέροντας ἔτι νέους ὄντας δι' ἐπιστήμην τῶν προγεγονότων, ὥστε τίνα μὲν φευκτέον, τίνα δὲ αἱρετέον, εἰδέναι, τοὐναντίον ἔμοιγε δοκοῦσι ποιεῖν οἱ περιττοῖς καὶ ἀπηρτημένοις ἐπεισοδίοις ὥσπερ ξενικοῖς ἡδύσμασι τὸ τῆς ἱστορίας ἐδώ-

διμον καὶ χρήσιμον ἀνατρέποντες καὶ διαφθείροντες ἁλμυρῷ λόγῳ πότιμον ἀκοήν. κωλύει μὲν γὰρ ἴσως οὐδὲν καὶ περιττόν τι μαθεῖν, ἄλλως τε, ὥς φησιν αὐτὸς Δέξιππος, τῶν μὲν χρονικῶν ἢ πάντων ἢ τῶν πλείστων διαπεφωνημένων, τῶν δὲ ὑπερώρων καὶ φανερῶν πράξεων συμπεφωνημένων. τίς γὰρ οὕτω περιβόητος ἅπασιν ὅσοι λόγων ἥψαντο καὶ κατέλιπον λόγους ὡς Λυκοῦργος Λακεδαιμόνιος; ἐς ὃν καὶ ἡ τοῦ θεοῦ μαρτυρία διὰ στόματος ἅπασι θεὸν ἄντικρυς ἀνακαλοῦντος ἐπὶ τῷ θεῖναι τοὺς νόμους. τίς δὲ τῶν ταῦτα εἰρηκότων ἑτέρῳ συμφέρεται περὶ τῶν ἡνίκα ἐτίθει τοὺς νόμους χρόνων; ἀλλὰ πάντες, ὥσπερ οἰκίαν ἢ στῦλον δοκιμάζοντες ἤ τι τῶν ὁμοίων, ὅτι μὲν ἔστι καὶ γέγονε συντίθενται καὶ κατανεύουσι, περὶ δὲ τοῦ πότε [ἀπορίᾳ addit Nieb.] παντοδαπῇ ἐμπεπλήκασι τὰ βιβλία. ὁπότε καὶ Θουκυδίδης ὁ πάντων ἀκριβέστατος τὸν μέγαν καὶ πολυύμνητον ἐκεῖνον πόλεμον ἀρχήν τινα καὶ προφάσεις φησὶ λαβεῖν πρὸς δευτέραν κίνησιν ἐκ διαφορᾶς ἡμερῶν, ἣ περὶ πόλεων ἁλώσεως αὐτοῖς ἐγένετο, καὶ οὐδὲ αὐτὸς ἔχει διαιτᾶν σαφῶς καὶ ἀκριβῶς τίνες ἐπεκάλουν δικαιότερον, ἀλλ' ἐπὶ τὰς ἡμέρας ἐλθὼν ὑποδηλοῖ καὶ παραδείκνυσιν ὅτι κενή τίς που καὶ ἀχρεῖος ἡ περὶ τοὺς χρόνους διατριβὴ καὶ σχολή.

Τοιαῦτά τινα καὶ πλείω ἕτερα πρὸς ἐμαυτὸν ἐκκλησιάσας καὶ βουλευσάμενος, καὶ τοῖς ἐς τὰ χρονικὰ σπεύδουσιν καὶ ἀνεστηκόσιν ὅμοιά τινα παρεγγυῶν, ὡς ἡ περὶ τὰς ὥρας καὶ ἡμέρας ἀκρίβεια πλουσίων οἰκονόμοις τισὶ καὶ λογισταῖς πρέπει, καὶ νὴ Δία γε τοῖς ἐς τὰ οὐράνια κεχηνόσι, καὶ ὅσοι πρὸς ἀριθμῷ φανερῶς κάθηνται, αὐτὸς δὲ προαγορεύων πόρρωθεν τοῖς ἐντυγχάνουσιν ὅτι πιστεύσας ἐμαυτῷ δύνασθαι

γράφειν γεγονότα τε καὶ γιγνόμενα πρὸς τόδε τὸ ἔργον ὥρμησα, τὸ μὲν κατ' ἐνιαυτὸν καὶ καθ' ἡμέραν ὥσπερ ἀπροσδιόνυσόν τινα ῥῆσιν παραιτησάμενος, τὸ δὲ κατὰ χρόνους, οἳ τοῖς βασιλεῦσι περιγράφονται, κρίνας ἀληθέστερον. ἀναγνώσεται γοῦν τις ὅτι ταῦτα ἐπὶ τοῦδε τοῦ βασιλέως ἢ τοῦδ' ἐπράττετο· καθ' ὃν δὲ ἐνιαυτὸν καὶ ἡμέραν, ἕτερος ἐς τὴν ἀπάτην χορεύεταί τις· ἐγὼ δὲ καὶ τὸ πιστεύειν ἐμαυτῷ γράφω, ἀνδράσιν ἑπόμενος, οἳ τοῦ καθ' ἡμᾶς βίου μακρῷ προεῖχον κατὰ παιδείαν καὶ διατεταμένως ἐνῆγον μὴ σιωπᾶν τὰ κοινὰ τῶν ἔργων καὶ ὅσα ὁ καθ' ἡμᾶς ἔφερε χρόνος καὶ τὰ πρὸ ἡμῶν μετὰ τὴν Δεξίππου γραφὴν οὔπω λόγου τε καὶ ἱστορίας ἐμφανοῦς τετυχηκότα. ἐγίγνετο δὲ ἐκείνοις τε κἀμοὶ κοινὸν τὸ ἔργον τόδε, καὶ πάντα γε ἐς τὸν Ἰουλιανὸν ἀναφέρειν ἐδόκει, ὃς ἐβασίλευσε μὲν ἐφ' ἡμῶν, τὸ δὲ ἀνθρώπινον αὐτὸν ὥσπερ τινὰ θεὸν προσεκύνουν ἅπαντες. λόγου δὲ ἦν ἄξιον καὶ καλῶς ἔχειν ἐδόκει, καθάπερ τοῖς ἕνεκεν ἐρωμένης .... νοῦσι ποιηταῖς οἱ γενομένοις ἀρίστοις, οὕτω καὶ ἡμῖν ἀρχήν τινα καὶ γένεσιν προθεμένοις τὴν ... παρόντα καὶ ... τῶν προ ... ἐδόκει .... φὴν ... κόντων χρόνων ... μένον καὶ ... ψυχῆς ἀναφέρουσι ... τὸ εἴδωλον ... δεῖν ... ἐν ἀλλοτρίοις.

Ὅτι ἐξουσία ἐστὶ ... πονηρᾶς ... ὑπὸ λόγου ... παρακινεῖ καὶ ... χρόνον ... χρηματίζει ... ἀρχὰς ... γὰρ μήποτε ... οὕτω δὲ τι ... [Exc. de sentent. (cod. p. 263, 264, 313, 314) p. 248—253 Mai., 56—61 Niebuhr.]

ΑΥΡΗΛΙΑΝΟΣ.

[Σελευκίς· ὄρνεόν ἐστιν εὔπεπτον καὶ ἀκόρεστον καὶ πανοῦργον [καὶ τὰς ἀκρίδας χανδὸν λαφύσσον 2

addunt libri praeter A. et Photium] Photius s. Suidas. „Haec verba credo Suidam hausisse ex Eunapio, quod Zosimus I, 57, 6, in ea parte Historiae quam e Nostro sumpsit, *Σελευκιάδας* memoret, *αἳ ταῖς ἀκρίσι συμπεριίπτανται καὶ τοῖς στόμασι ταύτας δέχονται.*“ Boiss. Sed quum gl. sit Photii Eunapium non excerpentis, vix haec sunt illius.

ΠΡΟΒΟΣ.

3 *Κατακαίνειν, ἀναιρεῖν, φονεύειν. "ὁ δὲ τοξότης ἠφίει βέλος, εὔστοχος ὢν τοσούτους κατακαίνειν, ὅσα ἠφίει βέλη," Εὐναπιός φησιν**). [Suidas.]

ΚΑΡΙΝΟΣ.

4 *Καρῖνος, Κάρου τοῦ βασιλέως υἱός, γενόμενος ἐν ἐξουσίᾳ καὶ βουλήσεως κύριος, ἀνέδραμε τηλικοῦτον κακὸν ἐς τυραννίδα ὥστε ἀπέδειξε χρυσὸν τὴν τραγῳδουμένην τυραννίδα· οὕτω καὶ τοὔνομα τοῖς ἔργοις μακρῷ παρῆλθε. παίδων μὲν γὰρ εὖ γεγονότων ὕβρεις διὰ τὸ σύνηθες οὐδὲ ὕβρεις ἐνομίσθησαν, ἀλλ' ἦν ἐγκύκλιον αὐτῷ καὶ πρόχειρον τοιαῦτα ἁμαρτάνειν· ὁ δὲ ἐγκλήματά τε ἀνέπλαττε καὶ ἐδίκαζε τοῖς ἀδικουμένοις καὶ τῶν δικαζομένων οὐδεὶς ἐσώζετο, ὅπου γε πολλῆς οὔσης καὶ ἀδιηγήτου τῆς φθορᾶς παρανηλίσκοντό τινες τῶν εὐδαι-*

*) Hoc fragmentum pertinet ad illam Historiae partem qua Eunapius narrabat Palmyram ab Aureliano vel Cremnam a Probi militibus obsessam. Rem illustrat Zosimus I, 54, 7 et 70, 1. Crediderim Eunapiana haec esse referenda ad Cremnae obsidionem; nam Zosimus loco posterius citato Nostri verba ante oculos habuisse videtur: *Συνῆν τις ἀνὴρ αὐτῷ* (Lydio in Cremna obsesso) *μηχανάς τε κατασκευάζειν εἰδὼς καὶ ἐκ μηχανῶν εὐστόχως ἀφιέναι βέλη δυνάμενος, ὥστε ὁσάκις ἐνεκελεύσατο ὁ Λύδιος αὐτῷ κατά τινος τῶν πολεμίων ἀφιέναι βέλος, μὴ διαμαρτεῖν σκοποῦ.* Boissonadus.

μόνων, ὥσπερ ἐν κοινοῖς δείπνοις ἀλεκτορίδες, ἐς τὴν Καρίνου τρυφήν. μεμνῆσθαι δὲ τῶν κατακοπτομένων ἔφασκε, τῶν μὲν ὡς οὐκ ἐπήνεσαν αὐτοῦ τὸ κάλλος, τῶν δὲ ὅτι λέγοντα, ὅτε ἦν μειράκιον, οὐκ ἐθαύμασαν, ὡς ἐβούλετο· ἀπώλλυντο δέ τινες καὶ γελάσαντες ἐναντίον αὐτοῦ ποτε. καὶ πάντα ἦν αὐτοῦ βαρύτερα διοσημίας, καὶ ἐλύττα ἐν μέσοις τοῖς ὑπηκόοις *). [Suidas.]

ΔΙΟΚΛΗΤΙΑΝΟΣ.

[Suidas v. *ἐσχατιά*· "ὁ *Διοκλητιανὸς λόγον ποιού-* 5
μενος τῶν πραγμάτων ᾠήθη δεῖν καὶ δυνάμεσιν ἀρκούσαις ἑκάστην ἐσχατιὰν ὀχυρῶσαι καὶ φρούρια ποιῆσαι". Eunapio haec vindicanda probabiliter censet Reitemeier. ad Zosimum II, 34, 2: *Τῆς γὰρ Ῥωμαίων ἐπικρατείας ἁπανταχοῦ τῶν ἐσχατιῶν τῇ Διοκλητιανοῦ προνοίᾳ κατὰ τὸν εἰρημένον ἤδη μοι* (sc. in libri I parte nunc deperdita) *τρόπον πόλεσι καὶ φρουρίοις καὶ πύργοις διειλημμένης, κτλ.* Ex ipso Zosimo Suidiana fluxisse putavit Valesius ad Ammian. Marcell. XXIII, 5, 2, p. 256. MÜLLERUS.]

[Idem: *Ἰόβειοι καὶ Ἑρκούλειοι, ὀνόματα τάξεων.* 6
τάγματα γάρ τινα δαίμονος ἐπώνυμα. Ἰόβις γὰρ παρὰ Ἰταλοῖς ὁ Ζεύς, Ἑρκούλιος δὲ ὁ Ἡρακλῆς. Eunapium de his narrasse ex eoque haec hausisse lexi-

---

*) Haec esse Eunapii patet e Suida vv. *διοσημία*, *ἐγκύκλιον*, *μακρῷ*, *ὕβρις*, ubi particulae huius loci afferuntur, nominato auctore. Fortasse huc pertinet etiam Suidas v. *ἀτάσθαλα* (v. fr. 89). Ceterum quum apud Suidam proxime antecedant haec: *Καρικὸν θῦμα· ἐπὶ τῶν ἄσαρκα ἢ ἄβρωτα μέλη θυόντων· οἱ γὰρ Κᾶρες κύνα θύουσιν. Εὐνάπιος*, probabiliter Kusterus statuit Eunapii mentionem non suo esse loco factam, sed ad ea quae de Carino sequuntur pertinere. Inclusa e Suida v. *μακρῷ* suppleta sunt. MÜLLERUS.

cographum suspicatur Boissonadus, collato Zosimo III, 30, 4: *Ἐτετάχατο δὲ ἐν τούτῳ Ἰοβιανοὶ καὶ Ἑρκουλιανοί. ταγμάτων δὲ ταῦτα ὀνόματα, παρὰ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ καταστάντα, φερόντων τὰς τούτων ἐπωνυμίας· ὁ μὲν γὰρ Διός, ὁ δὲ Ἡρακλέους ἐπώνυμον εἶχε.* Et II, 42, 3: *Ἰοβιανῶν καὶ Ἑρκουλιανῶν· τάγματα δὲ ταῦτα (δαίμοσιν* supplendum censet Boiss.) *ἐπώνυμα.* Ceterum conf. Valesius in Ammian. XXV, 6, 2, et Schwarzium in Mamertini Paneg. p. 93. MÜLLERUS.]

ΚΩΝΣΤΑΝΤΙΝΟΣ.

7[a] *Κωνσταντῖνος μὲν οὖν καὶ Ἀβλάβιον τιμῶν ἐκολάζετο, καὶ ὅπως γε ἐτελεύτα ἐν τοῖς περὶ ἐκείνου γέγραπται. Ἀβλαβίῳ δὲ τὸν παῖδα κατέλιπε Κωνστάντιον, συμβασιλεύσαντα μὲν αὐτῷ, διαδεξάμενον δὲ τὴν ἀρχὴν τοῦ πατρὸς σὺν Κωνσταντίνῳ καὶ Κώνσταντι τοῖς ἀδελφοῖς. ἐν δὲ τοῖς κατὰ τὸν θειότατον Ἰουλιανὸν ἀκριβέστερον ταῦτα εἴρηται.* [Eunapius Vit. Aedesii p. 25 Boiss. *)].

[ΚΩΝΣΤΑΝΤΙΟΣ.

7[b] .... *ἀλλ' ἡ μὲν παροιμία φησὶ τὸ θέρος ἐπὶ τῇ καλάμῃ φαίνεσθαι· τότε δὲ ὁ Κωνστάντιος ἐδείκνυ τοῦ πατρὸς ὤν.*

---

*) Ablabius, praefectus praetorio, invidia ductus in Sopatrum favore apud Constantinum maxime pollentem, machinis suis effecit ut aemulus capitali crimine circumventus iussu Constantini trucidaretur. Fuse rem exponit Eunapius l. c. p. 24. Ipse Ablabius deinde a Constantio (337 p. C.) supplicio affectus est. Zosimus II, 40: *Ἀνῃρέθη δὲ τότε Ἀβλάβιος ὁ τῆς αὐλῆς ὕπαρχος, τῆς Δίκης ἀξίαν αὐτῷ ποινὴν ἐπιθείσης, ἀνθ' ὧν ἐβούλευσε θάνατον Σωπάτρῳ τῷ φιλοσόφῳ, φθόνῳ τῆς Κωνσταντίνου πρὸς αὐτὸν οἰκειότητος.* De mortis genere vide Eunapium l. l. p. 25 seq. MÜLLERUS.

Ὅτι κατὰ τὸν Ἰουλιανὸν τὸν Καίσαρα δοκοῦν τῷ αὐτῷ Κωνσταντίῳ βεβουλεῦσθαι καλῶς ὁ χρόνος τὴν πεῖραν ἐς τὸ ἐναντίον ἔστρεφε, ταῖς τοῦ Καίσαρος ἀρεταῖς συνενθουσιώσης ἤδη τῆς τύχης, καὶ σχεδὸν ἑκάστης ἡμέρας ξένα καὶ ποικίλα φερούσης τῷ βασιλεῖ διηγήματα· ἐφ᾽ οἷς ὁ Κωνστάντιος δακνόμενος ἤδη καὶ δυσφορῶν ὑπὸ φθόνου, τοὺς ἡγουμένους τῶν φύσει πολεμίων ἐπετείχιζε τῷ Καίσαρι, καὶ τὴν ἑαυτοῦ προσετίθει τοῖς ἐχθροῖς δύναμιν, μόνα ὁρῶν τὰ ἡδέα, καὶ τὸ οἰκεῖον ξένον ὑπολαμβάνων, εἰ σὺν τῷ Καίσαρι σώζοιτο, καὶ τὸ ξένον οἰκεῖον, εἰ καταλύοι μεθ᾽ ἑαυτοῦ τὸν Καίσαρα· ὥστε ὁ πόλεμος ἐς τὸ ὕπουλον μεταβαλὼν καὶ τὸ φύσει πολέμιον ἐποίει σύμμαχον. [Exc. de sentent. (cod. p. 121) p. 253 Mai., 61—62 Niebuhr.]

ΠΡΟΟΙΜΙΟΝ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΛΟΓΟΥ.

Τὰ μὲν οὖν ἀπὸ τῆς Δεξίππου συγγραφῆς ἐς 8[a]
τοὺς Ἰουλιανοῦ καθήκοντα [καιροὺς] ὡς ἐνῆν μάλιστα διὰ τῶν ἀναγκαίων ἐπιτρέχουσιν ἱκανῶς ἐν τοῖς ἔμπροσθεν δεδήλωται· φέρεται δὲ ἐντεῦθεν ὁ λόγος ἐφ᾽ ὅνπερ ἐφέρετο ἐξ ἀρχῆς, καὶ ἀναγκάζει γε τοῖς ἔργοις ἐνδιατρίβειν ὥσπερ τι πρὸς αὐτὸν ἐρωτικὸν πεπονθότας, οὔτι μὰ Δία τεθεαμένους ἢ πεπειραμένους· κομιδῇ γὰρ ἦν ὁ γράφων τάδε παῖς, ἡνίκα ἐβασίλευσεν· ἀλλὰ δεινόν τι χρῆμα καὶ ἀπαραίτητον ἐς ἔρωτα τὸ κοινὸν ἀνθρώπων ἁπάντων πάθος καὶ τὸ τῆς περὶ αὐτοῦ δόξης ἀστασίαστον. πῶς γὰρ ἦν σιωπᾶν ὑπὲρ ὧν οὐδεὶς ἔφερε σιωπᾶν (σιωπὴν Nieb.); πῶς δὲ μὴ λέγειν ὅσα καὶ οἱ μὴ δυνάμενοι λέγειν ἀπὸ στόματος ἔφραζον, ἐς γλυκεῖάν τινα καὶ χρυσῆν διατριβὴν τὴν ἐκείνου ἀναφέροντες (μνήμην addit Nieb.,

ἀρχὴν Herwerden.); καὶ ὁ μὲν πολὺς ἄνθρωπος ταῦτα πάσχοντες ὅμως ἔλαττον ἐς τὸ γράφειν ἐξεβιάζοντο· τὸ δὲ ἐξαίρετον καὶ ὅ,τιπερ ἦν ἐν παιδείᾳ γνωριμώτατον, οὐδὲ ἀφιέντα ἠφίεσαν, ἀλλ' ἐνέκειντο παραθαρσύνοντες ὡς ἐπιληψόμενοι (συνεπιλ. Bekk.) τοῦ πόνου. ὁ δὲ ἐς τὰ μάλιστα γεγονὼς αὐτῷ γνώριμος, ὁ Περγαμηνὸς ἀνὴρ Ὀρειβάσιος, ἐκ φυσικῆς φιλοσοφίας ἰατρικὴν ἐπιτάττειν ἄριστος καὶ δρᾶν ἔτι θειότερος, καὶ ἀσεβήσειν ἐβόα περιφανῶς, εἰ μὴ συγγράφοιμι· καὶ τῶν γε πράξεων, πάσας δὲ ἠπίστατο παρὼν ἁπάσαις, μάλα ἀκριβῶς ὑπόμνημα συνετέλει πρὸς τὴν γραφήν· ὥστε οὐκ ἦν ἀναβολὴ καὶ βουλομένῳ ῥᾳθυμεῖν.

Τοῦτο ἐγένετο τὸ εὐτύχημα, καὶ πάντα ὥσπερ ὀστράκου μεταπεσόντος ἐπὶ τὸ βέλτιον ἐχώρησε Ῥωμαίοις. [Exc. de sentent. (cod. p. 121, 122) p. 254—255 Mai., 62—63 Niebuhr. Postrema ex Eunapio affert Suidas v. ὀστράκου περιστροφή.]

ΚΩΝΣΤΑΝΤΙΟΣ ΚΑΙ ΙΟΥΛΙΑΝΟΣ ΚΑΙΣΑΡ.

8b Ἐξιστάμενος, ἀντὶ τοῦ παραχωρῶν. "ὁ οὖν Μάρκελλος κύριος ἦν τῶν πραγμάτων, ὀνόματος μόνου καὶ σχήματος τῷ Ἰουλιανῷ ἐξιστάμενος, τὴν δὲ ἀληθεστέραν αὐτὸς ἀρχὴν μεταχειριζόμενος". [Suidas. Eunapii haec esse animadvertit Valesius ad Ammian. Marcell. XVI, 4, 3.]

9 [Ὅτι φησὶν Εὐνάπιος περὶ τοῦ παραβάτου Ἰουλιανοῦ·] Τῆς δὲ στρατείας ταύτης σφοδροτάτης τε ἅμα καὶ κλεινοτάτης τῶν πρὸ αὐτῆς γενομένων τὴν διήγησιν ἐς τήνδε τὴν γραφὴν ἐντείνοντες οὐ πεισόμεθα ταὐτὸν τοῖς ἐν ἡμέρᾳ δᾷδας ἀνασχοῦσιν, ἵνα τι κρυπτόμενον ἀνεύρωσιν, οὐδὲ ὑπὲρ ὧν ἱκανῶς

ἅμα καὶ συνενθουσιῶν τοῖς ἑαυτοῦ καλοῖς βιβλίδιον ὅλον τῇδε ἀναθεὶς τῇ μάχῃ διῆλθεν ὁ βασιλικώτατος καὶ ἐν λόγοις Ἰουλιανός, αὐτοὶ παραβαλούμεθα καὶ συνεκθήσομεν ἑτέραν γραφὴν τὰ αὐτὰ σημαίνουσαν, ἀλλὰ τοῖς μὲν βουλομένοις τὸ μέγεθος τῶν ἐκείνου λόγων τε καὶ ἔργων ἀνασκοπεῖν τὸ περὶ τούτων βιβλίον [ἀναγιγνώσκειν] ἐπιτάξομεν, καὶ πρὸς ἐκείνην φέρεσθαι τὴν ἀκτῖνα τῆς συγγραφῆς, ἐκ τῆς ἐνεργείας τῶν τότε ὑπ' αὐτοῦ πραχθέντων ἐπὶ τὴν τοῦ λόγου δύναμιν ἀπορρυεῖσαν καὶ διαλάμψασαν· αὐτοὶ δὲ ὅσον οὐ πρὸς ἅμιλλαν μειρακιώδη καὶ σοφιστικήν, ἀλλ' ἐς ἱστορικὴν ἀκρίβειαν ἀναστῆσαι καὶ διαπλάσαι τὸν λόγον, ἐπιδραμούμεθα τὰ γεγενημένα, συνάπτοντες τοῖς εἰρημένοις τὰ ἐχόμενα. [Exc. de sentent. (cod. p. 122) p. 255 Mai., 63—64 Niebuhr.]

Ὅτι Ἰουλιανὸς τοὺς ἀρχομένους καὶ τοὺς πολε- 10
μίους ἐδίδασκεν ἀρεταῖς τίσι δεῖ τὸν ὄντως βασιλέα κρατεῖν, καὶ ὡς ἀνδρεία μὲν καὶ ῥώμη καὶ χειρῶν κράτος πρὸς τοὺς ἀνθεστηκότας μόνον τῶν πολεμίων χρήσιμα, δικαιοσύνη δὲ μετ' ἐξουσίας ὥσπερ πηγή τις οὖσα τῶν ἀρετῶν καὶ τοὺς μὴ παρόντας χειροήθεις ἐμποιεῖ (τε ποιεῖν Bekk.) καὶ δουλοῦσθαι πέφυκε. τοιαύτας ὑποτείνων ἀρετὰς καὶ σπέρματα φιλοσοφίας ἐς τοὺς ὑπηκόους ἅπαντας ἀπὸ βήματος ἐπέταττε Ῥωμαίοις μηδένα Σαλίων ἀδικεῖν μηδὲ δῃοῦν ἢ σίνεσθαι τὴν ἰδίαν χώραν. ἰδίαν δ' ἀπέφαινε πᾶσαν αὐτοὺς δεῖν ὑπολαμβάνειν, ἣν ἄνευ μάχης καὶ πόνων ἔχουσιν· ὡς ἀναγκαῖον εἶναι πολεμίαν τὴν τῶν πολεμούντων ἡγεῖσθαι καὶ νομίζειν, οἰκείαν δὲ τὴν τῶν προσκεχωρηκότων.

Ὅτι εἰώθει Ἰουλιανὸς* ἀρχὴν νίκης, οὐ πολέμου τίθεσθαι. [Ibid. (cod. p. 284) p. 256 Mai., 64—65 Niebuhr.]

11 Τοῦτον δεξάμενος ἑταῖρον [ἐφ'] ἑαυτῷ συνιστάμενον εἶχεν· εἶτ' ἄλλος προσήει, καὶ πλῆθος ἦν· καὶ καθάπερ οἱ Πυθαγόρειοί φασι, μονάδος ἐπὶ δυάδα κινηθείσης οὐκέτι τὴν τῶν ἀριθμῶν ἠρεμεῖν φύσιν, ἀλλὰ διαχεῖσθαι καὶ ῥεῖν ἐς πολύ, οὕτω Χαριέττωνος Κερκίωνα προσλαβόντος αἵ τε πράξεις ἐπὶ πολὺ προήεσαν καὶ ὁ τῶν συνισταμένων ὄχλος ἀνὰ λόγον ἠκολούθει ταῖς πράξεσιν. [Ibid. (cod. p. 284) p. 257 Mai., 65 Nieb.]

Ἀνεῖχεν, ἐκώλυε. "Χαριέττων μὲν οὖν καὶ πρὸ τούτου φανερός τις ὢν καὶ ἀνυπόστατος τῷ τε πλεονάζοντι τοῦ δραστηρίου φοβῶν, ἀνεῖχεν ἀπὸ λῃστείας ἅπαντας." [Suidas. Eunapio haec vindicavit Valesius ad Ammian. XXII, 11. Conf. Zosimus III, 7, 4.]

Ἐδόκει γὰρ τὸ σῶμα γιγαντώδης εἶναι καὶ τὸν θυμὸν θηριώδης καὶ ἐς ἀγχίνοιαν τῶν συλλῃστευόντων ἁπάντων πολυπλοκώτερος. [Suidas v. γιγαντώδης. Haec ex eodem fonte ducta esse censet Maius, collato Zosimo III, 7, 1, qui de Chariettone: Ἀνήρ τις ἦν μέγεθος σώματος ὑπὲρ τοὺς ἄλλους ἅπαντας ἔχων καὶ τὴν ἀνδρείαν ἀνάλογον τῷ σώματι.]

12 Ὅτι τοῦ Ἰουλιανοῦ ἐς τὴν πολεμίαν χωροῦντος, καὶ τῶν Χαμάβων ἱκετευόντων φείδεσθαι καὶ ταύτης ὡς οἰκείας, ὁ Ἰουλιανὸς συνεχώρει, καὶ τὸν βασιλέα σφῶν προελθεῖν κελεύσας, ἐπειδὴ προῆλθε καὶ ἐπὶ τῆς ὄχθης εἶδεν ἑστηκότα, ἐπιβὰς πλοίου, τὸ πλοῖον ἔξω ἔχων τοξεύματος, ἑρμηνέα ἔχων διελέγετο τοῖς βαρβάροις. ἐκείνων δὲ πάντα ποιεῖν ὄντων ἑτοίμων, ὁρῶν εὐπρόσωπόν τε ἅμα καὶ ἀναγκαίαν αὐτῷ τὴν εἰρήνην· Χαμάβων γὰρ μὴ βουλομένων ἀδύνατόν ἐστι τὴν τῆς Βρεττανικῆς νήσου σιτοπομπίαν ἐπὶ τὰ Ῥωμαϊκὰ φρούρια διαπέμπεσθαι·

καμπτόμενος ὑπὸ τῆς χρείας χαρίζεται τὴν εἰρήνην, καὶ ὅμηρα ᾔτει λαβεῖν πίστεως ἕνεκεν. τῶν δὲ ἱκανοὺς εἶναι τοὺς αἰχμαλώτους λεγόντων, ἐκείνους ἔφη τὸν πόλεμον αὐτῷ δεδωκέναι· καθ' ὁμολογίαν γὰρ μὴ λαβεῖν· νυνὶ δε ζητεῖν παρ' αὐτῶν τοὺς ἀρίστους, εἰ μὴ τεχνάζουσι περὶ τὴν εἰρήνην. τῶν δὲ ἱκετευόντων καὶ ἀξιούντων εἰπεῖν οὓς βούλεται, μεταλαβὼν αὖθις τὸν τοῦ βασιλέως αὐτῶν αἰτεῖται παῖδα, πλαττόμενος, ὃν εἶχεν αἰχμάλωτον, ὥσπερ οὐκ ἔχων. ἐνταῦθα ὅ τε βασιλεὺς αὐτῶν καὶ οἱ βάρβαροι πρηνεῖς ἐκταθέντες οἰμωγῇ τε ἀφθόνῳ καὶ ὀλοφύρσει προσεκέχρηντο, δεόμενοι μηδὲν ἀδύνατον ἐπιτάττεσθαι· ἀδύνατον δὲ αὐτοῖς εἶναι καὶ τοὺς πεσόντας ἀναστῆσαι καὶ ὁμήρους δοῦναι τοὺς τετελευτηκότας. γενομένης δὲ σιωπῆς, ὁ τῶν βαρβάρων βασιλεὺς ἀναβοήσας μέγιστον ὅσον, Εἴθε ἔζη μοι, ἔφη, ὁ παῖς, ἵνα σοι δοθεὶς ὅμηρος, ὦ Καῖσαρ, δουλείαν ηὐτύχει τῆς ἐμῆς βασιλείας εὐδαιμονεστέραν. ἀλλ' ὑπὸ σοῦ τέθνηκεν, ἀτυχήσας ἴσως καὶ τὸ ἀγνοηθῆναι. πολέμῳ γὰρ ἐπίστευσε τὸ σῶμα νέος ὤν, ὃν σὺ μόνον ἀντάξιον εἰρήνης ὑπολαμβάνεις. καὶ νῦν, ὦ βασιλεῦ, σὺ μὲν ἐξαιτεῖς ὡς ὄντα, ἐγὼ δ' ἄρχομαι θρηνεῖν, συνορῶν τίνα οὐκ ἔχω. παῖδα γὰρ ὀδυρόμενος ἕνα καὶ κοινὴν εἰρήνην τῷ παιδὶ συναπολώλεκα. κἂν μὲν πιστεύσῃς τοῖς ἐμοῖς ἀτυχήμασι, παραμυθίαν ἔχει μοι τὸ πάθος ὡς ὑπὲρ ἁπάντων ἠτυχηκότι· ἂν δὲ ἀπιστήσῃς, καὶ πατὴρ ἀτυχὴς καὶ βασιλεὺς ὀφθήσομαι. τοῖς γὰρ ἐμοῖς κακοῖς οὐκ ἀκολουθήσει μὲν ὁ παρὰ τῶν ἄλλων ἔλεος, ὅσπερ ἅπασιν ὀφείλεται τοῖς ἐν τοιούτοις καθεστηκόσι, προσκείσονται δὲ αἱ κοιναὶ συμφοραί. καὶ οὐ παραιτήσομαι τοῖς ἄλλοις ἀτυχῶν, ἀλλὰ κοινωνεῖν ἐμοὶ τῶν δεινῶν ἀναγκάσω,

τοσοῦτον ἀπολαύων τῆς βασιλικῆς ἐξουσίας ὅσον ἀτυχεῖν μόνος μὴ δύνασθαι. τούτων ἀκούων ὁ βασιλεὺς τήν τε ψυχὴν ἔπαθε καὶ τοῖς λεγομένοις συμπαθῶς ἐξεδάκρυσε. καὶ καθάπερ ἐν τοῖς δράμασιν, ὅταν ἐς ἄπορον καὶ δύσλυτον αἱ τῶν ὑποκειμένων ἔργων πλοκαὶ τελευτήσωσιν, ὁ καλούμενος ἀπὸ μηχανῆς θεὸς ἐπεσόδιος ἐς μέσον ἕλκεται, πάντα συμπεραίνων καὶ καταστρέφων ἐπὶ τὸ σαφέστερον καὶ εὔκριτον, οὕτω καὶ αὐτὸς ἐπὶ πράγμασιν ἀμηχάνοις καὶ δυσεξόδοις, μετ' οἰμωγῆς ἁπάντων τὴν μὲν εἰρήνην αἰτούντων, τὸν δὲ ἐπιζητούμενον ὅμηρον ἀπαγορευόντων μὴ ἔχειν, τόν τε νεανίσκον παραγαγὼν ἅπασιν ἔδειξε βασιλικῶς παρ' αὐτῷ διαιτώμενον καὶ διαλεχθῆναι τῷ πατρὶ κελεύσας ὅσα ἐβούλετο περιεσκόπει τὸ πραχθησόμενον. τὰ δὲ ἐπὶ τούτοις ἦν ἄξια τούτων. οὐκ ἔτεκεν ὁ ἥλιος τοιαύτην ἡμέραν, οἵαν τότε ἐξῆν τοῖς παροῦσιν ὁρᾶν καὶ ἱστορεῖν. οἱ μὲν γὰρ ἀπὸ θορύβου καὶ θρήνων ἐκπλήξει καὶ θάμβει συνδεθέντες ἐς τὸ ἀκίνητον ἐπάγησαν, ὥσπερ Ἰουλιανοῦ δείξαντος αὐτοῖς οὐ τὸν νεανίσκον, ἀλλ' εἴδωλον. ὁ δὲ βασιλεύς, ἐπεὶ ἡσυχία μυστηρίων ἁπάντων ἐγένετο σταθερωτέρα, βαρὺ φθεγξάμενος ἐς μέσον, "τοῦτον, εἶπεν, ὁ μὲν ὑμέτερος, ὡς ὑμεῖς ὑπολαμβάνετε, πόλεμος ἀπολώλεκε, θεὸς δὲ ἴσως καὶ τὸ Ῥωμαίων σέσωκε φιλάνθρωπον. ἔξω δὲ αὐτὸν ὅμηρον, οὐ παρ' ὑμῶν καθ' ὁμολογίαν, ἀλλὰ παρὰ τοῦ πολέμου λαβὼν καὶ τῷ κρατεῖν ἀρκούμενος. καὶ οὗτος μὲν οὐδενὸς ἀτυχήσει τῶν καλλίστων ἐμοὶ συνών, ὑμεῖς δὲ πειρώμενοι παραβαίνειν τὰς συνθήκας ἀποτεύξεσθε πάντων. φημὶ δὲ οὐχ ὅτι κολάσομαι τὸν ὅμηρον, ὃν οὐδὲ ἐνέχυρον παρ' ὑμῶν εἴληφα τῆς εἰρήνης, ἀλλ' ἀνδρείας ἀπόδειξιν καθ' ὑμῶν

ἔχω· ὃ καὶ ἄλλως ἄνισον καὶ θεομισές, τοὺς οὐδὲν ἀδικοῦντας ὑπὲρ τῶν ἀδικούντων δάκνειν καὶ σπαράττειν, ὥσπερ τὰ θηρία τοὺς ἀπαντῶντας, ὅταν ὑφ᾽ ἑτέρων διώκηται· ἀλλ᾽ ὅτι πρῶτον μὲν ἄρξετε χειρῶν ἀδίκων, οὗ μείζων ὄλεθρος οὐκ ἔστιν ἀνθρώποις, κἂν δοκῶσι πρὸς τὸ βραχὺ καὶ παρὸν ἐπιτυγχάνειν· δεύτερον δὲ ὅτι πρὸς Ῥωμαίους ὑμῖν ὁ λόγος ἔσται κἀμὲ τὸν ἄρχοντα τούτων, ὃν οὔτε πολεμοῦντες οὔτε εἰρήνην αἰτοῦντες ἐνικήσατε". προσεκύνησαν ἐπὶ τούτοις ἅπαντες καὶ ἀνευφήμουν, θεόν τινα ἐπὶ τοῖς λόγοις ἡγούμενοι. σπεισάμενος γοῦν καὶ τὴν τοῦ Νεβισγάστου μητέρα μόνον αἰτήσας, ἐκείνων ὁμολογούντων τε ἅμα καὶ δόντων, ἀνέζευξεν ἐπὶ τοιαύταις πράξεσι, μετοπώρου τε ἑστηκότος καὶ χειμῶνος ἤδη συνισταμένου καὶ διαψύχοντος. [Exc. de legat. p. 15—17 ed. Par., p. 41—45 Niebuhr.]

Ὅτι Βαδομάριός τις δυνάμει καὶ τόλμῃ προεῖχε 13
Γερμανῶν, καὶ ἐς τοῦτο ὑπετύφετο μεγαλαυχίας ὥστε ἐτύγχανε μὲν ὅμηρον τὸν ἑαυτοῦ δεδωκὼς υἱόν, ἕως ἂν ἀποδῷ τοὺς αἰχμαλώτους, οὓς ἐκ τῆς καταδρομῆς εἶχε συνηρπασμένους, τούτους δὲ οὐκ ἀποδιδοὺς ἀπῄτει τὸν ὅμηρον, πολλὰ ἀπειλῶν, εἰ μὴ λάβοι. ἀποπέμπει δὴ τοῦτον Ἰουλιανὸς αὐτῷ, τοσοῦτον ἐπιθεὶς ὡς οὐκ ἔστιν ἀξιόπιστον ἓν μειράκιον ὑπὲρ πολλῶν εὐγενεστέρων ὁμηρεῦον παρ᾽ αὐτῷ, ἀλλ᾽ ἢ τοὺς αἰχμαλώτους ἀποδιδόναι προσῆκον, ὄντας ὑπὲρ τρισχιλίους, τοῖς αὐτίκα ἥξουσι πρέσβεσιν, ἢ ἀδικοῦντα εἰδέναι. ταῦτα ἔγραφέ τε καὶ τὴν πρεσβείαν ἔστελλε. καὶ αὐτὸς εἵπετο τῇ πρεσβείᾳ ἀπὸ Νεμέτων ἄρας ἐπὶ τὸν Ῥῆνον. ἤδη τε ἦν πρὸς τοῖς Ῥαυράκοις, ὅ ἐστι φρούριον. [Ibid. p. 17 ed. Par., 45 Niebuhr.]

[Ὅτι φησὶν ὁ Εὐνάπιος περὶ Ἰουλιανοῦ·] Ἐνταῦθα 14

δὲ γενομένους μεμνῆσθαι προσῆκεν ὡς νῦν ἡ γραφὴ περιέχει τὰ τοῦ Καίσαρος ἔργα, ταῦτα δὲ ἐγίγνετο Κωνσταντίου βασιλέως βασιλεύοντος· ὥσπερ οὖν ἐν τοῖς κατὰ Κωνστάντιον ἀμφοτέρων μεμνημένη τὰ τοῦ προκειμένου Κωνσταντίου μᾶλλον εἷλκε καὶ παρῆγεν ἐς τὸν λόγον, οὕτως ἐπειδὴ τὸν λόγον ἐκ τῆς γενέσεως ἐς Ἰουλιανὸν ἐλθόντα τὸν Καίσαρα νῦν ἀναγράφει, ἐπιμνήσεται πάλιν, ἐς ὅσον ἂν ἐγχωρῇ, τῶν κατὰ τοὺς παραπίπτοντας καιροὺς ἐς τὸν Καίσαρα Κωνσταντίῳ συντεθειμένων τε καὶ μεμηχανημένων.

2 *Ὁ μὲν γὰρ Ῥωμαῖος Μάριος τὸν ἀντίπαλον Σύλλαν διπλοῦν θηρίον ἀποκαλῶν, ἀλώπεκα καὶ λέοντα, μᾶλλον ἔφασκε φοβεῖσθαι τὴν ἀλώπεκα· Κωνσταντίῳ δὲ λέων μὲν οὐδεὶς παρῆν, πολλαὶ δὲ ἀλώπεκες κύκλῳ περιτρέχουσαι διεθορύβουν τὸν Καίσαρα.*

3 *Πᾶσα δὴ βία τὴν γραφὴν κατὰ μικρὰ καὶ ἐπὶ Κωνστάντιον φέρεσθαι καὶ τῶν ὑπ' ἐκείνου πραττομένων ἕκαστον ἀναγαγεῖν ἐπὶ καιροὺς καθ' οὓς ἐγίγνετο καὶ συνέπιπτεν.*

4 *Τότε δὴ ὁ Κωνστάντιος ἐφ' οἷς (χαίρειν* addit Nieb.) *ἔδει δυσφορῶν καὶ ὅσα ἔπραττεν Ἰουλιανὸς ἔλεγχον τῆς ἰδίας βασιλείας ὑπολαμβάνων, τάς τε δηλουμένας ἐπινικίους ἑορτὰς ἐς πένθος καὶ συμφορὰν μετέβαλε καὶ διοιστρούμενος ὑπὸ φθόνου καὶ λύττης πρὸς τὸν ἐμφύλιον ἐξώγκωτο πόλεμον.*

5 • *Ἔοικε μὲν οὖν καὶ ἄλλως ὁ χρόνος ἐν ταῖς μακραῖς περιόδοις καὶ κινήσεσι πολλάκις ἐπὶ τὰ αὐτὰ καταφέρεσθαι συμπτώματα, καθάπερ οἱ τῷ Δαρείῳ συστάντες ἐπὶ τοὺς μάγους ἦσαν ἑπτὰ καὶ οἱ πολλοῖς ὕστερον χρόνοις Ἀρσάκῃ κατὰ Μακεδόνων συνεγερθέντες ἴσοι τὸν ἀριθμὸν ἔτυχον.*

6 *Συνορῶσι δὲ ὅτι θερμότητος μὲν δεῖται καὶ ὁρ-*

μῆς τὸ ἀσφαλές· τὸ γὰρ τῆς ἀνάγκης παρὰ πόδας ἑστὸς ἐπίσκεψιν ἥκιστα ἐνδεχόμενον προχειρότερον ἀπαιτεῖ τὸν κίνδυνον.

7 Ὅτι περὶ τῆς στρατείας τῆς κατὰ Ναρδινῶν (Ἀλαμανῶν Bekk.) πολυτρόπου γενομένης ἐκτίθησι μὲν αὐτὸς Ἰουλιανός, ἄλλα δὲ ἀλλαχοῦ καὶ πρὸς πολλοὺς ἀναφράζων ἐν ἐπιστολαῖς. πρός τινα γοῦν Κυλλήνιον καὶ ταῦτα ἐξηγούμενον τὰ μὲν ἐπιτιμῶν ὡς διαμαρτάνοντα τῆς ἀληθείας φαίνεται, καὶ παρεκτίθησί γε τὰ πραχθέντα ὅπως γέγονε· φάσκων δὲ μὴ δεῖσθαι τοῦ τά τε ἔργα λέγοντος, οὐδὲ γὰρ Παλαμήδην Ὁμήρου προσδεηθῆναί φησιν ἐς δόξαν, καὶ τὰς ἀλλοτρίας συγγραφὰς τῶν ἰδίων ἔργων ὑπὸ μεγαλοψυχίας παραιτούμενος, αὐτὸς ὅμως διὰ μέγεθος τῶν πεπραγμένων πρὸς τὸ λέγειν αὐτὰ κατασειόμενος, οὐδὲ συγγραφὴν ἁπλῆν, ἀλλ' ἔπαινον ἀκριβῆ τινα καὶ λαμπρὸν ἑαυτοῦ διέξεισιν αὐτοκέλευστος, καὶ πρὸς πολλοὺς αὐτὰ διὰ τῶν ἐπιστολῶν ὑμνῶν. [Exc. de sentent. (cod. p. 285, 286) p. 257—259 Mai., 65—67 Niebuhr.]

ΙΟΥΛΙΑΝΟΣ ΒΑΣΙΛΕΥΣ.

15 Ὅτι μετὰ τὴν Ἰουλιανοῦ τῆς βασιλείας ἀναγόρευσιν πρεσβεῖαι πανταχόθεν συνέβαινον καὶ στέφανοι πολλοὶ χρυσοῖ αὐτῷ παρὰ τῶν ἐθνῶν ἀνεκομίζοντο. ἐνταῦθα καὶ οἱ τὴν Ἰωνίαν οἰκοῦντες ἔτυχον ὅσων ἐδεήθησαν, καὶ πλειόνων καὶ ἐλαττόνων. Λυδοὶ δὲ καὶ εὐχῆς κρεῖττον ἔπραττον, Εὐναπίου*) μὲν τοῦ ῥήτορος ὑπὲρ αὐτῶν πρεσβεύοντος, εὐημερήσαντος δὲ οὕτω κατὰ τὴν πρεσβείαν ὥστε καὶ δίκῃ τινὶ περιμαχήτῳ συνειπεῖν, ᾗ ὁ βασιλεὺς

*) Non confundendus cum historico, qui anno 361 p. C. puer adhuc erat. Müllerus.

αὐτὸν ἐκέλευεν. ὁ δὲ ἐνίκα καὶ τὴν δίκην· καὶ ἐκ Κλαζομενῶν δὲ Πείσων εὐδοκίμει λέγων. [Exc. de legat. p. 17—18 Par., 46 Niebuhr.]

16 *Ὅτι ἐπὶ τὸν Ἰουλιανὸν πολλαὶ δίκαι ἐχώρουν, χανδὸν ἐμφορουμένων τῶν ἀνθρώπων τῆς δικαιοσύνης τοῦ κρίνοντος· ἀναβολαί τε οὐκ ἦσαν ἐπ' αὐταῖς, ὅσαι νόμιμον ἐκ τῶν συνήθων γραμμάτων τὸ ἄδικον ἴσχουσιν ἐς βοήθειαν τῶν ἀδικούντων καὶ προειληφότων, ἀλλ' ἢ παραχρῆμα ἔδει τὸ ἴσον ἐλέγχεσθαι κατὰ φύσιν ἢ τὸ μέλλον καὶ διωθούμενον ἐς τὸν χρόνον ὕποπτον ἦν. βαρὺς μὲν οὖν καὶ λυπηρὸς ἐτύγχανε, καὶ ἐπὶ τοῖσδε καὶ τὸ τῶν πονηρῶν ἔθνος καὶ ἀδικούντων διηγείρετο· οὐ γὰρ ἀδικεῖν ἐξῆν οὐδὲ λανθάνειν ἀδικοῦσι. βαρύτερον δὲ αὐτὸν ἀπεδείκνυε τοῖς μοχθηροῖς καὶ τὸ εὐπρόσοδον. οἷα γὰρ προϊόντος μὲν πολλάκις διὰ τὰς ἱερομηνίας καὶ θυσίας, ἡμέρου δὲ φύσει πρὸς πᾶσαν ἔντευξιν τυγχάνοντος, ἀκώλυτον ἦν τοὺς δεομένους λόγου τυχεῖν. ὁ μὲν οὖν ἐλάχιστον τῆς ὑπὸ τῶν πονηρῶν ταύτης βλασφημίας τε καὶ ὀργῆς ᾐσθάνετο καὶ ἐφρόντιζε.* [Suidas v. *Ἰουλιανὸς* ex Eunapio, ut coniecit Küsterus. Conf. Ammian. Marcellin. XXII, 10, 1.]

17 *Ὅτι Σαλούστιος ὁ τῆς αὐλῆς ἔπαρχος ἐπὶ Ἰουλιανοῦ ἀνὴρ ἦν διαφερόντως περιττὸς ἐς φιλανθρωπίαν· ᾧ γε τοσοῦτον ἡμερότητος καὶ πρᾳότητος ὑπῆρχεν ἐς ἅπαντας ὥστε καὶ τὸν Μάρκελλον ἐκεῖνον, τὸν ἡνίκα ἦν Καῖσαρ ὑβριστικῶς αὐτῷ χρησάμενον, πάνυ περιδεᾶ ὄντα διὰ τὰ προγεγενημένα, καίτοι τοῦ παιδὸς ἐλεγχθέντος ἐπανίστασθαι διὰ τὴν πρὸς Κωνστάντιον φιλίαν, τῷ νεανίσκῳ τὴν δίκην ἐπέθηκε, τὸν δὲ Μάρκελλον καὶ διαφερόντως ἐτίμησε.* [Suidas v. *Σαλούστιος*. „Totum hunc locum ex Eunapio

excerptum esse suspicatur Valesius ad Ammian. Marcellin. XXII, 11, 2; qui recte etiam monuit Suidam hic omnia confundere et ad Salustium male referre ea quae Iuliano conveniant." Kuster.]

Ὅτι κρατεῖν ὡς ἐπίπαν εἴωθεν ἐν μὲν τοῖς ἀπεί- 18
ροις τὸ πλέον, ἐν δὲ τοῖς ἐπιστήμοσι τὸ γεγυμνασμένον· οὐ γὰρ ἐν τοῖς μετὰ τέχνης ἀπαντᾷ τὸ παράλογον τῆς τύχης, ἀλλ' ἐν τοῖς ἀτέχνοις χώραν ἔχει τὸ αὐτόματον, ὥσπερ κἀν ταῖς ἄλλαις ἐπιστήμαις ὁρῶμεν τὸ προτεθὲν οὐχ ὑπὸ τῶν ἀπείρων, ἀλλ' ὑπὸ τῶν μελετησάντων ἐκτελούμενον ὡς ὠφείλετο.

Ὅτι πᾶν ἔργον κρεῖττον ἀπορρήτως στρατηγού- 2
μενον· ὅστις δὲ ἐν πολέμῳ κρύπτει τὰ πλείονα, κρείττων ἐστὶν ἢ ὁ μετ' ἔργων θρασύτητος φανερῶς ἐπιών.

Ὅτι ὁ κυνικὸς Ἡράκλειος ἀκροασόμενον ἐκάλει 3
τὸν Ἰουλιανὸν ὡς ἐς τὴν βασιλείαν ὠφελήσων αὐτόν. ὁ δὲ θαυμάσας τὸ τῆς ὑποσχέσεως ὕψος ἑτοίμως ὑπήκουσεν. ἐπεὶ δὲ παρὰ δόξαν ἀπήντησεν, ὁ Ἰουλιανὸς ἀντιγράψας λόγον τὴν ἑαυτοῦ δύναμιν ἐξέφηνε καὶ τὸ τῆς φύσεως ἀνυπέρβλητον. οἱ δὲ ἀκούσαντες καταπλαγέντες τὴν δύναμιν τοῦ λόγου καθάπερ θεοῦ προσεκύνησαν τὴν φιλανθρωπίαν, ὅτι τὸν βασιλικὸν θυμὸν διέλυσε λογικῇ φιλοτιμίᾳ. ὁ δὲ καὶ ἑτέρῳ λόγῳ τὸν αὐτὸν κυνικὸν ἐτίμησεν. [Exc. de sentent. (cod. p. 286) p. 259 Mai., 67—68 Niebuhr.]

"Μάξιμός τε καὶ Πρίσκος λόγου μὲν μετειχέτην, 19
τῆς δὲ τῶν κοινῶν καὶ ὑπαίθρων πραγμάτων πείρας ἐλάχιστον." καὶ αὖθις· "ὡς ἂν ὕπαιθρόν τινα καὶ ἐν-

15 Ἡράκλειος] Codex h. l. Ἡράκλειτος; at infra in rebus Procopii tyranni idem codex habet Ἡράκλειος. Priori lectioni favet Suidas; posteriori textus Iuliani in oratione contra hunc Cynicum ed. Petav. Maius.

νομον ἀγωνισάμενος μάχην," τουτέστι προφανῆ. [Suidas v. ὕπαιθρον. Posteriorem locum plenius habet v. νεωτερίζειν, ubi: "ὁ δὲ βάρβαρος οὐδὲ ἐπὶ τὴν νεωτερίζουσαν τὰ πράγματα τύχην ἔσχεν ἀνενεγκεῖν τὴν αἰτίαν, ὡς ἂν ἔννομόν τινα καὶ ὕπαιθρον ἀγωνισάμενος μάχην."]

20 Τότε δὲ ἴλη τῶν καταφράκτων ἱππέων ὑπὲρ τοὺς τετρακοσίους ἐς τοὺς ὀπισθοφύλακας κατερράγη. [Suidas v. ἴλη.]

21 Οἱ δὲ τῶν Πάρθων οἰσυΐνας ἀσπίδας ἔχοντες καὶ κράνη οἰσύινα πλοκήν τινα πάτριον πεπλεγμένα. [Suidas v. οἰσύινος.]

22 Ὅτι τῷ Ἰουλιανῷ ἤκμαζεν ὁ πρὸς Πέρσας πόλεμος, τάς τε Σκυθικὰς κινήσεις ὥσπερ ἐν κωφῷ ἔτι κύματι συνετίθει πόρρωθεν ἢ θεοκλυτῶν ἢ λογιζόμενος. λέγει οὖν ἐπιστέλλων, "Σκύθαι δὲ νῦν μὲν ἀτρεμοῦσιν, ἴσως δὲ οὐκ ἀτρεμήσουσιν." ἐς τοσόνδε ἐξικνεῖτο χρόνον ἡ τῶν μελλόντων αὐτῷ πρόνοια ὥσθ' ὅτι τὸν ἐπ' αὐτοῦ μόνον καιρὸν ἡσυχάσουσι προγιγνώσκειν.

2 Ὅτι τὸ πρὸ Κτησιφῶντος πεδίον ὀρχήστραν πολέμου πρότερον ἀποδείξας, ὡς ἔλεγεν Ἐπαμεινώνδας, Διονύσου σκηνὴν ἐπεδείκνυ Ἰουλιανός, ἀνέσεις τινὰς τοῖς στρατιώταις καὶ ἡδονὰς ποριζόμενος.

3 Ὅτι τοσαύτη ἐν τοῖς προαστείοις Κτησιφῶντος ἀφθονία τῶν ἐπιτηδείων ἦν ὥστε τὴν περιουσίαν κίνδυνον τοῖς στρατιώταις φέρειν μήποτε ὑπὸ τρυφῆς διαφθαρῶσιν.

4 Ὅτι ἔοικε τὸ ἀνθρώπινον καὶ ἄλλως ἐπίφορον εἶναι καὶ κάταντες πρὸς τὸ βάσκανον. καὶ οἱ στρατιῶται οὐκ ἔχοντες ὅπως ἐπαινῶσιν ἀξίως τὰ πραττόμενα, "τοὺς Ἀχαιούς, φασίν, ἔκρινον ἀπὸ πύργου", στρατηγικός τις καὶ περιττὸς ἐς φρόνησιν ἕκαστος

εἶναι βουλόμενοι. καὶ τοῖς μὲν ὕλη τις ὑπῆν φλυαρίας· ὁ δὲ τῶν ἐξ ἀρχῆς ἐχόμενος λογισμῶν ἐπὶ τὴν οἰκείαν ἀνέστρεφεν. [Exc. de sentent. (cod. p. 286, 171) p. 260 Mai., 68—69 Niebuhr.]

Ὥσπερ δὲ ἐν πολέμῳ καὶ τοσούτων ἐπικειμένων 23
ἄρχοντος δεόμενον τὸ στρατόπεδον τὴν αἵρεσιν περιεσκόπει. καὶ καθάπερ οἱ ἰατρικοί φασι κατὰ ταὐτὸν γενομένων δυεῖν ἀλγημάτων τὸ ἔλαττον ὑπὸ τοῦ σφοδροτέρου λύεσθαι, οὕτω καὶ τότε θεωρεῖν ἐξῆν ὡς τὴν ὑπεροχὴν τοῦ κατὰ τὸν βασιλέα πάθους ὁ τοῦ πολέμου φόβος παρὰ πόδας ἑστὼς καταμαραίνων ἀπήμβλυνεν. τὸ μὲν γὰρ γεγενημένον ἦν φανερόν, τὸ δὲ ὅπως εἴκαζεν ἄλλος ἄλλως, ἠπίστατο δὲ οὐδὲ εἷς. πλὴν ἕν τοῦτό γε ᾔδεσαν ὡς αἱρεῖσθαι προσῆκέ σφισιν ἄρχοντας. εἰ δὲ καὶ πλῆθος ἦσαν, τοῦτο γοῦν ἠπίσταντο σαφῶς ὅτι ἄρχοντος μὲν εὐπορήσουσι, τοιοῦτον δὲ οὐδὲ εἰ πλάττοι θεός, εὑρήσουσιν, ὅς γε διὰ φύσεως ἐξουσίαν καὶ τὸ ἰσομέγεθες τῷ θείῳ ἀγωγῆς τε ἀνάγκην ἐβιάσατο πρὸς τὸ χεῖρον ἕλκουσαν, καὶ ἐκ τοσούτων ἀνενεγκὼν κυμάτων οὐρανόν τε εἶδε καὶ ἐπέγνω τὰ ἐν αὐτῷ καλά, τοῖς τε ἀσωμάτοις ὁμιλήσας σῶμα ἔχων ἔτι. καὶ βασιλείας τε ἔτυχεν οὐχ ὅτι ἤρα βασιλείας, ἀλλ' ὅτι τὸ ἀνθρώπειον ἑώρα δεομένους βασιλεύεσθαι, φιλοστρατιώτης τε ἦν διαφερόντως, οὐχ ὅτι ἐβούλετο δημαγωγεῖν, ἀλλ' ὅτι τοῦτο ἠπίστατο τοῖς κοινοῖς συμφέρειν.

[Ταῦτα ληρεῖν ἀνέχῃ, ἐμβρόντητος τῷ ὄντι καὶ ἀνεπιγνώμων τῶν πεφλυαρημένων; τίς γὰρ τῶν ἐγγενῶν Ἕλλησι δογμάτων οὐρανίων μεμύηται μυστηρίων θεατὴν ὑπάρξαι τὸν ἀπαλλαττόμενον τῆς ἐντεῦθεν βιοτῆς ἢ συνόμιλον ἀσωμάτων γενέσθαι; καὶ τίνες οἱ ἀσώματοι οὗτοι, εἰ μή που Γανυμήδης καὶ

15*

Ζεὺς ὁ Γανυμήδους ἐκ Τρώων ἐραστής, δι' οὗ καὶ Ἥρα παραγκωνίζεται ἡ ἀδελφὴ καὶ γαμετὴ τῷ Φρυγὶ μειρακίῳ; ἀλλὰ τὰ μὲν κλέψας ἔχεις τῶν Χριστιανικῶν ὀργίων, τὰς ἀσωμάτους φημὶ φρατρίας· ἐπεὶ τῶν γε σῶν δογμάτων μὴ οὐχὶ καὶ ἐμπαθέστερον τῶν κατὰ τὸν φθαρτὸν τοῦτον βίον ἀκρατεστάτων οἵ κατ' οὐρανόν σοι ἅλοῖεν μάκαρες βιοῦντες· οἷς Ἥβη μὲν οἰνοχοεῖ, οἱ δὲ πολλῷ τῷ νέκταρι μεθυσκόμενοι τὰ ἀπαίσια διεξίασι Τρώων πόλιν εἰσορόωντες. πρὸς τίνας καὶ τῶν καθ' Ἕλληνας ἑαυτὸν ἀναφέρων φιλοσόφων ἤρα βασιλείας; πρὸς Ἀντισθένη; πρὸς Διογένη; ἀλλὰ τούτοις μὲν ἴσμεν οὕτως ἀπραγμοσύνης μέλον ὡς τὴν κυνῶν ἐξηλωκότας ζωὴν καὶ τῇ τούτων ἐγκαλλωπίζεσθαι κλήσει. οὔκουν ἐπανορθῶν τὸν ἀνθρώπινον βίον εἵλετο βασιλεύειν, ὅστις μηδ' ἐπανώρθωσέ τι, εἰ μὴ πρῶτον μὲν φιλοδοξίας κακῷ λυττήματι ἀχάριστος περὶ τὸν εὐεργέτην διαγιγνόμενος, ἔπειτα καὶ ὅπως τοῖς ἄγουσιν αὐτὸν δαίμοσι τὸ ὀλέθριον ἀφοσιούμενος σέβας λάθοι πρὸς τῶν ὑπ' αὐτοῦ σπουδαζομένων δαιμόνων τοιούτου καὶ τέλους κυρῆσαι, ἀξίου καὶ τῆς ἐκείνων ἀπάτης καὶ τῆς ἑαυτοῦ ἐμπληξίας.] [Exc. de sentent. (cod. p. 171, 172) p. 261—263 Mai., 69—71 Niebuhr. Ad ea quae Christianus zelotes subiecit, in margine adscriptum: *Στηλιτευτικὸς κατὰ Εὐναπίου.*]

24 *Ὅτι πρὸς τὸν Ὀρειβάσιον εἰπόντα ὡς οὐ χρὴ τὸν θυμόν, κἂν ἐπεσπέσῃ, διὰ τῶν ὀμμάτων καὶ τῆς φωνῆς ἐκφορεῖσθαι, "Ὅρα τοίνυν, εἶπεν, ἐπειδὴ καλῶς λέγεις, εἰ τοῦτο ἐγκαλέσεις ἔτι δεύτερον."*

Ὅτι φασὶν Ἀλεξάνδρου θειάζοντος ἑαυτὸν ἐκ Διὸς Ὀλυμπιάδα θρυπτομένην φάσκειν, "Οὐ παύσεται τὸ μειράκιον διαβάλλον με πρὸς τὴν Ἥραν;"

Ὅτι προσαγορεύων ὁ θεὸς τὸν Ἰουλιανόν φησιν,

Ὦ τέκος ἁρμελάταο θεοῦ, μεδέοντος ἁπάντων.

Ὅτι ὁ Ἰουλιανὸς ἐν ταῖς ἐπιστολαῖς ἴδιον [πατέρα addit Mai.] ἀνακαλεῖ τὸν ἥλιον, οὐχ ὥσπερ Ἀλέξανδρος διαβάλλεται φάσκων πρὸς τὴν Ἥραν ὅτι Ὀλυμπιὰς αὐτὸν ἐκ Διὸς ἀνελομένη τοῦτο οὐκ ἀπεκρύπτετο, ἀλλ' οὗτός γε ἐπὶ ταῖς τοῦ θεοῦ μαρτυρίαις αἰωρούμενος ἐς τὸν Πλάτωνα ὑποφέρεται, ὥσπερ ὁ ἐκείνου Σωκράτης φησί, "Μετὰ μὲν Διὸς ἡμεῖς, ἄλλοι δὲ μετ' ἄλλου του θεῶν," ταύτην (ταύτῃ Nieb.) καὶ αὐτὸς ἐς τὴν ἡλιακὴν βασιλείαν τινὰ καὶ χρυσῆν σειρὰν ἀναφέρων καὶ συναπτόμενος. [Exc. de sentent. (cod. p. 172) p. 263—264 Mai., 71—72 Niebuhr.]

Ὁ δὲ Ἰουλιανὸς ὁ παραβάτης, καίπερ τοσούτοις ἐμ- 25
βεβηκώς, τῆς τε περὶ λόγους ἥπτετο φιλοτιμίας καὶ τὸν τῆς Ἀντιοχείας σοφιστήν, ᾧ Λιβάνιος ὄνομα, διαφερόντως ἐθαύμασεν, τὰ μὲν ἴσως ἐπαινῶν, τὰ δὲ ὅπως λυποίη τὸν μέγαν σοφιστὴν Προαιρέσιον, προτιμῶν ἕτερον. Ἀκάκιος γοῦν τις αὐτῷ τῶν περὶ τὴν ῥητορικὴν δεινῶν καὶ ὁ ἐκ Φρυγίας Τουσκιανὸς ἀεὶ πρὸς ταῦτα ἐπεκάλουν καὶ διεμέμφοντο τὰς κρίσεις. [Suidas v. Λιβάνιος. Eunapio vindicat Boissonadus.]

[Περὶ τῆς τελευτῆς Ἰουλιανοῦ τοῦ παραβάτου 26
τοῦ ἀθέου χρησμὸς ἦν τοιοῦτος·]

ἀλλ' ὁπότε (ὁπόταν Suidas) σκήπτροισι τεοῖς Περσήιον αἷμα
ἄχρι Σελευκείης κλονέων ξιφέεσσι δαμάσσῃς,
δὴ τότε σὲ πρὸς Ὄλυμπον ἄγει πυριλαμπὲς ὄχημα
ἀμφὶ θυελλείῃσι κυκώμενον ἐν στροφάλιγξι,
λυσάμενον (ῥίψαντα S.) βροτέων ῥεθέων πολύτλητον ἀνίην.

ἥξεις δ' αἰθερίου φάεος πατρώιον αὐλήν,
ἔνθεν ἀποπλαγχθεὶς μεροπήιον ἐς δέμας ἦλθες.

τούτοις ἀρθέντα τοῖς ἔπεσιν αὐτὸν καὶ λογίοις μάλα ἡδέως φησὶν ἀπολιπεῖν τὸ θνητὸν καὶ ἐπίκηρον. πρόκεινται δὲ τῶν λογίων ἄλλαι τινες εὐχαί τε καὶ θυσίαι περὶ τοὺς θεούς, ἃς ἐκείνῳ μὲν δρᾶν ἀναγκαῖον ἦν ἴσως, ἐς δὲ ἱστορικὸν τύπον καὶ βάρος φέρειν οὐκ ἦν εὔλογον· τὸ γὰρ [*γράφειν* addit Nieb.] *καθ' ἕκαστα οὐκ ἦν ἀλήθειαν τιμῶντος, ἀλλὰ διὰ πολυπραγμοσύνην ἐς λῆρον ἀποφερομένου καὶ παρολισθάνοντος.* [Exc. de sentent. (cod. p. 172, 173) p. 265—266 Mai., 72 Niebuhr. Idem oraculum Suidas v. *Ἰουλιανὸς* affert, praemissis verbis quae uncis inclusimus.]

27 *Ἔστι δὲ καὶ ὁ χρησμὸς ὁ δοθεὶς αὐτῷ, ὅτε περὶ Κτησιφῶντα διῆγε,*

γηγενέων ποτὲ φῦλον ἐνήρατο μητιέτα Ζεὺς
ἔχθιστον μακάρεσσιν Ὀλύμπια δώματ' ἔχουσι.
Ῥωμαίων βασιλεὺς Ἰουλιανὸς θεοειδὴς
μαρνάμενος Περσῶν πόλιας καὶ τείχεα μακρὰ
ἀγχεμάχων διέπερσε πυρὶ κρατερῷ τε σιδήρῳ,
νωλεμέως δ' ἐδάμασσε πόλεις τε καὶ ἔθνεα πολλά.
ἀλλὰ καὶ ἑσπερίων ἀνδρῶν Ἀλαμανικὸν οὖδας
ὑσμίναις πυκιναῖσιν ἑλὼν ἀλάπαξεν ἀρούρας.

[Suidas v. *Ἰουλιανός*. Pro *ἐδάμασσε πόλεις κτλ.* codd. ABEV *ἐδάμασσε καὶ ἔθνεα πολλὰ καὶ ἄλλα.* Tum *ὅρρα* pro *ἀλλά*, i. e. *ὅς ῥα*, ut Antholog. Pal. XIV, 148.]

ΙΟΒΙΑΝΟΣ. ΟΥΑΛΗΣ. ΟΥΑΛΕΝΤΙΝΙΑΝΟΣ.

28 [*Ὅτι φησὶν ὁ Εὐνάπιος,*] *Περὶ μὲν οὖν τῶν παλαιοτέρων καὶ ὅσα πρὸ ἡμῶν ἀνάγκη συγχωρεῖν τοῖς γράψασιν ἢ τοῖς πρὸ* (*περὶ* Nieb.) *ἐκείνων λόγοις ἐς*

ἡμᾶς κατὰ μνήμην ἄγραφον ἐς διαδοχὴν περιφερομένοις καὶ καθήκουσιν· ὅσα δὲ ἐφ' ἡμῶν αὐτῶν γέγονεν, ἀλήθειαν τιμῶντι, καθά φησι Πλάτων, παραδοτέον τοῖς ἐντυγχάνουσιν. [Exc. de sentent. (cod. p. 173) p. 266 Mai., 72—73 Niebuhr.*)]

Ὅτι Βαλεντινιανοῦ ἀνάρρησις ἐν Νικαίᾳ τῆς Βι- 29
θυνίας γίγνεται, πρεσβεῖαί τε, ὅσαι συνεπεφοιτήκεσαν ἐπὶ τοῦτον τοὺς χρυσοῦς ἔχουσαι στεφάνους, πρὸς ἐκεῖνον ἀνεφέροντο. καὶ πρὸς πάσας ἀπεφαίνετο μὲν οὐδέν, ἐπιτρέχων ῥαδίως οὑτωσὶ καὶ συντόμως, ἐπηγγέλλετο δὲ ἅπασιν ὡς [*τι*?] *ποιήσων αὐτίκα μάλα.* [Exc. de legat. p. 18 Par., 46 Niebuhr.]

Σαλούστιος, ἔπαρχος πραιτωρίων· ὃς προεβάλετο 30
βασιλέα Βαλεντινιανόν. ὁ δὲ βασιλεύσας διεδέξατο αὐτόν, καὶ ἔθηκε προθέματα, ἵνα, εἴ τίς τι ἠδίκηται παρ' αὐτοῦ, προσέλθῃ τῷ βασιλεῖ. οὐδεὶς δὲ προσῆλθεν· ἦν γὰρ ἁγνότατος ὁ Σαλούστιος. οὗτος δὲ ὁ Βαλεντινιανὸς τὸν πραιπόσιτον Ῥοδανὸν (*καὶ τὸν πραιπόσιτον ἔκαυσε Χρυσάφιον*, Suid. v. *προθέματα*), *ἀδικήσαντα Βερονίκην τινὰ χήραν, ἧς προσελθούσης τῷ βασιλεῖ ἔδωκε δικαστὴν Σαλούστιον· ὁ δὲ κατεδίκασε τὸν πραιπόσιτον· καὶ τούτου καταφρονήσαντος, τὸν πραιπόσιτον ἐν τῷ ἱππικῷ πυρὶ παραδίδωσι καὶ τὴν κτῆσιν πᾶσαν τοῦ ἀρχιευνούχου τῇ χήρᾳ δίδωσι· καὶ φοβηθέντες πάσης ἀδικίας ἀπέσχοντο.* [Suidas v. *Σαλούστιος*. Partem huius loci, ex uberiori narratione male contracti, habet Suidas v. *προθέματα*, ubi praepositus ille non Rhodanus, sed Chrysaphius dicitur.]

Ὅτι Φίλιππος ὁ Μακεδὼν τὸ μέτρον ἰδὼν τοῦ 31
σφετέρου σώματος, ἐν παλαίστρᾳ γὰρ ἐπεπτώκει, δια-

*) Hunc locum consideranti vix dubium esse potest quin Eunapius novum Historiae librum hinc exordiatur. MAIUS.

ναστὰς ἀπὸ τοῦ πτώματος σώφρονα ἀφῆκε λόγον ὡς ὀλίγην κατασχήσων γῆν εἶτα ἐπιθυμοίη τῆς ἁπάσης.

Ὅτι τὸν Θησέα φασὶν οἱ παλαιοὶ ζηλωτὴν Ἡρακλέους γενόμενον μικρὰ τῆς μιμήσεως ἐκείνης ἀποκερδᾶναι.

Ὅτι τοῦ Προκοπίου τοῦ συγγενοῦς Ἰουλιανοῦ στασιάσαντος καὶ τυραννίδι ἐπιθεμένου Ἡράκλειος ὁ κυνικὸς προσελθὼν αὐτῷ καὶ κατακροτήσας εὖ μάλα τῇ βακτηρίᾳ τοὔδαφος, "ἄλκιμος ἔσσο, φησίν, ἵνα τίς σε καὶ ὀψιγόνων εὖ εἴπῃ." [Exc. de sentent. (cod. p. 173) p. 267 Mai., 73 Niebuhr.]

32 *Ὁ δὲ Προκόπιος τοὺς χαριεστέρους ἀναλαβὼν ἐπὶ τὸν βασιλέα Οὐάλεντα διὰ Φρυγίας συνηπείγετο.* [Suidas v. *χαριεστέρους.*]

33 *Ὥσπερ οὖν οἱ φυσικοί φασι πάσης κινήσεως εἶναι τέλος ἀκινησίαν, ἣ ταῖς ἄλλαις κινήσεσι τὸ κινεῖσθαι δίδωσιν αὐτὴ μένουσα, οὕτως ἄν τις ὑπέλαβε καὶ τότε τὸν πρεσβύτην Ἀρβιτίωνα παρατυχόντα τὴν τοῦ βασιλέως ἄτακτον καὶ κυματώδη φορὰν ἐς ὁμαλὸν καὶ λεῖον καταστορέσαι τοῦ λογισμοῦ πάθος· μικροῦ γὰρ ἐξέστη διὰ δειλίαν τῶν κοινῶν πραγμάτων.* [Exc. de sentent. (cod. p. 173) p. 267 Mai., 73 Niebuhr.]

34 *Μικροῦ τὰ πράγματα μετακινήσαντος Ὁρμίσδου τοῦ Πέρσου.* [Suidas v. *μικροῦ.*]

Μικροῦ τὰ πράγματα μετακινήσαντος, ἀντὶ τοῦ, παρ' ὀλίγον, παρὰ μικρόν. [Suidas v. *μικροῦ δεῖν.* Conf. Zosimus IV, 8, 1.]

35 *Μεγαλόψυχον γὰρ καὶ λίαν θεοειδὲς τὸ καὶ τῶν αἰτίων φείσασθαι, οὐκ ἔξω δὲ τῆς ἀνθρωπίνης φύσεως τὸ μὴ καὶ τῶν ἀναιτίων. τὸ μὲν γὰρ ξένον τῆς τιμωρίας λόγῳ γίγνεται τῆς ἀρχῆς, ἵνα φόβῳ συνέχηται τὸ ἀρχόμενον· τὸ δὲ ὑπεροπτικὸν τῆς κολάσεως*

δι' ἀρετῆς ὑπεροχὴν γίγνεται, ὡς τῆς βασιλικῆς ἀρχῆς διὰ μέγεθος καὶ ὄγκον ἀρκούσης ἑαυτῇ καὶ ἄνευ τιμωρίας. ἀλλὰ ταῦτα μέν, ὅπῃ γνώμης ἔχει τις καὶ κρίνει, οὕτως ἐχέτω.

Ὅτι ὁ Ποσειδώνιος ἔλεγεν ἀπελθόντος Ἀλεξάνδρου τὸ στρατόπεδον ἐοικέναι τῶν Μακεδόνων ἐκτετυφλωμένῳ τῷ Κύκλωπι. [Exc. de sentent. (cod. p. 173) p. 267—268 Mai., 74 Niebuhr.]

Αἰλιανός. Οὗτος ἐπὶ Οὐάλεντος ἐστρατήγησεν· 36 *ἦν δὲ ἐκ Συέδρων· ἐλεύθερος δὲ ὢν ἄγαν καὶ ἀνεστηκὼς ἐκ παιδὸς τὴν ψυχὴν γενόμενος, ἀφθόνως ἐχορηγήθη τὰ παρὰ τοῦ σώματος· τὰ γὰρ ὄργανα συνεπεπήγει καὶ ἐνέτρεχε τοῖς τῆς ψυχῆς κινήμασιν, ὥσθ' ἅμα τι πρᾶξαι ἐδέδοκτο καὶ ἐπέπρακτο· καὶ παιδείας οὔτε ἐντὸς ἦν οὔτε ἄμοιρος, ἀλλ' ἦν ἀγροικότερος, ὅσον θυμοειδέστερος, καὶ τὸ θηριῶδες τοῦ θυμοῦ καὶ ἄγριον οὐκ ἐξημέρωτο καὶ κατείργαστο ὑπὸ τοῦ λόγου.* [Suidas. „Totum hunc locum ex Historia deperdita Eunapii depromptum esse discimus e Suida v. *ἀνεστηκώς*: ubi fragmenti huius pars addito scriptoris istius nomine adducitur.“ Kuster. Prima verba usque ad *ἐκ παιδός* iterum Suidas v. *Συέδρων* apponit.]

Ὅτι τῷ βασιλεῖ Οὐάλεντι ἡσυχίαν ἀπὸ τῶν οἰ- 37 *κείων καὶ τῶν ὀθνείων ἄγοντι τὸ ἐπίλεκτον ἀγγέλλεται τῶν Σκυθῶν στράτευμα πλησίον ἤδη που τυγχάνειν, οὓς ὁ Προκόπιος ἐς συμμαχίαν ἐξεκεκλήκει παρὰ τοῦ Σκυθῶν βασιλέως. γαύρους εἶναι τὰ φρονήματα ἔλεγον τοὺς προσιόντας καὶ περιφρονητικοὺς τῶν ὁρωμένων* (*Ῥωμαίων* Boiss.), *ὀλιγώρους τε πρὸς τὸ ἀκόλαστον μεθ' ὕβρεως καὶ πολὺ τὸ ἀγέρωχον καὶ θερμὸν ἐπὶ πᾶσιν ἔχοντας. ὁ δὲ βασιλεὺς συντόμως αὐτοὺς ἀποτεμὼν τῆς ἐπὶ Σκύθας*

ὑποστροφῆς κατεῖχεν ἐντὸς ἀρκύων, καὶ τὰ ὅπλα παραδοῦναι κελεύσας. οἱ δὲ ἔδοσαν, τὴν τῆς γνώμης ὑπεροψίαν μέχρι τοῦ κινῆσαι τὰς κόμας (κώμας Wyttenb.) ἐπιδειξάμενοι. διασπείρας οὖν αὐτοὺς κατὰ τὰς πόλεις ἐν ἀδέσμῳ κατεῖχε φρουρᾷ, καὶ καταφρόνησιν ἐνεποιεῖτο τοῖς θεωμένοις αὐτῶν τὰ σώματα πρός τε μῆκος ἀχρεῖον ἐλαυνόμενα καὶ βαρύτερα τοῖς ποσί, κατά τε τὸ μέσον διεσφιγμένα, ἧπέρ φησιν Ἀριστοτέλης τὰ ἔντομα. δεχόμενοι δ' οὖν αὐτοὺς ἐς τὰς οἰκίας οἱ τὰς πόλεις οἰκοῦντες καὶ πειρώμενοι τῆς ἀσθενείας, τὴν ἑαυτῶν ἐξαπάτην γελᾶν ἠναγκάζοντο. τούτους ἀπῄτει τοὺς γενναίους ὁ Σκυθῶν βασιλεύς. καὶ ἦν τὸ πρᾶγμα δριμὺ καὶ πρὸς τὸν τοῦ δικαίου λόγον οὐκ εὐδιαίτητον. ὁ μὲν γὰρ ἔφασκε βασιλεῖ δεδωκέναι κατὰ συμμαχίαν καὶ ὅρκους· ὁ δὲ ἀπέφασκε βασιλέα μὴ τυγχάνειν καὶ αὐτὸν οὐκ ὀμωμοκέναι. ἐκείνου δὲ προστιθέντος τὸν Ἰουλιανόν, καὶ ὅτι διὰ τὴν ἐκείνου ἐδεδώκει συγγένειαν, καὶ τὰ τῶν πρέσβεων ἀξιώματα προστιθέντος, ὁ βασιλεὺς ἀντεφώνει, τούς τε πρέσβεις ἔχειν τὴν δίκην καὶ τοὺς παρόντας ὡς πολεμίους κατέχεσθαι, πολεμίῳ πρὸς συμμαχίαν ἥκοντας. ἐκ τούτων δὲ τῶν προφάσεων ὁ Σκυθικὸς ἀνεγείρεται πόλεμος, τῷ μὲν ἀξιώματι τῶν συνιόντων ἐθνῶν καὶ τοῖς μεγέθεσι τῶν παρασκευῶν ἐπὶ μέγα προβήσεσθαι καὶ χωρήσειν πολυτρόπων συμφορῶν καὶ ἀτεκμάρτου τύχης προσδοκηθείς, τῇ δὲ τοῦ βασιλέως ὀξύτητι καὶ προνοίᾳ κατενεχθεὶς ἐπὶ τὸ σταθερὸν καὶ ἀσφαλέστερον. [Exc. de legat. p. 18—19 Par., 46—48 Niebuhr. Ex postrema huius fragmenti parte quaedam delibavit Suidas v. ἀτέκμαρτον· Εὐνάπιος δὲ λέγει· "τῷ τε (l. μὲν) ἀξιώματι τῶν συνιόντων ἐθνῶν καὶ τοῖς μεγέθεσι τῶν παρα-

σκευῶν ἐπὶ μέγα προβήσεσθαι (adde καὶ χωρήσειν) πολυτρόπων συμφορῶν καὶ ἀτεκμάρτου τύχης προσδοκηθείσης (l. προσδοκηθείς). Quae sequuntur apud Eunapium item habet Suidas v. σταθερόν. MÜLLERUS.]

Ὁ δὲ Θεόδωρος ὁ κατειλεγμένος τοῖς νωταρίοις 38
ἐν δίκῃ ἐτιμᾶτο παρὰ τοῦ βασιλέως· τό τε γὰρ εὖ γεγονέναι προσῆν αὐτῷ καὶ τὸ εὖ πεφυκέναι πρὸς ἀρετὴν ἅπασαν, τό τε σῶμα συνήνθει ταῖς ἀρεταῖς, καὶ τὸ ἐπαφρόδιτον ἐν ταῖς συνουσίαις κόσμος ἐδόκει τῶν ἀρετῶν ἐμμελής τις εἶναι καὶ παναρμόνιος. ἀλλ' ἔλαθεν, ᾗ φησιν Ὅμηρος, ὑπὸ τῶν ἰδίων διαφθαρεὶς καλῶν. τὸ γὰρ ἀνθρώπινον, καὶ ὅσοι περὶ στρατείας ἐπὶ τὰ κέρδη καὶ τὰς κοινὰς τύχας ἐπτοημένοι καὶ κεχηνότες, τὴν ἡμερότητα καταμαθόντες αὐτοῦ καὶ τὸ πρὸς τὰς ὁμιλίας εὐκρατὲς καὶ πρόχειρον, ταχὺ μάλα τὴν ἄμαχον καὶ φοβερὰν καὶ τοῖς νοῦν ἔχουσι κολακείαν ὑποδύντες καὶ προβαλόμενοι καθάπερ ἑλέπολίν τινα καὶ μηχανὴν ἄφυκτον, ἐξέωσαν τῶν ἀσφαλῶν καὶ σωτηρίων λογισμῶν τὸν νεανίσκον καὶ κατέσεισαν ἐς τὸν μανιώδη καὶ σφαλερὸν τῆς βασιλείας ἔρωτα.

Ὅτι φιλοχρηματίαν φασὶ πηγήν τινα πάσης κακίας τυγχάνειν, οὐδὲ τῇ κακίᾳ πότιμόν τε καὶ χρήσιμον· ἐξ ἐκείνης γὰρ τῆς ἀρχῆς καὶ ἀπὸ τῆς τῶν χρημάτων περιττῆς ἐπιθυμίας τὸ τῆς ψυχῆς ἄλογον ἀρδόμενον ἔριν τ' ἀνέφυσεν ἀνθρώποις καὶ μάχην· ἔρις δὲ αὐξηθεῖσα πολέμους ἀνεβλάστησε καὶ φόνους· φόνων δὲ ὁ φυόμενος καρπὸς φθορὰ τοῦ γένους καὶ ὄλεθρος· ἃ δὴ καὶ ἐπὶ Οὐάλεντος συνεπράττετο. [Exc. de sentent. (cod. p. 173, 174) p. 268–269 Mai., 74–75 Niebuhr.]

Οὗτος περὶ τοὺς χρόνους Οὐάλεντος ἐς τὴν 39
Ἀσίαν ἐκπέμπεται ἀνθύπατος· τὴν δὲ βασιλικὴν

γλῶτταν ἐπεπίστευτο. πέμπεται δὲ ὅμως τὸν ποιητικὸν καὶ μυθώδη Ἔχετον, καὶ εἰ δή τις ἄλλος ἐκ Σικελίας ἢ Θετταλίας τοιοῦτος, χρυσὸν ἀποδείξων καὶ πανήγυριν. ἦν δὲ ἡ μανία οὐ θύραθεν, ἀλλ' ἔνδοθεν ἐλύττα καὶ ἐμαίνετο, ἀνὴρ φύσει πονηρὸς καὶ ἐξουσίαν ἔχων καὶ τὴν ἐν ταῖς κολάσεσιν ἀγριότητα καταλιπὼν εὐδοκιμοῦσαν ἐν τοῖς βασιλείοις οὐκ ἔστιν ὅ,τι παρανομίας ἀπέλιπε καὶ ἀσελγείας, ἀλλ' ἐπὶ τοσόνδε παραφορᾶς ἐρρύη καὶ φόνων ὥστε καὶ Μάξιμον ξίφει διέφθειρε, Κοίρανον Αἰγύπτιον ἐπισφάξας αὐτῷ, καὶ ἔτι θερμὸς ὢν καὶ ζέων τῷ λύθρῳ πάντας συνανῄρει καὶ κατέφλεγε. [Suidas v. Φῆστος. Eunapio locum primi vindicarunt Valesius ad Ammian. XXIX, 2, 22, Kusterus ad Suidam, Hemsterhuis ad Lucian. Necyom. c. 4. Nonnulla huius fragm. Suidas repetit vv. Ἔχετος, θύραθεν. MÜLLERUS.]

40 Σιμωνίδης· οὗτος ἦν ἐπὶ Ἰοβιανοῦ τοῦ βασιλέως διὰ φιλοσοφίαν πᾶσιν ἐπισημότατος.

Πατρίκιος· οὗτος ἤκμασεν ἐπὶ Ἰοβιανοῦ βασιλέως· ἦν δὲ ἐκ Λυδίας· ὅστις τῆς ἀπὸ τῶν φαινομένων ἢ καὶ παρατρεχόντων σημείων τεκμάρσεως ἀκριβὴς ἦν ἐξεταστής.

Ἱλάριος ὁ ἐκ Φρυγίας· ἐπὶ Ἰοβιανοῦ βασιλέως Ῥωμαίων· κατὰ παιδείαν μὲν ἦν ἀνὴρ οὐ γνώριμος, κοινωνεῖν δὲ αὐτῷ θεὸς ἐδόκει τῆς τοῦ μέλλοντος προγνώσεως, ὥστε ἦν μάντις ἄριστος. [Suidas sine nomine.]

41 Κατὰ μὲν οὖν τὰ πρῶτα τῆς συγγραφῆς, οὐδενὸς οὐδὲν σαφὲς λέγειν ἔχοντος ὅθεν τε ὄντες οἱ Οὖννοι ὅπῃ τε κείμενοι τὴν Εὐρώπην πᾶσαν ἐπέδραμον καὶ τὸ Σκυθικὸν ἔτριψαν γένος, ἐκ τῶν παλαιῶν συντιθέντι κατὰ τοὺς εἰκότας λογισμοὺς εἴρηται· τὰ δὲ ἐκ τῶν ἀπαγγελλομένων δοξάζοντι πρὸς τὸ ἀκριβές,

ὡς ἂν μὴ τοῦ πιθανοῦ τὴν γραφὴν ἀπαρτήσαιμεν μηδὲ παραφέροι πρὸς τὴν ἀλήθειαν ὁ λόγος. ἡμεῖς δὲ οὐ ταὐτὸν πάσχοντες τοῖς ἐκ παίδων οἰκίαν μικρὰν καὶ φαύλην οἰκήσασιν, εἶτα διὰ τύχης εὔροιαν μεγάλων καὶ λαμπρῶν ἐπιλαβομένοις οἰκοδομημάτων, ὅμως [δὲ] διὰ συνήθειαν τὰ ἀρχαῖα θαυμάζουσι καὶ περιστέλλουσιν, οὕτως αὐτοὶ τὰ προειρημένα γεγράφθαι συγχωρήσαντες ἑτέρων ἀποστε[ρούμεθα] πάλιν, ἀλλὰ μᾶλλον ὥσπερ οἱ κατά τινα θεραπείαν σώματος τὰ πρῶτα χρησάμενοί τινι φαρμάκῳ δι' ὠφελείας ἐλπίδα, κᾆτα τὸ κρεῖττον πείρᾳ δοκιμάσαντες ἐπ' ἐκεῖνο μεθίστανται καὶ ῥέπουσιν, οὐ τῷ δευτέρῳ τὸ πρότερον ἀναιροῦντες, ἀλλὰ τῷ δεδοξασμένῳ κακῶς καὶ τὸ ἀληθὲς ἐπεσάγοντες, καὶ καθάπερ φῶς ἀπὸ λαμπάδος διὰ τῆς ἡλιακῆς ἀκτῖνος ἀφανίζοντες καὶ ἀμβλύνοντες, ὁμοίως ἐπιθήσομεν τοῖς εἰρημένοις τἀληθέστερα, κἀκεῖνα διὰ τὴν ἱστορικὴν δόξαν συγχωρήσαντες μένειν καὶ ταῦτα διὰ τὴν ἀλήθειαν ἐφελκυσάμενοι καὶ παραζεύξαντες. [Exc. de sentent. (cod. p. 174, 283) p. 269—270 Mai., 75—76 Niebuhr.]

Ὅτι τῶν Σκυθῶν ἡττηθέντων καὶ ὑπὸ τῶν Οὔν- 42
νων ἀναιρεθέντων καὶ ἄρδην ἀπολλυμένων (τὸ πλῆθος), οἱ μὲν ἐγκαταλαμβανόμενοι σὺν γυναιξὶ καὶ τέκνοις διεφθείροντο, καὶ οὐδεμία φειδὼ τῆς περὶ τοὺς φόνους ἦν ὠμότητος. τὸ δὲ συναλισθὲν καὶ πρὸς φυγὴν ὁρμῆσαν πλῆθος μὲν (ἦν?) οὐ πολὺ τῶν εἴκοσι μυριάδων ἀποδέουσαι (ἀποδέον, ὅσοι?) συνῆλθον [τῶν] ἐς τὸ μάχιμον ἀκμαζούσας (ἀκμαζόντων?). *κινηθέντες [νικηθέντες Hoesch.] καὶ ταῖς ὄχθαις ἐπιστάντες χεῖράς τε ὤρεγον πόρρωθεν μετ' ὀλοφυρμῶν καὶ βοῆς καὶ προέτεινον ἱκετηρίας, ἐπιτραπῆναι τὴν διάβασιν παρακαλοῦντες καὶ τὴν σφῶν συμφορὰν

ὀδυρόμενοι καὶ προσθήκην τῇ συμμαχίᾳ παρέξειν ἐπαγγελλόμενοι. οἱ δὲ ταῖς ὄχθαις ἐπιτεταγμένοι Ῥωμαίων οὐδὲν ἔφασαν πράξειν ἄνευ βασιλέως γνώμης. ἐντεῦθεν ἀναφέρεται μὲν ἐπὶ τὸν βασιλέα ἡ γνῶσις· πολλῆς δὲ ἀντιλογίας γενομένης, καὶ πολλῶν ἐφ' ἑκάτερα γνωμῶν ἐν τῷ βασιλικῷ συλλόγῳ ῥηθεισῶν, ἔδοξε τῷ βασιλεῖ. καὶ γὰρ ὑπῆν τι ζηλοτυπίας αὐτῷ πρὸς τοὺς συμβασιλεύοντας, οἳ παῖδες μὲν ἦσαν ἀδελφοῦ· καὶ γέγραπται οὕτω πρότερον· τὴν βασιλείαν δὲ διῃρῆσθαι κατὰ σφᾶς ἐδόκουν, τὴν διανομὴν οὐκ ἀνενεγκόντες ἐπὶ τὸν θεῖον. τούτων δὴ ἕνεκα, καὶ ὡς μεγάλη προσθήκη τὸ Ῥωμαϊκὸν αὐξήσων, δεχθῆναι κελεύει τοὺς ἄνδρας τὰ ὅπλα καταθεμένους. πρὶν δὲ τὴν διάβασιν ἐκ βασιλέως ἐπιτραπῆναι, Σκυθῶν οἱ τολμηρότατοι καὶ αὐθάδεις βιάσασθαι τὸν πόρον ἔγνωσαν, καὶ βιαζόμενοι κατεκόπησαν. οἱ δὲ διαφθείραντες τὸν ἀποδασμὸν τοῦτον τῆς τε ἀρχῆς παρελύθησαν καὶ περὶ τοῖς σώμασιν ἐκινδύνευσαν, ὅτι πολεμίους διέφθειραν. οἵ τε παραδυναστεύοντες βασιλεῖ καὶ δυνάμενοι μέγιστον κατεγέλων αὐτῶν τὸ φιλοπόλεμον καὶ στρατηγικόν, πολιτικοὺς δὲ οὐκ ἔφασαν εἶναι. ὁ μὲν γὰρ βασιλεὺς ἐξ Ἀντιοχείας ἐπέτρεπεν αὐτοῖς τὴν ἀχρεῖον ἡλικίαν πρῶτον ὑποδεξαμένοις καὶ παραπέμψασιν ἐς τὴν Ῥωμαϊκὴν ἐπικράτειαν, καὶ ταύτην ἐς ὁμηρείαν ἀσφαλῶς κατέχουσιν, ἐπιστῆναι ταῖς ὄχθαις, καὶ μὴ πρότερον τοὺς μαχίμους δέξασθαι διαβαίνοντας, μηδὲ τὰ πλοῖα παρασχεῖν ἐς τὴν περαίωσιν, εἰ μὴ τὰ ὅπλα καταθέμενοι γυμνοὶ διαβαίνοιεν. οἱ δὲ ταῦτα ἐπιτραπέντες, ὁ μὲν ἐκ τῶν διαβεβηκότων ἤρα παιδαρίου τινὸς λευκοῦ καὶ χαρίεντος τὴν ὄψιν, ὁ δὲ ἥλω γυναικὸς εὐπροσώπου τῶν αἰχμαλώτων, ὃς δὲ ἦν αἰχμάλωτος

ὑπὸ παρθένου, τοὺς δὲ τὸ μέγεθος κατεῖχε τῶν δώρων, τά τε λινᾶ ὑφάσματα καὶ τὸ τῶν στρωμάτων ἐπ' ἀμφότερα θυσανοειδές· ἕκαστος δὲ ἁπλῶς αὐτῶν ὑπελάμβανε καὶ τὴν οἰκίαν καταπλήσειν οἰκετῶν καὶ τὰ χωρία βοηλατῶν καὶ τὴν ἐρωτικὴν λύτταν τῆς περὶ ταῦτα ἐξουσίας. νικηθέντες δὲ ὑπὸ τούτων νίκην αἰσχίστην καὶ παρανομωτάτην, ὥσπερ τινὰς εὐεργέτας καὶ σωτῆρας παλαιοὺς μετὰ τῶν ὅπλων ἐδέξαντο. οἱ δὲ τοσοῦτον ἀκονιτὶ πρᾶγμα διαπεπραγμένοι καὶ τὴν οἴκοι συμφορὰν εὐτυχήσαντες, οἵ γε ἀντὶ τῆς Σκυθῶν ἐρημίας καὶ τοῦ βαράθρου τὴν Ῥωμαϊκὴν ἀρχὴν ἀπελάμβανον, εὐθὺς πολὺ τὸ βάρβαρον ἐν τῷ παρασπόνδῳ καὶ ἀπίστῳ διέφαινον. ἡ μὲν γὰρ ἄχρηστος ἡλικία προλαβοῦσα κατὰ τὴν διάβασιν μετὰ βαθείας σπουδῆς καὶ φροντίδος τῶν ταῦτα βεβουλευμένων ἐς τὰ ἔθνη κατεχεῖτο καὶ διεσπείρετο. οἰκέται δὲ καὶ γυναῖκες καὶ παῖδες ἐκείνων, οἱ μὲν βασιλικὰ παράσημα ἔχοντες, τὰς δὲ ἦν ἁβροτέρας ὁρᾶν ἢ κατὰ αἰχμάλωτον. παῖδες δὲ αὐτῶν καὶ τὸ οἰκετικὸν πρός τε τὴν εὐκρασίαν τῶν ἀέρων ἀνέδραμον καὶ παρὰ τὴν ἡλικίαν ἥβησαν, καὶ πολὺ τὸ ἐπιφυόμενον ἦν πολέμιον γένος. οἱ μὲν οὖν παλαιοὶ μῦθοι λέγουσι περὶ τὴν Βοιωτίαν καὶ τὴν Κολχίδα, δρακοντείων ὀδόντων κατασπαρέντων, ἐν ὅπλοις ἅμα τῷ σπόρῳ τοὺς ἄνδρας ἀναπάλλεσθαι (ἀνατέλλεσθαι Wytt.)· ὁ δὲ καθ' ἡμᾶς χρόνος καὶ τὸν μῦθον τοῦτον ἐς φῶς καὶ ἔργον συνήγαγε καὶ ὀφθῆναι κατηνάγκασεν. οὐ γὰρ ἔφθασαν τοῦ Σκυθικοῦ γένους ἐς τὴν ἐπικράτειαν τὴν Ῥωμαϊκὴν οἱ παῖδες ὥσπερ ὀδόντες διασπαρέντες καὶ πάντα ἦν μεστὰ θυμοῦ καὶ μανίας καὶ φόνων, ἀνελθόντων αὐτῶν ἐς ἡλικίαν μάχιμον παρὰ τὸν χρόνον. τὸ δὲ ἀκμάζον τῆς Σκυθικῆς ἀλκῆς

καὶ γενναιότητος, τοῖς ὑποδεξαμένοις ἀντὶ τῶν ἐκβεβληκότων ἐς ἐπανάστασιν εὐθὺς ἐγερθὲν καὶ μαχόμενον, πολὺ δεινότερα καὶ τραγικώτερα συνετόλμησεν ὧν ἔπαθεν. ἡ μὲν γὰρ Θρᾴκη πᾶσα καὶ ἡ συνεχὴς αὐτῇ χώρα Μακεδονία καὶ Θετταλία τοιαύτη τίς ἐστι καὶ οὕτω πολυύμνητος ὥστε οὐδὲ εἷς κατὰ (καὶ Wytt.) ταῦτα ἀναγράφειν ὁ λόγος ἦν. τοσαύτην δὲ οὖσαν αὐτὴν καὶ οὕτω πολυάνθρωπον, εὐδαίμονά τε ἅμα καὶ εὔανδρον, ἡ τῶν Σκυθῶν ἄπιστος καὶ παράλογος ἐπανάστασις ἐξαπιναίως καὶ παραχρῆμα τῆς διαβάσεως συντολμηθεῖσα καὶ ἀνοιδήσασα κατεστόρεσεν ἐς τοσόνδε καὶ καθημάξευσε ταῖς συμφοραῖς ὥστε χρυσὸν ἀποδειχθῆναι πρὸς τὰ Θρᾴκια πάθη τὴν Μυσῶν παροιμιώδη λείαν. δόξαν δ᾽ αὐτοῖς στασιάζειν, ἀξιομάχου μὴ παρούσης δυνάμεως ἐς ἄμυναν, τῷ τε πλήθει πρὸς ἀνθρώπους ἀφυλάκτους καὶ ἀνόπλους ἐφάνησαν φοβερώτατοι καὶ τῷ φονικωτάτῳ πρὸς τὸ κρατούμενον πάντα ἀνδρῶν ἐχήρωσαν. περιειστήκει δὲ ἐς ἴσον λόγον καὶ Σκύθας Οὔννων μὴ φέρειν ὄνομα καὶ Ῥωμαίους Σκυθῶν. πόλεις γοῦν εὐαρίθμητοι καὶ ὀλίγαι τινὲς διεσώθησαν καὶ ἔτι σώζονται τειχῶν ἕνεκεν καὶ οἰκοδομημάτων· ἡ δὲ χώρα καὶ (κατὰ Wytt.) τὸ πλεῖστον ἀπανάλωται, καί ἐστιν ἀοίκητον καὶ ἄβατον διὰ τὸν πόλεμον. βασιλεὺς δὲ ἐπειδὴ τούτων ἐπύθετο τῶν ἀδιηγήτων κακῶν, πρὸς μὲν τοὺς Πέρσας ἀναγκαίαν εἰρήνην συνθέμενος, ἑαυτῷ δὲ πολεμήσας ἐπὶ μεταγνώσει τῆς ὑποδοχῆς, τῷ θυμῷ τε ὑπερέζεσε καὶ πρὸς τὸν πόλεμον ἐντείνων (ἐντύνων B.) ἑαυτὸν προκαταπέμπει τὸ Σαρακηνῶν ἱππικὸν ὡς ἀντισχῆσον τοῖς βαρβάροις. ἤδη γὰρ καὶ τὴν Κωνσταντίνου πόλιν κατέτρεχον, καὶ τείχεσιν ἠνώχλουν περικαθήμενοι, πολέμιόν τε οὐδὲν

ὁρῶντες ἐς ἀντίπαλον μάχην καὶ τοῖς φρονήμασιν ἐς πᾶσαν ὕβριν ὠλισθηκότες. ὃ δὴ καὶ περιφανῶς ἔδοξε κάλλιστα στρατηγῆσαι κατὰ τὸν καιρὸν ἐκεῖνον ἡ τύχη. [Exc. de legat. p. 19—21 Par., 48—52 Nieb.]

43 *Ὁ δὲ βασιλεὺς τούτους δεξάμενος κτήματά τε αὐτοῖς καὶ χώραν ἀπένειμε, καὶ προβόλους τε ὑπελάμβανε γενναίους καὶ ἀδαμαντίνους ἔχειν πρὸς τὰς ἐκείνῃ τῶν Οὔννων ἐμβολάς.* [Suidas v. *προβόλος.*]

44 *Ὅτι Μαρκιανὸς ἀνὴρ ἐς ἀρετὴν ἅπασαν ὥσπερ τις κανὼν ἠκριβωμένος.* [Exc. de sentent. (cod. p. 283) p. 270 Mai., 76 Niebuhr.]

45 *Μουσώνιος ἐπὶ Ἰοβιανοῦ ἦν βασιλέως. πάντα ὅσα ἦν ἄριστα μικρὰ ἐφαίνοντο πρὸς τὸν ὄγκον Μουσωνίου καὶ τὴν σὺν τῷ δραστηρίῳ τῆς γνώμης βαθύτητα· δι' ἃ κατὰ λόγον εὐδοκιμῶν τήν τε ἁλιτενῆ χώραν τῆς Ἀσίας ἐπῆλθε καὶ ὁ τὴν ἀνθύπατον καὶ μείζονα ἔχων ἀρχὴν πρὸς τὰς ἐπιδημίας ἐξίστατο, κἀκεῖνος ἅπαντα ἐπιὼν ἐν ὀλίγαις ἡμέραις τὴν θάλατταν ἐπλήρωσε τῶν ἀπὸ τῆς Ἀσίας ἐσφορῶν. ἐπεκάλει δὲ οὐδεὶς ἄδικον οὐδὲν τοῖς γιγνομένοις· ἀλλὰ παιδιά τις ἦν ἅπασι τοῖς καταβάλλουσι τὰ ἐσφερόμενα· Εὐνάπιος γὰρ ὁ ἐκ Φρυγίας ῥήτωρ ἐπεστάτει τοῖς πραττομένοις.* [Suidas.]

Φιλόκαλος γὰρ ὢν καὶ φιλάγαθος ὁ Μουσώνιος τοὺς πανταχόθεν καθεῖλκε παρ' ἑαυτόν, ὥσπερ ἡ μαγνῆτις λίθος τὸν σίδηρον. οὐκ ἦν δὲ βασανίζειν ὁποῖός τις ὁ δεῖνα, ἀλλὰ Μουσωνίου φίλον ἀκούσαντα ὅτι καλὸς κἀγαθὸς ἦν εἰδέναι.

Ὅτι συνηρτῆσθαι τοῦ πολέμου δοκοῦντος Μουσώνιος ἵππον ἐπιβὰς ἐξῄει τῶν Σάρδεων. καὶ ὁ Θεόδωρος τὸν συγγραφέα μεταπεμψάμενος ἐδάκρυσε τὴν ἔξοδον, καὶ ἀνδρὶ τἆλλα γε ἀτεράμονι καὶ ἀτέγκτῳ δάκρυα κατεχεῖτο τῶν παρειῶν ἀκρατέστερον.

Ὅτι τὸ ἐς Μουσώνιον ἐπίγραμμα τὸ παρὰ Θεοδώρου τοιοῦτόν ἐστιν·

ἔνθα μὲν Αἴας κεῖται ἀρήιος, ἔνθα δ' Ἀχιλλεύς,
ἔνθα δὲ Πάτροκλος θεόφιν μήστωρ ἀτάλαντος,
ἔνθα δ' ἐπὶ τρισσοῖσι πανείκελος ἡρώεσσι
ψυχὴν καὶ βιότοιο τέλος Μουσώνιος ἥρως.

Ὅτι οἱ Ῥωμαῖοι κατεκόπησαν παρὰ Ἰσαύρων, καὶ τούτῳ ὥσπερ δράματι μεγάλῳ καὶ τραχεῖ τὸ κατὰ Μουσώνιον ἐπεισόδιον οὐκ ἔλαττον ὁ δαίμων ἐπήνεγκεν. ἐνταῦθά που τῆς συγγραφῆς ἀφώρισται τὸ πραχθέν, ὅτι τοῖς χρόνοις παρέτεινε καὶ συγκατέστρεψεν ἐπὶ τὰ προειρημένα, ὥστε τοῖς καιροῖς μὴ πολὺ παραλλάττειν ἐς τὸ τέλος τὴν γραφήν. [Exc. de sentent. (cod. p. 283) p. 270—271 Mai., 76—77 Niebuhr. Ex postremis quaedam citat Suidas v. δρᾶμα et ἐπεισόδιον.]

46 Ὅτι ὁ βασιλεὺς Οὐάλης κατὰ τὸν καιρὸν ἡνίκα οἱ Σκύθαι τὴν Μακεδονίαν ἐπέτρεχον παρελθὼν ἐς τὴν πόλιν τὰς πανταχόθεν δυνάμεις συνήγειρεν, ὡς μέγα τι καὶ παράδοξον ἐργασόμενος. ὅσον δὲ παιδεία [ἡ διὰ] ἀναγνώσεως ἰσχύει πρὸς τοὺς πολέμους καὶ ἡ διὰ τῆς ἱστορίας ἀριβὴς θεωρία πρὸς ἄμαχόν τινα καὶ γραμμικὴν ἔκβασιν τελευτῶσι καὶ συνηναγκασμένην καὶ τότε ὁ χρόνος ἀπέδειξεν. πολλῶν γὰρ ἐπὶ πολλοῖς μαρτυρούντων, καὶ τῆς πείρας πόρρωθεν βοώσης ὅτι οὔτε πολλοῖς οὔτε ὀλίγοις μάχεσθαι προσῆκεν ἀπεγνωκόσιν ἑαυτῶν καὶ πρὸς κίνδυνον ἑτοίμως ἔχουσιν, ἀλλ' ὅτι τοιαῦτα στρατόπεδα καταλύειν συμφέρει χρονοτριβοῦντα τὸν πόλεμον καὶ περικόπτοντα τὰς ἀφορμὰς τῶν ἐπιτηδείων, ὅπως ὑφ' ἑαυτῶν πολεμοῖντο δι' ἔνδειαν πολλοὶ τυγχάνοντες, καὶ μὴ πρὸς τύχην ἀποκινδυνεύωσιν, ἀλλ' ἐν ἀπόρῳ

καὶ τὸ κινδυνεύειν ἔχωσιν, ἐπὶ τοῖς ἐναντίοις οὔσης τῆς ἐπιχειρήσεως· *

Ὡς δὲ ἦν τοιούτων ἀρετῶν ἡ κτῆσις * — *σπανιώτερον δὲ οὐδὲν ἀρετῆς ἐν βίοις διεφθαρμένοις καὶ ἀγωγαῖς ἐπὶ τὸ χεῖρον προκατειλημμέναις.* [Exc. de sentent. (cod. p 283, 284) p. 271—272 Mai., 77—78 Niebuhr.]

Σεβαστιανός. οὗτος ἐπὶ Οὐάλεντος ἦν· ἐγένετο 47
δὲ ἐπὶ τούτου ἀνδρῶν πολεμικῶν ζήτησις· εὑρέθη δὲ οὗτος ὁ ἀνὴρ πάσης ἐλπίδος κρείττων, οὐδεμιᾶς ἀρετῆς ἀποδέων· οὐδενὸς γὰρ μὴ ὅτι τῶν καθ᾽ αὑτὸν ἀνθρώπων [*ἐλείπετο*], *ἀλλὰ καὶ τοῖς παλαιοῖς δίκαιος ἦν παραβάλλεσθαι, καὶ τούτων τοῖς ἄγαν εὐδοκιμοῦσιν ἐς ἅπαντας· ὅς γε φιλοπόλεμος μὲν ὢν ἥκιστα φιλοκίνδυνος ἦν, οὐ δι᾽ ἑαυτόν, τῶν ἀρχομένων δὲ ἕνεκεν· χρημάτων δὲ αὐτῷ πλήθους ἔμελεν, ὅσα τὸ σῶμα διὰ τῶν ὅπλων κοσμήσειν ἔμελλε· τροφὴν δὲ προῄρητο σκληρὰν καὶ τραχεῖαν καὶ ὅση καμόντι ἤρκει καὶ ὁρμωμένῳ πρὸς κάματον οὐκ ἦν κώλυμα. φιλοστρατιώτης δὲ ὢν διαφερόντως στρατιώταις οὐκ ἐχαρίζετο, ἀλλὰ πᾶσάν τε ἀφῄρει πλεονεξίαν τὴν ἀπὸ τῶν οἰκείων, καὶ τὸ ἁρπακτικὸν ἐπὶ τοὺς πολεμίους ἔτρεπεν· ἐκόλαζε δὲ ἰσχυρῶς τοὺς παραβαίνοντας ταῦτα, καὶ τοῖς πειθομένοις ἐς τὸ εἶναι* (?) *συνηγωνίζετο· ἁπλῶς δὲ εἰπεῖν, ὑπόδειγμα καὶ χαρακτῆρα παρεῖχεν ἑαυτὸν ἀρετῆς· γεγονὼς δὲ ἐπὶ μεγάλαις καὶ λαμπραῖς στρατηγίαις, ὥσπερ ὁ Ῥοδίων κολοσσός, διὰ μέγεθος καταπληκτικὸς ὤν, οὐκ ἔστιν ἐράσμιος, κἀκεῖνος διὰ τὸ ἀφιλοχρήματον θαυμαστὸς ὢν οὐκ ἔσχε χάριν· προσκεκρουκὼς δὲ διὰ γνώμης ὀρθότητα τοῖς κατακοιμισταῖς εὐνούχοις τῶν βασιλέων, εὔκολος ὢν διὰ πενίαν καὶ κοῦφος ἐς μετανάστασιν, διεδέχθη τῆς στρατηγίας.* [Suidas.]

Ὅτι Σεβαστιανὸς τὴν ἡγεμονίαν παρὰ τοῦ βασιλέως Οὐάλεντος εἰληφὼς παρὰ τὴν πάντων ὑπόνοιαν δισχιλίους ᾔτησεν ὁπλίτας. τὴν δὲ ἐξουσίαν τῆς αἱρέσεως αὐτὸς ἐπιτραπείς, τοῦ βασιλέως καὶ χάριν προσομολογήσαντος, ὅτι κινδυνεύσει περὶ δισχιλίους, εἶτα ἐρομένου τὴν αἰτίαν, δι' ἣν ὀλίγους αἰτοίη, τὰ λοιπὰ ὁ Σεβαστιανὸς ἔφη τὸν πόλεμον εὑρήσειν· τοῖς γὰρ εὖ πράττουσι πολλοὺς προσθήσεσθαι· πλῆθος δὲ μετακαλεῖν ἐξ ἀναγωγίας δύσκολον· ὀλίγων δὲ ἀρχομένων ἐς τὸ καλὸν μεταπλασθέντων, καὶ τῆς ἀγωγῆς ἐπιτυγχανούσης, τοὺς κατὰ μικρὸν προσιόντας ῥᾷον ἐπὶ τὸ κρεῖττον ἐνταθήσεσθαι. [Exc. de sentent. (cod. p. 284) p. 272—273 Mai., 78 Niebuhr. Suidae locum Eunapio vindicavit Valesius ad Ammian. XXXI, 11. Nonnulla ex eo iterum affert Suidas vv. κολοσσὸς et προσκεκρουκώς.]

ΘΕΟΔΟΣΙΟΣ.

48 Ὁ δὲ βασιλεὺς Θεοδόσιος, παραλαβὼν τοσαύτην ἀρχὴν καὶ βασιλείαν, συνεμαρτύρησε τοῖς παλαιοῖς ἡλίκον ἐστὶ κακὸν ἐξουσία καὶ ὅτι πρὸς τὰ πάντα στεγανόν τε καὶ μόνιμον πλὴν εὐτυχίας ἄνθρωπος. οὐ γὰρ ἔφθασε παρελθὼν ἐπὶ τὴν ἀρχήν, καὶ καθάπερ μειράκιον νεόπλουτον πατρὸς ἐπὶ χρόνῳ πολλὰ χρήματα σεσωρευκότος διὰ σωφροσύνην καὶ φειδώ, ἀθρόως κυριεῦσαν τῶν πραγμάτων σφοδρόν τινα καὶ παντοῖον ὄλεθρον κατὰ τῶν εὑρεθέντων μαίνεται, οὕτω καὶ τότε ἦν ὁρῶντα ἐπισκοπεῖν ὥσπερ ἐκ περιωπῆς, τόν γε ἔμφρονα, μηδένα τρόπον ἀμελούμενον κακίας καὶ ἀκολασίας ἐς τὴν κοινὴν τῶν πραγμάτων διαφθοράν.

Ἀπορία γὰρ πρὸς ἐσφορὰς ἀκίνδυνον. [Exc. de sentent. (cod. p. 284) p. 272—273 Mai., 78—79 Niebuhr.]

[*Καὶ Θεοδόσιος ὁ βασιλεὺς ἐκμελὴς ἦν καὶ πάσῃ* 49
ῥᾳθυμίᾳ ἐκκείμενος. Suidas v. *ἐκμελές.*] Verba Eunapii agnoscit Boissonadus. Idem ad rerum statum, qui Theodosii temporibus erat, spectare censet sequentia apud Suidam:

Σιρομάστης, σκεῦός τι σιδηροῦν, λαβὴν ξυλίνην ἔχον παρὰ τοῖς τελώναις εἰς ἔρευνυν. Εὐνάπιος· "ὥστε ὁ σιρομάστης μᾶλλον εὐδοκίμει τοῦ δόρατος."

Ῥύμη, ὁρμὴ βιαία. Εὐνάπιος· "τοσαύτη τις ἦν πρὸς τὸ ἀσελγέστερον ῥύμη τε καὶ φορὰ ὥστε οἱ ἄρχοντες τῶν πολεμίων ἦσαν πολεμιώτεροι." Conf. Zosim. IV, 29, 3: *Οἱ τὰς πόλεις οἰκοῦντες πενίᾳ τε καὶ ἀρχόντων κακίᾳ τρυχόμενοι δυστυχῆ καὶ οἴκτιστον ἔτριβον βίον κτλ.*

Ἐπέκλυσεν, ἐκαθάρισεν ἢ ἀντὶ τοῦ ἐπέρρευσε. "τοσαῦτα καὶ τοιαῦτα ἐπέκλυσε κακὰ ὥστε χρυσὸς ἦν καὶ λευκή τις ἡμέρα κρατῆσαι τοὺς βαρβάρους." Eunapii esse coniiciunt Hemsterhusius ad Luciani Necyom. 4 et Boissonadus.]

Ὅτι οἱ Νικοπολῖται τῶν ἄλλων Θρᾳκῶν κατεγέ- 50
λασαν, οἳ τῷ φόβῳ τῆς βασιλείας τὰ δεινὰ ἔπασχον, τὸ μὲν βοηθῆσον ἀεὶ δι' ἐλπίδος λεπτῆς εἰκάζοντες, τὸ δὲ τῶν κινδύνων ἐνεστηκὸς πείρᾳ καὶ ὄψει διὰ μαλακίαν ὑπομένοντες. οὔτε γοῦν αὐτοὶ φρουράν τινα στρατιωτικὴν πεμφθήσεσθαι προσεδόκησαν οὔτε ἐν ἑτέροις ἔθεντο τὴν σωτηρίαν, ἀλλὰ τῶν μὴ δυναμένων ἑαυτοῖς ἀμύνειν περιφρονήσαντες ἐς ἐλευθερίαν ἐπικίνδυνον ἀπέστησαν.

Ὅτι ἐπὶ Θεοδοσίου οἱ βάρβαροι τὴν Θρᾴκην ἐδῄωσαν κατὰ μικρόν. [Exc. de sentent. (cod. p. 284) p. 274 Mai., 79 Niebuhr.]

Πολὺ διεστῶτας ἀλλήλων χωρεῖν ἐκέλευεν, ὅπως 51

μὴ δουποίη τὰ ὅπλα, μήτε τῷ παραστάτῃ θλιβόμενα μήτε τῷ φέροντι διὰ τὸν συνωθισμὸν περικτυπούμενα. [Suidas v. παραστάτης.]

52 Ὁ δὲ φέρων γράμματα ἐν χαλκῷ, στέατι περιπεπλασμένα, καθεὶς ἐν πήρᾳ, ἐπιθεὶς δὲ καὶ ἄλλους ἄρτους ὁμοίως (καὶ ἄρτους ὁμοίους Casaubonus), ὡς μή τινα γνῶναι τὸ ἀπόρρητον. [Suidas v. στέατα. Ad eundem locum spectare videntur quae Suidas habet v. καθείς, ἐμβαλών, χαλάσας. "καθείς τε τὴν χεῖρα ἐς τὴν πήραν ἀναιρεῖται τὴν ἐπιστολήν."]

53 Ἀβρογάστης, Φράγγος, ὃς κατὰ ἀλκὴν σώματος καὶ θυμοῦ τραχύτητα φλογοειδὴς ἦν, δευτεραγωνιστὴς τυγχάνων Βαύδωνος. ἄλλως τε ἦν καὶ πρὸς σωφροσύνην πεπηγώς τε καὶ διηρθρωμένος, καὶ πρὸς χρήματα πόλεμον πολεμῶν ἄσπονδον. διέφερε γοῦν τῶν εὐτελῶν στρατιωτῶν ὅσον γε ἐς πλοῦτον οὐδέν· καὶ διὰ τοῦτο ἐδόκει τῷ βασιλεῖ Θεοδοσίῳ χρήσιμος, ὅς γε πρὸς τὸν Οὐαλεντινιανοῦ τρόπον, ἀρρενωπὸν ὄντα καὶ δίκαιον, καὶ τὸ παρ' ἑαυτοῦ βάρος ἐπετίθει, καθάπερ ὀρθὸν καὶ ἀστραβῆ τινα κανόνα τοῖς βασιλείοις, πρὸς τὸ μηδὲν τῶν περὶ τὴν αὐλὴν παραβλάπτεσθαι ἢ ἁμαρτάνεσθαι. [Suidas. „Eustathius Il. p. 513, 20 locum hunc (Ἀβρ. — φλογοειδὴς ἦν) de Abrogasto, quem Ἀβρογάστην vocat, ex Suida, ut opinor, αὐτολεξεὶ descripsit." Kuster. Partem affert Zonaras. Eunapio vindicavit Boissonadus.]

54 Τοιοῦτον δέ τι ἱστόρηται γενέσθαι κατὰ τὴν Νέρωνος βασιλείαν, ἀλλὰ περὶ μίαν πόλιν. φασὶ γὰρ τραγῳδόν τινα διὰ τὴν Νέρωνος ἐς ταῦτα φιλοτιμίαν ἐκπεσόντα τῆς Ῥώμης εἶτα πλανᾶσθαι, δόξαν αὐτῷ καὶ τὸ τῆς φωνῆς πλεονέκτημα πρὸς ἀνθρώπους ἡμιβαρβάρους ἐπιδεικνύναι, καὶ παρελθεῖν ἐς ταύ-

την (Ἴσπαλιν Bernays.) μεγάλην πόλιν καὶ πολυάνθρωπον, συναγεῖραί τε αὐτοὺς ἐς θέατρον. καὶ συνελθόντων τὴν μὲν πρώτην ἡμέραν σφαλῆναι τῆς ἐπιδείξεως· οὐδὲ γὰρ τὴν ὄψιν ὑπομείναντας τοὺς θεατάς, ἅτε ἄρτι καὶ πρῶτον ἑορακότας, φεύγειν θλιβομένους περὶ ἀλλήλοις καὶ πατουμένους. ὡς δὲ ὁ τραγῳδὸς ἰδίᾳ τοὺς πρώτους αὐτῶν ἀπολαβὼν τήν τε τοῦ προσωπείου φύσιν ἐδείκνυ καὶ τοὺς ὀκρίβαντας, ὑφ᾽ ὧν τὸ μέγεθος ἐς ὕψος παρατείνεται, καὶ συνέπειθεν οὕτως ἀνασχέσθαι καὶ τλῆναι τὴν ὄψιν, τότε παρελθὼν ἐς ἀνθρώπους καὶ ὣς μόλις ὑφισταμένους τὴν θέαν, τὸ μὲν πρῶτον ἐπιεικῶς καὶ μετρίως τῆς φωνῆς αὐτοὺς διέγευσε καὶ τοῦ μέλους· Εὐριπίδου δὲ τὴν Ἀνδρομέδαν ὑπεκρίνετο· προϊὼν δὲ σφοδρότερόν τε ἤχησε καὶ ὑφῆκεν αὖθις, εἶτα ἐπήγαγεν ἁρμονίαν σύντονον, ἐπὶ ταύτῃ δὲ πάλιν ἐς τὴν γλυκεῖαν περιήνεγκεν. ὥρα δὲ ἦν θέρους ὅ,τιπερ ἀκμαιότατον καὶ τὸ θέατρον κατείχετο. καὶ ὁ τραγῳδὸς ἀναπαυσαμένους ἠξίου σφᾶς φοιτᾶν ἐπὶ τὴν ἀκρόασιν περὶ λήγουσαν καὶ ἀποψύχουσαν ἡμέραν· οἱ δὲ πρὸ ποδῶν πεσόντες καὶ καλινδούμενοι πάσας ἠφίεσαν φωνὰς μήποτε αὐτοὺς ἀποστερῆσαι τοιαύτης μακαριότητος καὶ ἡδονῆς. ἐνταῦθα ὁ τραγῳδὸς ἀφεὶς ἑαυτὸν ἐπὶ τὴν σκηνὴν καὶ τὸ πάθος, — καίτοι γε τὰ πλεῖστα περιῄρητο τῆς τραγῳδίας πρὸς ἀνθρώπους ἀξυνέτους, ὄγκος τε καὶ βαρύτης λέξεων καὶ τὸ περὶ ταῦτα εἶδος καὶ ἡ τοῦ μέτρου χάρις τό τε τῶν ἠθῶν ἐναργές, ὀξύτατόν τε καὶ ἐπιφορώτατον ἐς ἀκοῆς κίνησιν, καὶ πρὸς τούτοις τὸ γιγνώσκεσθαι τὴν ὑπόθεσιν, — ἀλλ᾽ ὅμως τούτων ἁπάντων γεγυμνωμένος ἐς τοσόνδε τῇ τε εὐφωνίᾳ καὶ τῷ μέλει μόνῳ κατεκράτησεν ὥστε οἱ μὲν ἀνεχώρουν προσ-

κυνοῦντες ὡς θεὸν καὶ τὰ ἐξαίρετα τῶν παρὰ σφίσιν αὐτοῖς δῶρα ἐκόμιζον, καὶ τὸν πλοῦτον ὁ τραγῳδὸς ἐβαρύνετο. μετὰ δὲ τὴν ἑβδόμην τῆς ἐπιδείξεως ἡμέραν νόσημα κατέσκηψεν ἐς τὴν πόλιν, καὶ πάντες οὐ τὰς λέξεις σαφῶς, ἀλλὰ τὸ μέλος, ὡς ἕκαστος εἶχε δυνάμεως καὶ φύσεως, ἐκβοῶντες, καὶ διαρροίας ἀκρατοῦς ἅμα ἐπιπεσούσης ἐν τοῖς στενωποῖς παρεθέντες ἔκειντο, κακῶς ὑπὸ τῆς Ἀνδρομέδας ἐπιτριβόμενοι, καὶ ἐχηρώθη ἀνδρῶν τε καὶ γυναικῶν ἡ πόλις, ὥστε ἐκ τῶν προσοίκων ἐποικισθῆναι. ἀλλ᾽ ἐπ᾽ ἐκείνων μὲν εὐφωνίαν τε ἦν αἰτιάσασθαι καὶ ἀέρος ὑπερβάλλουσαν θερμότητα, ἣ τὸ μέλος διὰ τῆς ἀκοῆς ἐπὶ τὰ κύρια τῶν ψυχικῶν ὀργάνων συνέτηξε καὶ διέκαυσεν· ἐπὶ δὲ τῶν καθ᾽ ἡμᾶς ἀνθρώπων αἱ μὲν αἰτίαι τοῦ πάθους εὐθεώρητοι· περὶ τὰ ἔντερα γὰρ ἦσαν ἅπασαι καὶ ὑπὸ γαστέρα· τὸ δὲ καί τινας τῶν οὐκ ἀνοήτων πρὸς τοῦτο ὠλισθηκέναι οὐκ ἐς φυσικὴν ἄν τις εἰκότως, ἀλλ᾽ ἐς θειοτέραν ἀνενέγκοι κίνησιν, ποινηλατεῖσθαι σαφῶς τὸ ἀνθρώπινον. [Exc. de sentent. (cod. p. 127, 128) p. 274 Mai., 79—82 Niebuhr.]

55 *Φυλαὶ μὲν γὰρ τῶν πολεμίων τὴν ἀρχὴν διεβεβήκεσαν ἄπειροι, καὶ πλείους ἐπιδιέβαινον, οὐδενὸς κωλύοντος· ἀλλ᾽ ἐν τοσούτοις κακοῖς κέρδος αὐτοῖς ἐδόκει γνήσιον τὸ δωροδοκεῖσθαι παρὰ τῶν πολεμίων. εἶχε δὲ ἑκάστη φυλὴ ἱερά τε οἴκοθεν τὰ πάτρια συνεφελκομένη καὶ ἱερέας τούτων καὶ ἱερείας· ἀλλὰ στεγανή τις ἦν λίαν καὶ ἀδαμάντινος ἡ περὶ ταῦτα σιωπὴ καὶ τῶν ἀπορρήτων ἐχεμυθία, ἡ δὲ ἐς τὸ φανερὸν προσποίησις καὶ πλάσις ἐς τὴν τῶν πολεμίων ἀπάτην διηρτυμένη. καί τινας ὡς ἐπισκόπους αὐτῶν ἐς τὸ θαυμαζόμενον σχῆμα καταστολίσαντες καὶ περι-*

κρύψαντες, καὶ πολλῆς αὐτοῖς τῆς ἀλώπεκος ἐπιχέαντες, ἐς τὸ μέσον προηφίεσαν, πανταχοῦ τὸ ἀφύλακτον διὰ τῶν καταφρονουμένων ὅρκων παρ' ἐκείνοις, παρὰ δὲ τοῖς βασιλεῦσι σφόδρα φυλαττομένων, ὑποτρέχοντες καὶ κατασκευάζοντες. ἦν δὲ καὶ τῶν καλουμένων μοναχῶν παρ' αὐτοῖς γένος, κατὰ μίμησιν τῶν παρὰ τοῖς πολεμίοις ἐπιτετηδευμένον, οὐδὲν ἐχούσης τῆς μιμήσεως πραγματῶδες καὶ δύσκολον, ἀλλὰ ἐξήρκει φαιὰ ἱμάτια σύρουσι καὶ χιτώνια πονηροῖς τε εἶναι καὶ πιστεύεσθαι. καὶ τοῦτο ὀξέως συνεῖδον οἱ βάρβαροι τὸ θαυμαζόμενον παρὰ τοῖς Ῥωμαίοις ῥᾳδίως ἐς παραγωγὴν ἐπιτηδεύσαντες· ἐπεὶ τά γε ἄλλα μετὰ βαθύτητος καὶ σκέπης ὅτι μάλιστα στεγανωτάτης τῶν ἀπορρήτων τὰ παρὰ σφίσιν ἱερὰ γεννικῶς τε καὶ ἀδόλως φυλάττοντες [διετέλουν addit Nieb.]. οὕτω δὲ ἐχόντων τούτων, ὅμως ἐς τοσαύτην ἄνοιαν ἐξεπεπτώκεσαν ὥστε συμπεπεῖσθαι σαφῶς καὶ ἀμάχως τοὺς δοκοῦντας νοῦν ἔχειν ὅτι Χριστιανοί τέ εἰσι καὶ πάσαις ταῖς τελεταῖς ἀνέχοντες. [Exc. de sentent. (cod. p. 128, 319) p. 277—278 Mai., 82—83 Niebuhr.]

Ὅτι ἐπὶ Θεοδοσίου τοῦ βασιλέως ἐς τοῦτο ἤδη 56
συνέπεσεν ἅπαντα καὶ περιηνέχθη κατά τινα βίαν ἀπαραίτητον καὶ ἀνάγκην ἀνυπόστατον καὶ θεήλατον ὡς καὶ τὸ τῶν ὄνων γένος, μὴ ὅτι τῶν ἵππων, ἀλλὰ καὶ τῶν ἐλεφάντων γενέσθαι τιμιώτερον. ὁ μὲν οὖν Μακεδὼν Φίλιππος ἀναζευγνύναι μέλλων περὶ ἑσπέραν ἤδη, εἶτα πυθόμενος ὡς οὐ δυνατόν, εἰπόντων τῶν κωλυόντων χιλὸν οὐχ ὑπάρχειν ἱκανὸν τοῖς ὑποζυγίοις, ἀνέζευξε τοῦτ' εἰπών, ὡς οὐδὲν βασιλέως ἀτυχέστερον, ὃς καὶ πρὸς τὸν τῶν ὄνων καιρὸν ζῆν ἀναγκάζεται. ὁ δὲ καθ' ἡμᾶς χρόνος ἐκινδύνευσεν

ὄντως ἐπὶ τοῖς ὄνοις σαλεύειν. [Exc. de sentent. (cod. p. 319) p. 279 Mai., 83 Niebuhr.]

57 *Τοῦ βασιλέως Γρατιανοῦ τὰ μὲν καθ' ἕκαστον καὶ οἷός τις ἦν οὔτε δυνατὸν ἦν περιεργάζεσθαι· τὰ γὰρ ἐν τοῖς βασιλείοις ἐπικρύπτεται καὶ μάλα στεγανῶς· οὔτε πολυπραγμονοῦσι συμμαθεῖν· τὰ γὰρ ἀπαγγελλόμενα παρ' ἑκάστου, πολλὰς καὶ πολυμόρφους τὰς διαφορὰς ἔχοντα, μόνην τὴν ἀλήθειαν ὥσπερ τινὰ θησαυρὸν ἀπόρρητον οὐ διεγύμνου καὶ ἀπεκάλυπτεν. ὥσπερ οὖν τοῖς γράφουσι τὰς εἰκόνας καὶ τὸ δοθὲν παράδειγμα χαρακτηρίζουσιν ἐπιτείνει τὴν περὶ τὸ πρόσωπον ὁμοιότητα μικρά τινα τῶν ὑποκειμένων συμβόλων, καὶ ἢ ῥυτὶς ἐπὶ τοῦ μετώπου διακεχαραγμένη ἤ τις ἴονθος παρανατέλλων παρὰ τὸ γένειον ἢ τοιοῦτό τι μικρὸν καὶ παρημελημένον τῶν κατὰ τὴν ὄψιν, ὃ παροφθὲν μὲν οὐχ ὑπογράφει τὸ εἶδος, ἀκριβωθὲν δὲ μόνον αἴτιον τῆς ὁμοιότητος γίγνεται, οὕτως ἔξεστι καὶ ἐπὶ τοῦδε τοῦ βασιλέως συλλαμβάνειν οἷός τις ἦν, νέος τε ὢν καὶ ἐν ἐξουσίᾳ βασιλικῇ τραφεὶς ἐκ παιδὸς καὶ μὴ μεμαθηκὼς οἷον τὸ ἄρχον καὶ οἷον τὸ ἀρχόμενον· τοῦτο γὰρ μάλιστα διαφαίνει τὸ τῆς φύσεως μέγεθος, ὅταν τὴν προτεθεῖσαν ἀγωγὴν καὶ συνήθειαν ἡ φύσις ἐπὶ τὸ κρεῖττον ἐξώσῃ καὶ βιάσηται. ἔξεστι δὲ μαθεῖν ἐκ τῶν ὑποκειμένων παραδειγμάτων, ἐς ἃ συνωμολόγουν ἅπαντες καὶ ἀντέλεγεν οὐδὲ εἷς τῶν ληρεῖν συνειθισμένων καὶ τὸν κοινὸν φλήναφον ἠσκηκότων.* [Exc. de sentent. (cod. p. 319) p. 279—280 Mai., 83—84 Niebuhr.]

58 *Ὅτι ἐπὶ Θεοδοσίου τοῦ Μαξίμου στασιάσαντος καὶ βαρβάρων κατὰ Ῥωμαίων ἐκστρατευσάντων φήμη κατέσχε τοὺς βαρβάρους ὡς οἱ Ῥωμαῖοι στρατὸν ὅτι*

πλεῖστον συλλέγουσι. καὶ συλλογισάμενοι τὸ δεινὸν οἱ βάρβαροι ἐπὶ τὸ σύνηθες ἀνέδραμον σόφισμα, καὶ κατέδυσαν ἐπὶ τὰς Μακεδονικὰς λίμνας. καὶ συμφανές γε ἅπασι κατέστη ὡς ἡ Ῥωμαίων βασιλεία, τρυφὴν μὲν ἀρνουμένη, πόλεμον δὲ αἱρουμένη, οὐδὲν ἀφίησι τῆς γῆς τὸ ἀνήκοον καὶ ἀδούλωτον. ἀλλὰ δεινόν γέ τι χρῆμα ταῖς τῶν ἀνθρώπων φύσεσιν ὁ θεὸς ἐγκατέμιξεν, ὥσπερ τοῖς ὀστακοῖς τὴν ἐπικίνδυνον χολὴν καὶ τοῖς ῥόδοις τὰς ἀκάνθας, οὕτω ταῖς ἐξουσίαις συγκατασπείρας τὴν ἡδονὴν καὶ ῥᾳθυμίαν, δι' ἥν, πάντα ἐξὸν ἐς μίαν μεταστῆσαι πολιτείαν καὶ συναρμόσαι τὸ ἀνθρώπινον, αἱ βασιλεῖαι τὸ θνητὸν σκοποῦσαι πρὸς τὸ ἡδὺ καταφέρονται, τὸ τῆς δόξης ἀθάνατον οὐκ ἐξετάζουσαι καὶ παρεκλέγουσαι. [Exc. de sentent. (cod. p. 319, 320) p. 280—281 Mai., 84—85 Niebuhr. Conf. Eunapii epitomen in Zosimi IV, 45, 4 seqq.]

Ὅτι ὀλισθηρόν, ὡς ἔοικε, καὶ σφαλερώτερον ἄν- 59
θρωπος πρὸς τιμὴν ἢ συμφοράν. θεραπεύσαντες γὰρ τὸν Τατιανὸν οἱ περὶ τὸν βασιλέα Θεοδόσιον, τιμάς τε ὑπερφυεῖς ἐκ τοῦ βασιλέως καὶ μεταγνώσεις ἐπὶ τοῖς γεγενημένοις ἐνσπόνδους ποιησάμενοι, καὶ περὶ τῶν μελλόντων οὐρανομήκεις ἐλπίδας ὑποσπείραντες, τοῦτον παρέπεισαν ἀγαγεῖν τὸν υἱὸν αὐτοῦ Πρόκλον τοὔνομα· ὃν ἐς τὸ δεσμωτήριον συνέκλεισαν, καὶ τὸν Τατιανὸν ἐπὶ Λυκίας ἀπέπεμψαν τοῦ παιδὸς χηρώσαντες. [Exc. de sentent. (cod. p. 320) p. 281 Mai., 85 Niebuhr.]

Ὅτι ἐπὶ Θεοδοσίου τοὺς πρώτους χρόνους τῆς 60
βασιλείας τὸ τῶν Σκυθῶν ἔθνος ἐξελαυνόμενοι τῆς χώρας ὑπὸ τῶν Οὔννων διεβεβήκεσαν τῶν φυλῶν ἡγεμόνες, ἀξιώματι καὶ γένει προήκοντες. οὗτοι ταῖς

τιμαῖς τοῦ βασιλέως ἐξωγκωμένοι καὶ πάντα ἐφ᾽ ἑαυτοῖς ὁρῶντες κείμενα, στάσιν ἐν ἀλλήλοις οὐ μικρὰν ἤγειραν, οἱ μὲν ἀγαπᾶν καὶ δέχεσθαι τὴν παροῦσαν εὐδαιμονίαν κελεύοντες, οἱ δὲ τὸν οἴκοι γεγονότα φυλάττειν ὅρκον αὐτοῖς καὶ μὴ παραβαίνειν ἐκείνας τὰς συνθήκας. αὗται δὲ ἦσαν ἀσεβέσταται καὶ βαρβαρικὸν ἦθος ἐς ὠμότητα παρατρέχουσαι, παντὶ τρόπῳ Ῥωμαίοις ἐπιβουλεύειν καὶ πάσῃ μηχανῇ καὶ δόλῳ τοὺς ὑποδεξαμένους ἀδικεῖν, κἂν τὰ μέγιστα ὑπ᾽ αὐτῶν εὖ πάσχωσιν, ὡς ἂν τῆς ἐκείνων ἁπάσης χώρας ἐγκρατεῖς γένωνται. περὶ τούτου μὲν οὖν ἦν αὐτοῖς ἡ στάσις, καὶ διανεμηθέντες ἀπερράγησαν, οἱ μὲν τὰ χείρω προθέμενοι τῆς βουλῆς, οἱ δὲ τὰ εὐσεβέστερα, ἐπικρύπτοντες δὲ ἑκατέρα στάσις τὴν πρόφασιν τῆς ὀργῆς ὅμως. καὶ ὁ βασιλεὺς τιμῶν οὐκ ἔληγεν, ἀλλ᾽ ὁμοτραπέζους εἶχε καὶ ὁμοσκήνους, καὶ πολὺ τὸ φιλόδωρον ἐς αὐτοὺς ἦν· οὐδαμοῦ γὰρ ἐξεφέρετο καὶ παρεγυμνοῦτο τὰ τῆς φιλονεικίας. ἦν δὲ ἡγεμὼν τῆς μὲν θεοφιλοῦς καὶ θείας μερίδος Φράβιθος, ἀνὴρ νέος μὲν κατὰ τὴν ἡλικίαν, γεγονὼς δὲ ἐς ἀρετὴν καὶ ἀλήθειαν ἁπάντων ἀνθρώπων κάλλιστος. θεούς τε γὰρ ὡμολόγει θεραπεύειν κατὰ τὸν ἀρχαῖον τρόπον καὶ οὐδεμίαν ὑπέστη πλάσιν ἐς ἀπάτην καὶ διάκρουσιν, ἀλλὰ γυμνὴν καὶ καθαρὰν διέφαινε τὴν ψυχὴν ἐπὶ τοῦ βίου, ἐχθρὸν ὑπολαμβάνων

ὁμῶς Ἀΐδαο πύλῃσιν
ὅς χ᾽ ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ.

γυναῖκα οὖν ᾔτησε Ῥωμαίαν εὐθύς, ἵνα μηδὲν ὑβρίζῃ διὰ σώματος ἀνάγκην. καὶ ὁ βασιλεὺς ἐπέτρεψε τὸν γάμον, καὶ ὁ πατὴρ τῆς κόρης, ἐτρέφετο γὰρ ὑπὸ

πατρί, καὶ τὸ πρᾶγμα ἐθαύμασε, μακάριον ἑαυτὸν ὑπολαμβάνων, εἰ τοιοῦτον ἕξει γαμβρόν. τῶν μὲν οὖν ὁμοφύλων ὀλίγοι τινὲς τὴν εὐσέβειαν καὶ ἀρετὴν ἀγασθέντες τοῦ νεανίσκου πρὸς τὴν ἐκείνου γνώμην ἐχώρησαν καὶ συνειστήκεσαν, οἱ δὲ πολλοὶ καὶ δυνατώτεροι τῶν δεδογμένων ἐξ ἀρχῆς ἀπρὶξ εἴχοντο, καὶ πρὸς τὴν ὠδῖνα τῆς ἐπιβουλῆς σφαδάζοντες ἐμεμήνεσαν· ὧν ἦρχεν Ἐρίουλφος, ἀνὴρ ἡμιμανὴς καὶ τῶν ἄλλων λυττωδέστερος. συμποσίου δὲ προτεθέντος αὐτοῖς παρὰ τοῦ βασιλέως ἁδροτέρου καὶ πολυτελεστέρου, τὴν παροιμίαν ἀποδείξαντες ἀληθῆ τὴν λέγουσαν "οἶνος καὶ ἀλήθεια," τοῦ Διονύσου καὶ τότε ῥήξαντος αὐτοῖς παρὰ πότον τὴν ἐπικρυπτομένην στάσιν, διαλύεται μὲν τὸ συμπόσιον ἀτάκτως καὶ διὰ θυρῶν ἐχώρουν τεθορυβημένοι καὶ παρακεκινηκότες· ὁ δὲ Φράβιθος δι' ἀρετῆς ὑπερβολὴν τὸ καλὸν καὶ δίκαιον κάλλιον ἅμα καὶ θεοφιλέστερον ὀφθήσεσθαι νομίζων, εἰ προσθείη τάχος, οὐ περιμείνας ἕτερον καιρόν, ἀλλὰ σπασάμενος τὸ ξίφος τῆς πλευρᾶς Ἐριούλφου διήλασε. καὶ ὁ μὲν ἔκειτο πεσών, ὀνειροπολήσας τὴν ἄδικον ἐπιβουλήν· οἱ δὲ *** [Exc. de legat. p. 21—22 Par., 52—54 Niebuhr.]

Συμποσίου δὲ προτεθέντος αὐτοῖς παρὰ τοῦ βασιλέως ἁδροτέρου καὶ πολυτελεστέρου, τὴν παροιμίαν ἀπέδειξαν ἀληθινὴν τὴν λέγουσαν· "οἶνος καὶ ἀλήθεια τοῦ Διονύσου." διὸ καὶ τὸν θεὸν εἰκότως Λυαῖον καλοῦσιν, ὡς οὐ μόνον διαλύοντα τὰς λύπας, ἀλλὰ καὶ τὸ στεγανὸν τῶν ἀπορρήτων διαχέοντα καὶ διακαλύπτοντα. καὶ τότε ῥήξαντος αὐτοῖς παρὰ πότον τὴν βουλήν, διαλύεται τὸ συμπόσιον ἀτάκτως. [Exc. de sentent. (cod. p. 320) p. 281 Mai., 85—86 Niebuhr.]

Ἐπ' ἤματι, ἐν μιᾷ ἡμέρᾳ. "ὁ δὲ Θεοδόσιος τὴν 61

βασίλισσαν θανοῦσαν ἐπ' ἤματι σχεδόν τι ἐδάκρυσεν. ἀνάγκη γὰρ καὶ ὁ προκείμενος πόλεμος (contra Eugenium) συνεσκίαζεν αὐτῷ τὸ περὶ τὴν γυναῖκα πάθος." [Suidas.]

ΑΡΚΑΔΙΟΣ ΚΑΙ ΟΝΩΡΙΟΣ.

62 Ὅτι οἱ παῖδες Θεοδοσίου ἐπὶ τῆς βασιλείας αὐτοῦ ἔστησαν. εἰ δὲ τὸ ἀληθέστερον, ὅπερ ἐστὶ σκοπὸς ἱστορίας, προστιθέναι δεῖ τοῖς γεγενημένοις, τὸ μὲν ὄνομα ἦν τῶν βασιλέων, τὸ δὲ ἔργον τῶν μὲν κατὰ τὴν ἑῴαν Ῥουφίνου, τὰ δὲ ἑσπέρια Στελίχωνος ἐς ἅπασαν ἐξουσίαν· οὕτω γοῦν οἱ μὲν βασιλεῖς ἐπετάττοντο παρὰ τῶν ἐπιτροπευόντων τὰς ἀρχάς, οἱ δὲ ἐπιτροπεύοντες ἀεὶ πρὸς ἀλλήλους ἐπολέμουν ὥσπερ βασιλεύοντες, φανερῶς μὲν οὐκ ἐναντίας χεῖρας καὶ ὅπλα ἀράμενοι, κρύφα δὲ ἀπάτης καὶ δόλου μηδὲν ὑπολείποντες· διὰ γὰρ μαλακίαν καὶ ἀσθένειαν ψυχῆς τὸ διέρπον καὶ ὕπουλον τῶν μηχανημάτων αὐτοῖς ὡς ἀνδρεῖον... [Exc. de sentent. (cod. p. 320) p. 281—282 Mai., 86 Niebuhr.]

63 Ῥουφῖνος. οὗτος ἐπὶ Θεοδοσίου ἦν, βαθυγνώμων ἄνθρωπος καὶ κρυψίνους. ἦσαν δὲ οὗτός τε καὶ Στελίχων ἐπίτροποι τῶν Θεοδοσίου παίδων. ἄμφω [δὲ] τὰ πάντα συνήρπαζον, ἐν τῷ πλούτῳ τὸ κράτος τιθέμενοι, καὶ οὐδεὶς εἶχεν ἴδιον οὐδέν, εἰ μὴ τούτοις ἔδοξε· δίκαι τε ἅπασαι πρὸς τούτων ἐδικάζοντο, καὶ πολὺς ἦν ὄχλος τῶν περιθεόντων, εἴ πού τινι χωρίον ὑπάρχοι παντομιγές τε καὶ εὔκαρπον· καὶ ὁ δεσπότης εὐθὺς συνήρπαστο, κατηγορίας πεπλασμένης εὐλόγου, διά τινων ὑφειμένων ἐνηδρευμένος. καὶ ὁ ἀδικούμενος ἠδικεῖτο, τοῦ ἀδικοῦντος κρίνοντος. ἐς τοῦτο (τοσοῦτον Suidas v. ἀμετροκάκου) δὲ ὁ Ῥουφῖνος

*ἐχώρησεν ἀμετροκάκου πλεονεξίας ὥστε καὶ ἀνδράποδα δημόσια ἀπημπόλει καὶ ὅσα δημόσια δικαστήρια Ῥουφίνῳ πάντες ἐδίκαζον. καὶ ὁ τῶν κολάκων περὶ αὐτὸν ὄχλος ἦν πολύς. οἱ δὲ κόλακες χθὲς μὲν καὶ πρῴην δεδρακότες τοῦ καπηλείου καὶ τοῦ τὰ βάθρα καλλύνειν καὶ τοὔδαφος κορεῖν, ἄρτι δὲ χλαμύδας τάς τε εὐπαρύφους ἐνδεδυκότες καὶ περόναις χρυσαῖς διαπεπερονημένοι καὶ σφραγῖσι χρυσοδέτοις διεσφιγμένοι ***. τὰ δὲ πολλὰ κατὰ Ῥουφίνου εὕροις ἐν τῇ τοῦ Σαρδιανοῦ Εὐναπίου Χρονογραφίᾳ.* [Suidas. Eiusdem loci particulas Suidas exhibet vv. *παντομιγές*, *ἀμετροκάκου*, *βάθρα*, *καλλύνων*, *περόνη*. In brevius Eunapii locus contractus est in Exc. Ioannis Antiocheni p. 849 Vales. MÜLLERUS.]

Ἀμείλικτον, ἀπηνῆ, ἀκαμπῆ. καὶ ἀμείλικτος, 64
ἀπάνθρωπος. Εὐνάπιος· "οὕτως ἀμείλικτοι ἦσαν ἄμφω κατὰ τὴν ἀλήθειαν, καὶ τὸ ἔργον ἐχώρει περιφανέστερον." [Suidas.]

Primo Arcadii anno Alarichus per Thermopylas in 65
Graeciam irrumpens Boeotiam et Atticam vastavit, ipsasque oppugnare aggressus est Athenas, quas tutabatur cum Achille Minerva. De his ad Historiarum suarum volumina Eunapius lectorem ablegat in Vita Maximi p. 52: ... *καὶ οὐκ ἐς μακρὰν πολλῶν καὶ ἀδιηγήτων ἐπικλυσθέντων κακῶν, ὧν τὰ μὲν ἐν τοῖς διεξοδικοῖς τῆς ἱστορίας εἴρηται, τὰ δέ, ἐὰν ἐπιτρέπῃ τὸ θεῖον, λελέξεται, ὅτε Ἀλάριχος ἔχων τοὺς βαρβάρους διὰ τῶν Πυλῶν παρῆλθεν, ὥσπερ διὰ σταδίου καὶ ἱπποκρότου πεδίου τρέχων. τοιαύτας αὐτῷ τὰς πύλας ἀπέδειξε τῆς Ἑλλάδος ἥ τε τῶν τὰ φαιὰ ἱμάτια ἐχόντων ἀκωλύτως προσπαρεσελθόντων ἀσέβεια καὶ ὁ τῶν ἱεροφαντικῶν θεσμῶν παραρραγεὶς νόμος καὶ*

σύνδεσμος. Ubi ad hoc velim attendas, Eunapium, quum saepius in Vitis ad Historias suas lectorem ableget, adeo ut eas iam in publicum editas esse consentaneum sit, hoc loco, ubi de Alarichi temporibus sermo est, ita loqui, ut eorum memoriam tum nondum ab eo consignatam esse appareat. MÜLLLRUS.

66 *Εὐτρόπιος ὁ εὐνοῦχος, ἐπίτροπος Θεοδοσίου τοῦ βασιλέως. καί φησιν Εὐνάπιος· "ὁ μὲν γὰρ Ῥουφῖνος, ἀνήρ τε ὢν ἢ δοκῶν καὶ ἐν ἀξιώμασι γεγονὼς καὶ ποικίλαις ὁμιλήσας τύχαις, οὐ παρὰ λόγον οὐδὲ τοῦ πρέποντος ἐκτὸς ἐδόκει κατεξανίστασθαι τῆς νεωτεριζούσης ἅπαντα τύχης· ὁ δὲ θαλαμηπόλος εὐνοῦχος παραλαβὼν τὸ ἐκείνου κράτος ἐς τοσόνδε κατέσεισεν ἅπαντα καὶ κατεβρόντησεν ὥστε οὐ μόνον Ῥουφῖνος ἦν αὐτός, ἀλλ' ὁ τοῦ μύθου Σαλμωνεὺς μικρόν τι χρῆμα πρὸς αὐτὸν ἦν. ὅς γε ὢν εὐνοῦχος ἀνὴρ εἶναι κατεβιάζετο. καὶ οἱ μὲν μῦθοί φασι τὴν Γοργόνα φανεῖσαν ἅμα τε φαίνεσθαι καὶ τοὺς ἰδόντας μεταβάλλειν ἐς λίθον· ὁ δὲ καθ' ἡμᾶς βίος λῆρόν τινα περιττὸν καὶ φλήναφον τὸν μῦθον ἀπέδειξε." καὶ πολὺν καταχέει διασυρμὸν ὁ ἱστορικὸς τουτουῒ τοῦ εὐνούχου, τοῦ βίου αὐτοῦ ἐπάξιον.* [Suidas.]

67 *Ὁ δὲ Εὐτρόπιος καιροῦ καὶ τύχης ἀμέτρως τε καὶ χανδὸν ἀρυόμενος καὶ κατεμφορούμενος καὶ πολυπραγμονῶν, ὥστε οὐκ ἔλαθε πατὴρ παῖδα μισῶν ἢ ἀνὴρ γυναῖκα ἢ μήτηρ τέκνον, ἀλλ' ἐξηκοντίζετο ἅπαντας πρὸς τὴν ἐκείνου γνώμην.* [Suidas v. *χανδόν*. Eunapio locum vindicavit Maius. Pro *ἐξηκοντίζετο ἅπαντας* ad Thes. Stephani correxi *ἐξηκοντίζοντο ἅπαντες*.]

68 *Μυριέλικτος, ὁ πολλάκις ἑλίξεσι στρεφόμενος. Εὐνάπιος· "ὁ βαρὺς καὶ μυριέλικτος ἐκεῖνος ὄφις,*

καθάπερ ὑπὸ τῆς Μηδείας ὑποψιθυριζόμενος καὶ τὴν ψυχὴν κεκαρωμένος παρέδωκεν ἑαυτόν."

Καρωθεὶς .. καὶ κεκαρωμένος. "*ὁ δὲ τὴν καρδίαν ταῖς τιμαῖς ἤδη κεκαρωμένος παρέδωκεν ἑαυτὸν ἐς τὴν ὁδόν.*" [Suidas.]

Περισπειραθείς, περιπλακείς, περιελιχθείς. "*ὁ* 69
δὲ εὐνοῦχος κατεκράτει τῶν βασιλείων, καὶ περισπειρασάμενος τὰς αὐλὰς συνέσφιγγεν ἅπαντα, καθάπερ τις γενναῖος ὄφις, καθελίττων ἐς τὴν ἑαυτοῦ χειάν." *περὶ Εὐτροπίου λέγει.* [Suidas.]

Τιμάσιος. οὗτος ἐπὶ Θεοδοσίου τοῦ βασιλέως 70
ἦν· ὃν ὁ Εὐτρόπιος ἐπιστῆσαι τοῖς πράγμασι βουλόμενος ἐκ τῆς Ἀσίας μετακαλεῖ πρὸς τὰ βασίλεια. ὁ δὲ γαῦρός τε ἀνὴρ ὢν καὶ ἀγέρωχος καὶ στρατείαις ὡμιληκώς, καὶ τοῦτο πρῶτον ἀγαθὸν ἡγούμενος τῶν ἐν ἀνθρώποις, τιμὴν καὶ δόξαν καὶ πλοῦτον ἐπικλύζοντα, καὶ τὸ ἔχειν ἑαυτῷ ὅ,τι βούλοιτο κεχρῆσθαι καὶ ἀδεῶς, διά τε μέθην νύκτα καὶ ἡμέραν οὐκ εἰδέναι, οὔτε ἀνατέλλοντα καὶ δυόμενον καθορᾶν ἥλιον, ἴσα καὶ οὐρανοῦ εἶναι νομίσας τὴν μετάκλησιν, ἐκ τῶν ἀλύπων καὶ διακεχυμένων πρὸς ὀλιγωρίαν διατριβῶν ἀπορρήξας ἑαυτὸν καὶ κατατείνας τὴν ψυχὴν ἐς φιλοδοξίαν, βαρὺς ἀναστὰς ἐκ Παμφυλίας ἐπὶ Λυδίαν ἀνέστρεφεν, ὡς ἂν δή τις βασιλεύων ἢ τόν γε βασιλέα καὶ τὸν εὐνοῦχον κατὰ πάρεργόν τι παιδιὰν (*παρ. π. τινα* Suidas v. *παιδιά*) *θησόμενος, εἰ βούλοιτο.* [Suidas, qui quaedam hinc repetit vv. *γαῦρος* et *παιδιά*.]

....ρασε καθάπερ ἐξ οὐρανοῦ πρὸς τὴν γῆν διε- 71
νεχθέν, καὶ κατὰ τοῦτον ἐς τὰ ἀνθρώπινα. ὁ μὲν οὖν Βάργος τὴν ἀρχὴν πιστευθεὶς παρὰ τοῦ εὐνούχου ἐξῄει μάλα φαιδρὸς καὶ γεγηθὼς ἐπὶ τὴν ἀρχήν,

ὡς ἂν ἀρχὰς ὑποθησόμενος ἑαυτῷ τινας πάλιν, καὶ μετὰ πολλῶν καὶ διεφθαρμένων στρατιωτῶν, πρὸς τὸ πολεμεῖν τοῖς εὐεργέταις· τῷ γὰρ περιόντι τῆς τόλμης καὶ τῷ μεγέθει τῶν ἐγχειρουμένων πολλοὺς ἤδη περιπεφευγὼς κινδύνους, ἐς τὸ ἀκίνδυνον ἤδη πρὸς ἅπαντα καὶ λίαν εὐτυχὲς τὴν τόλμαν ἐξεβιάζετο. συνετώτερος δ' ὢν (sc. ὁ εὐνοῦχος) κατὰ πόδας ᾔει πρὸς τὴν ἐπιβουλήν. καὶ δῆτα γυνὴ συνῴκει τῷ Βάργῳ· ταύτην διὰ καθειμένων ἀνθρώπων πάλαι πρὸς τὸν ἄνδρα τὸν λεγόμενον ἀλλοτρίως ἔχουσαν διά τινος ἠρτυμένης καὶ συνεσκιασμένης ἐπιβουλῆς, ἐπὶ τὸν ἄνδρα ὥσπερ ἔχιδναν νωθρὰν καὶ ὑπὸ κρύους κατεψυγμένην ταῖς ὑποκειμέναις ἐπαγγελίαις ἀνέστησαν καὶ ὤρθωσαν. καὶ τέλος φυγὼν καὶ συλληφθεὶς τὴν τῶν ἀχαρίστων ὑπέσχε δίκην. καὶ ὁ μὲν ἑαυτὸν μανικώτατον καὶ τὸν εὐνοῦχον φρονιμώτατον [ἀποδείξας Nieb.] ἔκειτο μαρτυρῶν ἡλίκον ἐστὶ τὸ τῆς ἀχαριστίας παρὰ θεῷ ἔγκλημα. [Exc. de sentent. (cod. p. 78, 79) p. 282—283 Mai., 86—87 Niebuhr.]

72 Ὅτι ὁ εὐνοῦχος τοῦτον τοσοῦτον ὄντα καὶ τηλικοῦτον ἐκβαλὼν τοῦ βίου, εὐνοῦχος ἄνδρα καὶ δοῦλος ὕπατον καὶ θαλαμηπόλος τὸν ἐπὶ τοῖς στρατοπέδοις γεγενημένον, μέγα δή τι καὶ ὑπὲρ ἄνδρας ἐφρόνει· καὶ μή τίς γε τὸ Ἀβουνδαντίου πάθος, κἀκείνου τελέσαντος ἐς ὑπάτους . . . [Exc. de sentent. (cod. p. 79) p. 283 Mai., 87 Niebuhr.]

73 Ἀπίθανον μὲν γὰρ τὸ γραφόμενον· πλὴν εἴ τις ἕτερος αὐτὰ γράφειν ἱκανός ἐστι, θαυμάζω αὐτὸν ἔγωγε τῆς ἀνδρείας, καὶ ἀνδρεῖος ἀποφαινέσθω μοι τῆς ἀνεξικακίας χάριν. ἀλλ' εἰκὸς μὲν τοὺς τὰ ἀκριβέστερα γράψαντας κατὰ χρόνους καὶ κατὰ ἄνδρας καὶ προσποιουμένους ἀσφαλῶς τι λέγειν, ἔς τε χάριν

καὶ ἀπέχθειαν ἅμα φέρειν τὴν συγγραφήν· τῷ δὲ ταῦτα γράφοντι οὐ πρὸς ταῦτα ἔφερεν ἡ ὁδός, ἀλλ' ὡς ὅτι μάλιστα ἀνατρέχοι καὶ στηρίζοιτο πρὸς ἀλήθειαν. ἐπεὶ καὶ κατὰ τούσδε τοὺς χρόνους ἤκουον καὶ συνεπυνθανόμην ὡς ὁ δεῖνα καὶ ὁ δεῖνα γράφουσιν ἱστορίαν· οὓς ἐγὼ οὔτι νεμεσητὸν λέγω, ἀλλὰ ἐπίσταμαί γε σαφῶς ἄνδρας ἀγερώχους τε καὶ σκιρτῶνας καὶ ἀληθείας τοσοῦτον ἀφεστηκότας ὅσον ἐντὸς εἶναι ἀναγωγίας. καὶ οὐκ ἐκείνοις μέμφομαι, τῆς δὲ ἀνθρωπίνης κρίσεως τὸ λίαν ἀκρατὲς καὶ ὀλισθηρὸν καταμέμφομαι, ὅτι θελγόμενοι καὶ καταγοητευόμενοι τὸ καθ' ἕκαστον, ἂν ὀνόματος μνησθῇ τις περιττοῦ καὶ τοῖς πολλοῖς γνωρίμου, καί τι τῶν περὶ τὴν αὐλὴν τὴν βασιλικὴν ἀκριβέστερον ὑπορύξαντες ἐξενέγκωσιν ἐς τοὺς πολλούς, τόν τε κροτοθόρυβον ἔχουσιν ὡς ἀληθῆ λέγοντες καὶ πάντα εἰδότες καὶ πολὺς περὶ αὐτοὺς ὁ συνθέων ὅμιλος, μαρτυροῦντες ῥαδίως ὅτι ταῦτα οὕτως ἔχει, καὶ τὴν ἀρετὴν τὴν τῆς συγγραφῆς ἐς τόδε συμβιασάμενοι καὶ κατατείναντες, ὡς ἄρα τοῦτό ἐστιν αἰθέριον καὶ οὐρανόμηκες, ὅπερ αὐτοὶ διὰ βίου τινὰ χλιδὴν* ἴδωσι καθ' ἁπλότητα χαυνότερον ἐπαινοῦντες, ἐς τὸ πιστευόμενον καὶ δημῶδες συνάγουσι καὶ καταβιάζονται. ἀλλ' ὅμως εἰ καὶ ἀπίθανόν πως εἴρηται, πολλά τε αὐτοῦ τερατωδέστερα καὶ μυθωδέστερα προτέθειται καὶ ἅπαντα ἦν τῆς ἡλιακῆς κινήσεως ἀληθέστερα· μαρτυρεῖ δὲ αὐτὸς ὁ ἥλιος τοῖς εἰρημένοις. καὶ ῥηθήσεταί γε (μὲν Bekk.) ἴσως ἕτερα τούτων πολυπλανέστερα καὶ βαθυπλοκώτερα πρὸς ἀπιστίαν· ἀλλ' ἐξαγγελεῖ γε αὐτὰ ἡ συγγραφὴ μετριώτερον, καὶ ταῦτα ὑπὲρ τῶν λεγομένων καὶ ὅτι γε φίλος θεὸς καὶ φίλη ἀλήθεια. ἀλλ' οὐκ οἶδα ὅστις γίγνομαι ταῦτα γράφων· πολὺ γὰρ τὸ φροντίζειν

ἀληθείας· ἀλλ' ὅ γε τοῖς γεγραμμένοις ἀκολουθῶν καὶ πειθόμενος ἀκρίβειάν τε προσκυνήσει καὶ ἀλήθειαν. [Exc. de sentent. (cod. p. 79, 80) p. 283—285 Mai., 87—89 Niebuhr. Haec e libri alicuius prooemio petita videntur.]

74 *Ὅτι κατὰ τοὺς χρόνους Εὐτροπίου τοῦ εὐνούχου τῶν μὲν περὶ τὴν ἑσπέραν οὐδὲν ἀκριβῶς γράφειν [ἐξῆν] ἐς ἐξήγησιν. τό τε γὰρ διάστημα τοῦ πλοῦ καὶ μῆκος μακρὰς ἐποίει τὰς ἀγγελίας καὶ διεφθαρμένας ὑπὸ χρόνου, καθάπερ ἐς χρόνιον καὶ παρέλκουσάν τινα νόσον καταβεβλημένας· οἵ τε πλανώμενοι καὶ στρατευόμενοι εἰ μέν τινες ἦσαν τῶν περὶ τὰ κοινὰ καὶ δυναμένων εἰδέναι, πρὸς χάριν καὶ ἀπέχθειαν καὶ τὰ καθ' ἡδονὴν ἕκαστος κατὰ* (*καὶ* Bekk.) *βούλησιν ἐπέστελλεν. εἰ γοῦν τις αὐτῶν συνήγαγε τρεῖς ἢ τέτταρας τἀναντία λέγοντας ὥσπερ μάρτυρας, πολὺ τὸ παγκράτιον ἦν τῶν λόγων καὶ ὁ πόλεμος ἐν χερσίν, ἀρχὰς λαβὼν ἀπὸ ῥηματίων καὶ ὑποθέρμων καὶ συγκεκαυμένων. ταῦτα δὲ ἦν· "Σὺ πόθεν ταῦτα οἶδας; ποῦ δέ σε Στελίχων εἶδε; σὺ δὲ τὸν εὐνοῦχον εἶδες ἄν;" ὥστε ἔργον ἦν διαλύειν τὰς συμπλοκάς. τῶν δὲ ἐμπόρων οὐδὲ εἷς λόγος ἦν πλείονα ψευδομένων ὅσῳ κερδαίνειν βούλονται, ἀλλ' ὅσα τῷ σοφωτάτῳ μάρτυρι κατὰ Πίνδαρον χρόνῳ* || *τὴν ἀκριβεστέραν κατάληψιν.* [Exc. de sentent. (cod. p. 80, 215) p. 285—286 Mai., 89—90 Niebuhr. „Verba *τὴν ἀκριβεστέραν κατάληψιν*, a quibus aliud folium (215) incipit, cum iis quae praecedunt, omnino non cohaerere videntur." NIEBUHR.]

75 *Ὅτι ἐπὶ τὰς Ἀσιανὰς συμφορὰς στρέψω τὴν συγγραφήν· τοιοῦτο γὰρ ὁ μακρὸς αἰὼν οὐδὲν ἤνεγκεν, οὐδέ τις περὶ τὸν βίον τὸν ἀνθρώπινον ἐνεοχμώθη*

τοιαύτη φορὰ καὶ κίνησις. ἀλλ' ὅμως οὕτως εἶχε, καὶ τὸ ἀληθὲς ἀσιώπητον, ὡς ἀδικοίη γε ἄν τις, εἰ διὰ τὸ ἀπίθανον τἀληθῆ μὴ γράφοι. καὶ τοῦτό γε οὐδὲν διαφέρον ἐδόκει μοι τοῦ πιεῖν τι τῶν δριμέων καὶ πικρῶν ἐπὶ σωτηρίᾳ· ἀλλ' ὥσπερ ἐκεῖνα κατακερασθέντα τοῖς σώμασιν ἀηδῶς τέλος ἔχει τὴν ὑγίειαν καὶ σωτηρίαν, οὕτω καὶ τὰ τερατευθέντα πρὸς τὸ παράλογον οὐ τῆς γραφῆς ἐστιν ἀηδὲς ἁμάρτημα, ἀλλὰ γλυκύ τι καὶ πότιμον διὰ τὴν ἀλήθειαν τοῖς ἀκριβῶς ἐξετάζειν βουλομένοις γίγνεται.

Καὶ οὗτος μὲν ἐσώζετο καλῶς πονηρὸς ὤν· ὅμως 2 δέ, τὸν σπλῆνα γὰρ ἐνόσει, διετέθη καλῶς ὑπὸ τῆς συνεχοῦς ἱππασίας, κατεπράϋνέ τε καὶ τὸ λιθῶδες ὑπεμάλαξε. καὶ ὁ μὲν ἀπῄει τῷ τε σφετέρῳ σώματι πολεμῶν ἢ πολεμήσων καὶ τοῖς περὶ τὴν αὐλὴν ἐπαγγέλλων ἀληθέστερον πόλεμον.

Ἡ δὲ Λυδία πλησιόχωρος οὖσα τὰ δεύτερα ἔμελλε 3 τοῦ ὀλέθρου φέρεσθαι.

Πλὴν ὅσα γε τούτοις ἐν ἐλπίσιν ἦν τὸ σώζεσθαι· 4 ἐλπὶς γὰρ ἐν ἀπορρήτοις ἔτι ζῶσι παραμύθιον.

Ἐπί τά γε ἐν τοῖς ἔργοις ξίφη καὶ βάρβαροι — οὐ κατὰ τὴν ἔννομον ἀπαίτησιν, καὶ γὰρ ἐκείνη τὸ διπλάσιον ὑπερέβαλεν, ἀλλὰ κατὰ τὴν βαρβαρικὴν καὶ ἄμετρον πλεονεξίαν. — ἀκινδύνως εἶχε πρὸς ἕτερον.

Ὅτι οὐχ οὕτω παρακεκινηκότες καὶ διεφθαρμέ- 5 νοι τὴν γνώμην, ἀλλὰ δι' ὑπεροχὴν κακῶν, ἐς Ἰουλιανοῦ καιροὺς καὶ χρόνους τὸν εὐνοῦχον ἀνέθεσάν τινες Εὐτρόπιον. ὥσπερ οὖν τῶν ἰατρῶν ἐστιν ἀκούειν ὅτι τοῖς φιλοζώοις βέλτιόν ἐστι σπλῆνα νοσεῖν ἢ κάμνειν ἧπαρ, καὶ ὅσον ὑπὲρ ἧπατος διὰ πνεύμονος ἐπὶ καρδίαν περατοῦται καὶ διέσφιγκται, οὕτω καὶ τότε

συνέβαινεν, ὡς ἐν αἱρέσει τῶν αἰσχίστων, εὐδοκιμεῖν εὐνοῦχον μανέντα πρὸς παράθεσιν τῶν ἐπιλαβουσῶν συμφορῶν.

6 *Ὅμως ὁ Γαΐνας διαφθείρας τὸν πολέμιον· ἐπολέμει γὰρ εὐνούχῳ μάλα ἐντεταμένως· οὕτω σφόδρα γενναῖός τις ἦν· ἐξ ὧν ἐδόκει κατωρθωκέναι, διὰ τούτων ἥττητο. ὑγρότερος γὰρ ὑπὸ τοῦ κατορθώματος καὶ μαλακώτερος γενόμενος, ὡς ἂν ἤδη τὴν Ῥωμαϊκὴν ἀρχὴν συνῃρηκὼς καὶ τοῖς ποσὶν ἐπεμβαίνων αὐτῆς, μαλακώτερος ἦν ἀμφαφάασθαι· καὶ πρὸς τὸν Ἀργίβολον* (l. *Τριβίγιλθον*) *ἐπρεσβεύετο, ὡς τὸ σπουδαζόμενον αὐτοῖς ἔχει τέλος.*

7 *Ὅτι Γαΐνας καὶ Ἀργίβολος* (l. *Τριβίγιλθος*) . . . *ὁ μὲν ἡγούμενος, ὁ δὲ ἐφεπόμενος* [post hunc versum perierunt versus 12. V. 3 ne una quidem littera distingui potest; v. 4 legi ab initio ...*άρρησεν* (f. *ἐθάρρησεν*) *ἄλλος*....; v. 5 quatuor ultima vocabula sunt *ἐπὶ τὸ πραττόμενον οὐδέν*; v. 6 primum vocabulum est *ἐπινοῶν*, reliqua funditus perierunt. HERWERDEN.].

Οὐδὲ αὐτὸς ἕτερον ἐπένθει· σφαγεὶς δὲ ἔκειτο, μηδὲ τὸν θάψοντα ἔχων καὶ κατορύξοντα. [Exc. de sentent. (cod. p. 115, 116) p. 286—287, 90—92 Niebuhr. Verba *οὐχ οὕτω — ἀλλὰ* p. 261, 26 servavit Suidas v. *παρακινοῦντα.*]

76 *Λέων. οὗτος στρατηγὸς ἐπέμφθη παρὰ Εὐτροπίου τοῦ εὐνούχου κατὰ τῶν βαρβάρων, εὔκολος ὢν καὶ διὰ μελέτην μέθης εὐπαράγωγος· ἦν γὰρ αὐτῷ τὸ ἀνδρεῖον ἐπὶ τούτῳ συνηναγκασμένον, πλείους ἔχειν παλλακίδας τῶν στρατιωτῶν καὶ πλείονα πίνειν ἢ ὅσα πάντες ἄνθρωποι πίνουσι.* [Suidas. Conf. idem v. *εὐπαράγωγος*, ubi *εὐκολώτερος.*]

Ἀπεστάτει, ἀπεῖχεν, ἀπεχωρίζετο. Εὐνάπιος·

"καὶ γὰρ οὐκ ἀπεστάτει τῆς τοῦ Λέοντος ἐπωνυμίας· οὕτω γὰρ καὶ τὸ ζῷον ποιεῖν εἴωθεν."

Διηυχενίζετο, τὸν αὐχένα ὄρθιον εἶχεν. Εὐνάπιος· "ὁ δὲ ἐπὶ τὰ λειπόμενα τῶν πραγμάτων διεξανιστάμενος ἀνωρθοῦτο καὶ διηυχενίζετο πρὸς τὸν λεγόμενον Λέοντα, ὅπως αὐτὸν φονεύσειεν." [Idem.]

Σουβαρμάχιος. οὗτος τῶν δορυφόρων ἦν ἡγεμών, πιστότατος τῷ εὐνούχῳ Εὐτροπίῳ, εἴπερ τις ἄλλος· ἔπινε δὲ πλείονα οἶνον ἢ ὅσον ἠδύνατο χωρεῖν· ἀλλ' ὅμως τὰ περὶ γαστέρα διὰ συνήθειαν οὕτω καὶ γυμνασίαν ἰσχυρὰν καὶ νεανικὴν πάντα φέρειν ἐπὶ τὴν φυσικὴν τῶν ὑγρῶν ἔκκρισιν. ἀεὶ γοῦν ἦν, πεπωκώς τε καὶ οὐ πεπωκώς, μεθύων· τὴν δὲ μέθην παρεκάλυπτε σφαλερὸν διαβαίνων τοῖς ποσὶ καὶ πρὸς τὴν πτῶσιν πολεμῶν ὑφ' ἡλικίας διὰ νεότητα καὶ συνιστάμενος. ἦν δὲ βασιλικοῦ μὲν γένους, Κόλχος ἀκριβὴς τῶν ὑπὲρ Φᾶσιν καὶ Θερμώδοντα, τοξότης ἄριστος, εἴ γε μὴ κατετόξευεν αὐτὸν τὸ περιττὸν τῆς τρυφῆς. [Suidas.] 77

Ὅτι Πέρσης ἦν ἐν Ῥώμῃ ἔπαρχος πρὸς χλευασίαν καὶ γέλωτα τὴν Ῥωμαϊκὴν παραφέρων εὐτυχίαν· σανίδας δὴ πολλὰς μικρὰς πρὸς τὸ ἥμισυ σταδίου συγκομισάμενος, καὶ εἰκόνα τινὰ τῶν ἔργων ὑπογράψαι βουλόμενος, πάντα ἐνετίθει γελοῖα ταῖς γραφαῖς, καὶ ἀπορρήτως τὰ γραφόμενα κατεχλεύαξε διὰ τῆς εἰκόνος. ἀνδρείαν μὲν γὰρ βασιλέως καὶ ῥώμην στρατιωτῶν ἢ πόλεμον ἐμφανῆ καὶ νόμιμον οὐδαμοῦ τὰ γραφόμενα παρεδήλου καὶ συνηνίττετο· χειρὸς δέ τινος ὡς ἂν ἐκ νεφῶν προτεινομένης ἐπίγραμμα ἦν τῇ χειρί· "θεοῦ χεὶρ ἐλαύνουσα τοὺς βαρβάρους." αἰσχρὸν τοῦτο καταγράφειν, ἀλλ' ἀναγκαῖον. καὶ πάλιν ἑτέρωθι· "βάρβαροι τὸν θεὸν φεύγοντες." καὶ 78

τούτων ἕτερα παχύτερα κ... δ' ἕτερα κωθωνιζομένων γραφέων φλήναφον, οὗ καὶ πρότερον ἡ συγγραφὴ μέμνηται, τῆς ἀκμαζούσης ἀρετῆς .. τὸ σῶμα .. τῆς ψυχῆς .. πλέον κατὰ σῶμα διαλυόμενον ἤδη .. ἀπο.. [Exc. de sentent. (cod. p. 92) p. 288 Mai., 116 Niebuhr.]

79 Ἑλλανοδίκαι, οἱ κριταὶ οἱ καθήμενοι ἐς τοὺς ἀγῶνας. Εὐνάπιος οὕτω· „καὶ τότε ὁ μέγιστος Ἑλλανοδίκης Γαΐνας τὸν Ῥωμαϊκὸν ὄλεθρον ἠθλοθέτει." [Eadem v. ἠθλοθέτει, ubi ἕως ὁ.]

Πολυάνδριον. „ὁ δὲ Γαΐνας ἐξεχώρει τῆς πόλεως, καταλιπὼν αὐτὴν πολυάνδριον καὶ πολυτελῆ τάφον, οὔπω τεθαμμένων τῶν ἐνῳκηκότων." [Suidas. Eunapii esse Maius vidit.]

80 Φράβιθος. οὗτος στρατηγὸς ἦν τῆς ἀνατολῆς, ὃς ἀκμάζων τὴν ἀρετὴν ἐνόσει τὸ σῶμα, τῆς ψυχῆς ὑγιαινούσης πλέον· καὶ τό γε σῶμα διαλυόμενον ἤδη καὶ ἀποκολλώμενον ἐς τὴν λύσιν συνεγόμφου καὶ διέπλεκεν ἐς πῆξίν τινα καὶ ἁρμονίαν, ὅπως ἂν ἀρκέσειε τῷ καλῷ· ὃς τοὺς λῃστὰς ῥᾳδίως συνεῖλεν, ὥστε μικροῦ καὶ τὸ ὄνομα τῆς λῃστείας ἐκ τῆς μνείας τῶν ἀνθρώπων ἐκπεσεῖν· ἦν δὲ Ἕλλην τὴν θρησκείαν. [Suidas. Eunapio locum vindicavit Boissonadus.]

81 Λίβερνα, εἶδος πλοίου· καράβια. „πηξάμενος δρομάδας τριακοντήρεις Λιβερνίδων τύπῳ." [Suidas. „Haec verba anonyma credidi posse pertinere ad eum Eunapii Historiae locum, ubi de classe agebat, quam sibi Fravithus comparavit. Nunc legimus apud Zosimum V, 20, πλοῖα fuisse αὐτῷ πρὸς ναυμαχίαν ἀρκοῦντα, Λίβερνα ταῦτα καλούμενα κτλ." BOISSON.]

82 Ὅτι Φράβιθος ὁ στρατηγὸς Ῥωμαίων νικήσας Γαΐναν περὶ τὴν Χερρόνησον διαμένοντα, καὶ τοῦτον

μὴ διώξας, ἀσφαλὴς γὰρ ἦν ἐπὶ τῇ νίκῃ κερδαίνων τὸ ἔργον καὶ Λακωνικός τις, * ἦν ὅτι τύχην εἰδέναι καὶ μὴ πέραν τοῦ μετρίου ποιεῖσθαι τὴν δίωξιν. καὶ οὗτος μὲν ἀσφαλέστερον βουλευόμενος ἡλίκον ἐστὶ τοῖς ἄλλοις τὸ καλῶς στρατηγεῖν ἔδειξεν· οἱ δὲ πολλοὶ καὶ ὅσον ἠλίθιον καὶ πηλοῦ παχύτερον, στρατηγικοί τινες εἶναι βουλόμενοι καὶ τὸ γεγονὸς ὑποσημαίνοντες διελήρουν καὶ παρεφλυάρουν, τὰς ὀφρῦς ἀνασπῶντες καὶ διαφλεγόμενοι φθόνῳ πρὸς ἀπίθανόν τινα καὶ μυθώδη καταστραφῆναι (καταστροφὴν?) ἀπὸ μιᾶς γλώττης καὶ πάθους, ὁμόφωνοι κατὰ (παρὰ Bekk.) δόξαν ὑπὸ δειλίας γεγονότες καὶ τῷ παραλόγῳ πληγέντες, τὸν Φράβιθον ἐπεφήμιζον νικᾶν μὲν εἰδέναι, νίκῃ δὲ οὐκ εἰδέναι χρῆσθαι. ὁ γοῦν Φράβιθος διέπλευσεν ἐπὶ τὴν Χερρόνησον· ἐγκατέλαβεν | ..... χειρούμενον καὶ ἐποίησεν αἰχμάλωτον ὀπίσω σωτηρίας .. προσηκόντως τύχωσι· θέαμα τῆς νίκης ἄξιον | .. καὶ οὗτοι (?) μὲν (πρᾶγμα ὀλέθρου?) .. ἐστὶ καὶ ὑπέσπειρον ἐς τὰ βασίλεια τῷ | λόγῳ ποικίλλοντές τε καὶ περιγράφοντες ὡς βάρβαρος βαρβάρῳ | καὶ μύστης μύστῃ παρέχων διαφυγὴν καὶ σωτηρίαν· ὁ δὲ Φράβιθος μάλα φαιδρῶς γελάσας πρὸς .. ἐπὶ Κωνσταντίνου πόλιν οὕτω τῆς φήμης τὸ ἀφανὲς καὶ σκοτεινὸν ὑφέρπον τῆς προφερομένης ἔς τε τύχας ἀλγεινὰς .. παρελθὼν ἐς τὰ βασίλεια φαιδρὸς καὶ γεγηθὼς ἀπ΄ντων (ἐκπεπληγ?)μένων πρὸς τὸ παράλογον τῆς τύχης καὶ θεὸν ὁρᾶν ὑπολαμβανόντων μᾶλλον ἢ ἄνθρωπον· οὕτως ὅτι ἐστὶ τὸ νικᾶν καὶ χεῖρας ἔχειν οὐκ ᾔδεσαν· πρὸς τὸν βασιλέα μετὰ ἐλευθερίας .. εἰ μὴ διατεινάμενος ἐξεβόησεν [dimidia fere versus pars deest] τῶν καταφρυαττομένων φθόνων καὶ νηστείαις καθάρματα ειταπο.μενι πόσον

[distinguere sibi videbatur Herwerdenus. In ceteris lacunis misera codicis est conditio] *πόσον ὁ θεὸς δύναται θεῷ μὲν ὅτε βού*[*λεται*] *τὸ δυν*[*ατὸν*] *ἐκείνου κακῶς .. τηλικοῦτον ἐν .. κατα πε .. ἔργον οἶσθα, βασιλεῦ. τοῦτο δὲ τὸ ἔργον .. ἀλλότριον τῆς Ῥωμαϊκῆς ἀρχῆς. τοῦ δὲ .. ἐπινεύοντος πρόσωπον, διὰ γὰρ ἁπλότητα πολλὴν συμπαθήσας πρὸς τὰ λεγόμενα .. τα τῶν εὐνούχων εἶπεν ὅτι προσῆκόν ἐστιν ἐπινεύειν .... τοῦ δὲ βασιλέως τοῦτο εἰπόντος ὡς αἰτεῖν ἀνάγκη δωρεάν, ὁ Φράβιθος ἔφησεν ἐπιτραπῆναι κατὰ τὸν πάτριον νόμον ἱερατεύειν θεόν. ὁ δὲ βασιλεὺς δι' ὑπεροχὴν βασιλικῆς ἀρετῆς καὶ τὴν ὑπατείαν ἐπέτρεψεν· ὁ δ' ἐδέξατο.*

Ὅτι Φαμέας ὁ Μίλκων (l. *Ἱμίλκων*) *ἐπικαλούμενος, μυρία παρέχων κακὰ Ῥωμαίοις, εἶτα Σκιπίωνος στρατηγοῦντος οὐ* (*οὐδὲν* Nieb.) *δυνάμενος, τὴν δὲ αἰτίαν ἐρωτώμενος ἐξεῖπε, τὰ μὲν πρόβατα εἶναι ταὐτά, τὸν δὲ ποιμένα σφοδρότερον καὶ τοῦ Ἄργου πολυωπέστερον.* [Exc. de sentent. (cod. p. 116, 63, 64) p. 288—290 Mai., 92—94 Niebuhr.]

83 *Ἱέραξ ἦν, ὄνομα δὲ τοῦτο ἀνθρώπου κύριον, ὃν εἶδεν ὁ συγγραφεὺς καὶ διελέχθη πρὸς αὐτόν, καὶ τὴν ψυχήν τε ἀνεμάξατο διὰ τῶν λόγων καὶ συνελόντι γε εἰπεῖν Ἀλεξανδρεὺς ἦν κορακώδης μὲν κατὰ τὸ ἄπληστον ἐς τροφήν· προσῆν δὲ αὐτῷ καὶ τρυφή· πρὸς δὲ ἡδονὰς ἀλεκτρυονώδης, καὶ οἷός τις ἂν Ἀλεξανδρεὺς ἀσελγέστατος γένοιτο καὶ εἴ γέ τι Ἀλεξανδρέως ἀσελγέστερον. ἀλλ' ὅμως ὁ συγγραφεὺς αἰδεσθῆναι τὴν τοσαύτην ἀναίδειαν καὶ ἰταμότητα συμπείσας ἐφ' οἷς ἦν λόγοις ᾤχετο ἀπιών, τεθηπότων τῶν παρόντων, ὅτι ἄνθρωπος ἐξ Ἀλεξανδρείας γλῶττάν τε ἐπέσχε καὶ φλυαρίαν ἐπέστησε καὶ τὸ*

πρόσωπον κατέβαψεν ἐρυθήματι. [Exc. de sentent. (cod. p. 64) p. 290—291 Mai., 94—95 Niebuhr.]

84 Ἀρβαζάκιος Ἴσαυρος, ἐπὶ Ἀρκαδίου τοῦ βασιλέως, ὃν Ἁρπαζάκιον ἐκάλουν διὰ τὸ πλεονεκτικόν. ἦν μὲν γὰρ ἐξ Ἀρμενίας, τοῖς τρισὶν ἅμα συγκατειλημμένος πάθεσιν, ὥσπερ Ἡφαιστείοις δεσμοῖς ἀρρήκτοις, ἀλύτοις, καὶ ἔμενέ γε ἐν αὐτοῖς ἔμπεδον· ταῦτα δὲ ἦν ἐρωτομανία καὶ μέθη καὶ πλεονεξία. οὕτω δὲ ἐς ἔσχατον ὅρον τὰς ἑαυτῷ δοκούσας ἀρετὰς ἐπετήδευεν ὥστε οὐκ ἄν τις ἐπίστευσε [μὴ] πειραθείς, ὅτι τὰς τρεῖς ἐκείνας οὕτως ἐς ἄκρον ἐξήσκησε· μουσουργοῖς μὲν γὰρ συνέζη τοσαύταις ὅσας οὔτε ἐκεῖνος ἀριθμεῖν ἔσχεν οὔτε ἕτερός τις τῶν διακονουμένων· καὶ οἵ γε προσήκοντες αὐτῷ λογισταὶ τῶν στρατιωτικῶν ἔργων τὸν μὲν ἀριθμὸν τῶν στρατιωτῶν ᾔδεσαν, τὸ δὲ πλῆθος τῶν ἑταιρῶν καὶ τὸν ἐκ τῶν χειρῶν ἀριθμὸν αὐτοῦ διέφυγεν. ὥσπερ οὖν Ὀρόντην τὸν Πέρσην φασὶν εἰπεῖν ὅτι τῶν δακτύλων ὁ μικρότατος καὶ μύρια σημαίνει καὶ ἕνα ἀριθμόν, οὕτω κἀκεῖνοι τὰς ἑταίρας κατὰ μονάδας καὶ μυριάδας ἠρίθμουν. [Suidas, qui partem horum repetit vv. Ἡφαιστείοις, μουσουργοί.]

85 Ὁ δὲ πρὸς τὸν Ἰωάννην ἐπιστρέψας τὸν λόγον, "ἀλλὰ σύγε, εἶπε, πάντων εἶ τῶν κακῶν αἴτιος, τούς τε βασιλέας διατέμνων ἐκ τῆς σφῶν αὐτῶν κολλήσεως καὶ τὸ θεοπρεπέστατον ἔργον καὶ οὐρανόμηκες ὑπορύττων καὶ κατασείων ταῖς σαῖς μηχαναῖς ἐς διάλυσιν καὶ φθοράν. ἔστι δὲ πανόλβιόν τι χρῆμα καὶ τεῖχος ἄρρηκτον καὶ ἀδαμάντινον τοὺς βασιλέας ἐν δύο σώμασι μίαν βασιλείαν ἔχοντας φαίνεσθαι." καὶ οἱ παρόντες τούτων λεγομένων τὰς μὲν κεφαλὰς ἐπέσειον ἡσυχῇ καὶ δεδοικότες· ἐδόκει γὰρ αὐτοῖς ἄριστα λέγεσθαι· τὸν δὲ Ἰωάννην τρέμοντες καὶ πρὸς

τὰ σφέτερα κέρδη κεχηνότες· ἡ γὰρ ἀκολασία (dubium an hoc sit in codice) *καὶ τοῖς πονηροῖς, ᾗπερ εἴρηται, τιμὴν ἐχαρίζετο· τῆς κοινῆς σωτηρίας ἀμελήσαντες, καὶ προστησάμενοι σφῶν αὐτῶν τὸν Ἰωάννην, τεχνικόν δή τινα ἱερακοτρόφον, τὸν Φράβιθον ἀφείλοντο κῆς ψυχῆς.* [Exc. de sentent. (cod. p. 64) p. 291—292 Mai., 95 Niebuhr.]

86 *Παμφυλία γοῦν ὑπὸ τῶν Ἰσαυρικῶν πολέμων πορθουμένη χρυσὸν ἐνόμισε τὰς Ἰσαυρικὰς συμφοράς· καὶ καθάπερ ἐν ταῖς διοσημίαις ἀστραπῆς κεραυνὸς φοβερώτερος· ἡ μὲν γὰρ ἐφόβησε μόνον, ὁ δὲ διέφθειρεν· οὕτω καὶ τοὺς Ἰσαυροὺς φρικωδεστάτους ὄντας ἀκοῦσαί τε καὶ ἰδεῖν ἄνθος ἀπέδειξε καὶ τρυφερώτατόν τι καὶ χλοερὸν ἔαρ ὁ βέλτιστος ἐξ Ἀλεξανδρείας Ἱέραξ, οὕτω πάντα ἀνερευνησάμενος καὶ συναρπάσας ἀθρόως ἐπὶ τῷ Φραβίθου φόνῳ. — καὶ παραλαβὼν ὑπὸ μάλης ἐπειρᾶτο διαφεύγειν κατὰ ῥύμην καὶ φοράν. ἀλλ' οὐκ εἶχεν ἀλαοσκοπίην ὁ Λύκιος Ἑρεννιανὸς βικάριος ὤν· ἀετὸς δὲ γενόμενος αὐτὸν συνήρπασε τὸν Ἱέρακα, καὶ μόλις ἀφῆκεν, εἰ μὴ τετρακισχιλίους ἐκεῖνος αὐτῷ χρυσοῦς ἀπέτισεν.* [Exc. de sentent. (cod. p. 64, 77) p. 292 Mai., 95—96 Nieb.]

87 *Ὅτι ἐπὶ Πουλχερίας τῆς βασιλίσσης ἐξέκειτο δημοσίᾳ πιπρασκόμενα τὰ ἔθνη τοῖς βουλομένοις ὠνεῖσθαι τὰς ἀρχάς· πᾶσι δὲ ἐπιπράσκοντο μεγάλα τε καὶ μικρὰ φανερῶς ἐπὶ τῶν δημοσίων τραπεζῶν, ὥσπερ ἄλλο τι τῶν ἐπ' ἀγορᾶς ὠνίων. ὁ βουλόμενος Ἑλλήσποντον ἀδικεῖν εἶχεν Ἑλλήσποντον πριάμενος, καὶ ἄλλος Μακεδονίαν ἢ Θρᾴκην, καὶ ὅπως ἕκαστος ἐνόσει πρὸς τὸ ἄδικον ἢ ἐχθροὺς ἔχων. ἐξῆν δὲ καὶ καθ' ἕκαστον ἔθνος τὴν μοχθηρίαν ὠνεῖσθαι τὴν ἑαυτοῦ πρὸς τὸ βλάπτειν τοὺς ὑπηκόους καὶ πολλὰ συλλαμ-*

βάνειν ἔθνη· τοῦτο γὰρ ὁ βικάριος ἐδύνατο καὶ ἡ ἀνθύπατος ἀρχή. καὶ δέος ἦν οὐδὲν τῶν ἀθλίων γραμμάτων τοῖς νόμοις ἐντεθνηκότων ὡς δεῖ τὸν ἐπὶ χρήμασι δικάζοντα κολάζεσθαι· ἀλλ' οἱ μὲν νόμοι κατὰ τὸν Σκύθην Ἀνάχαρσιν οὐκ ἀραχνίων ἦσαν ἀσθενέστεροι καὶ λεπτότεροι μόνον, ἀλλὰ καὶ κονιορτοῦ παντὸς πρὸς τὸ ῥεῖν εὐκόλως καὶ διανεμοῦσθαι παραφορώτεροι. ὁ δὲ τὸ ἔθνος ἢ τὰ ἔθνη παραλαβών, δύο τινὰς ἢ τρεῖς στρατιώτας συνεφελκόμενος κατὰ τὴν πλαγίαν ἐσιόντας θύραν, μὴ βουλόμενος μανθάνειν ὅτι | τοῦτο πράττουσιν, ἀλλ' ἐπιδεικνύμενος ὅτι (βίᾳ?) διὰ τούτων τῶν | σιωπώντων κηρύκων, εἰ δὴ κήρυγμα σιωπώμενον γίγνεται, πρὸς πάντας περιήγγελλεν, ὥς φησιν Ὅμηρος· "κλήδην εἰς ἀγορὴν κικλήσκειν ἄνδρα ἕκαστον μηδὲ βοᾶν, αὐτὸς δὲ μετὰ πρώτοισι πονεῖτο·" καὶ ὁ ἄρχων διὰ τῶν ἀφθόγγων τούτων κηρύκων πρὸς τὸ οὖς ἑκάστῳ περιήγγελλεν ὡς πριάμενος εἴη τοὺς ὑπηκόους τόσου καὶ τόσου χρυσίου, καὶ πᾶσά γε ἀνάγκη τοῦτο καταβάλλειν ἢ πράγματα ἔχοντας ἐπιτρίβεσθαι θανάτοις καὶ δημεύσεσιν. οἱ μὲν οὖν ἔχοντες καὶ συντελεῖς ἐκ προϋπαρχούσης οὐσίας κατετίθεσαν οἰμώζοντες τὸ ἀργύριον· οἱ δὲ ἀποροῦντες δημοσίᾳ κατεδαπανῶντο ταῖς μάστιξι τὰ σώματα· πρόφασις δὲ ἦν ἑτέρα τις. εὑρέθη γὰρ γένος ἀνθρώπων δι' ἀπορίαν καὶ ἀπόνοιαν ὀξυθάνατον καὶ φιλοκίνδυνον, οἳ τὰς ὕβρεις οὐκ ἐνεγκόντες ἐπὶ κατηγορίᾳ τῆς λῃστείας ὥρμησαν ἐπὶ τὸν τῆς αὐλῆς ἔπαρχον. κἀκεῖνος ἂν ἐπὶ τὸ πρᾶγμα διεσχηματισμένος πάλαι καὶ αὐτὸς ἕτερα τοιαῦτα πάσχων τόν τε κατηγορηθέντα συνήρπασε καὶ τοὺς κατηγορήσαντας ὡς παρρησίαν ἔχοντας ἐπήνεσεν ὁπωσποτοῦν(?) τοι-

αὗτα γένοιτο· καὶ πρὸς τὸν ἀγῶνα τῆς κρίσεως ἐλθούσης, ἔφρασεν ἂν διὰ τοῦ πιστοτάτου τῶν εὐνούχων· "ἄπιτε, ὦ βέλτιστοι, πάνυ θαυμάζοντες ὅτι μετὰ τῶν κεφαλῶν ἄπιτε· κατηγορεῖν γὰρ ἀρχομένοις οὐκ ἔξεστιν." οἱ μὲν ἀπῄεσαν ψηλαφῶντες τὰς κεφαλὰς ἐπὶ τοῖς λόγοις καὶ ἀγαπῶντες, ὅτι ἔχουσι συνηρμοσμένας· ὁ δὲ νικήσας τὴν Καδμείαν μακρῷ πλέον ἦν ἀθλιώτερος καὶ τὴν ἀρχὴν πριάμενος ὅλης τῆς ὑπαρχούσης οὐσίας καὶ τὸ κέρδος τῆς ἀρχῆς προσκαταβαλὼν ταῖς τοσαύταις ἐνέδραις καὶ λόχοις. πᾶσαι γοῦν οἰκίαι πρὸς τοῦτον ἐκενοῦντο ἂν τὸν δόλον· καὶ ῥᾷστα ἦν ὁρᾶν τοὺς ἄρξαντας δεδημευμένους, ὥσπερ που καὶ ὁ κωμικός φησιν· "ἄρξαντος ἀνδρὸς δημόσια τὰ χρήματα." ὁ δὲ ἀγνοῶν τίς κωμικός, οὐδὲ ἀναγιγνώσκειν ἄξιος τὴν (...)γραφήν. οὕτω γοῦν καὶ ὁ Ἑρεννιανὸς τότε τὸν Ἱέρακα τῷ πολλὰ μὲν ὑφελέσθαι, πλείονα δὲ καταβαλεῖν συλλαβὼν ἀπέδειξε δικαίας ἀποτίνοντα τιμωρίας τοῦ κατὰ Φράβιθον φόνου. ὁ δὲ Ἱέραξ καλούμενος ὑπὸ τοῦ πλείονα καταθέντος ὥσπερ ἀετοῦ συνειλημμένος ἀηδὼν ἦν Ἡσιόδειος οὐ δυναμένη πρὸς κρείττονα ἀντιφερίζειν. καὶ αὐτὸς δὲ ὁ ἀετὸς οὐδὲν διέφερεν ἀηδόνος, πλὴν ὅσα καὶ ἐς τὸν τοῦ μύθου κολοιὸν ἐτέλει, τῶν ἰδίων πτερῶν ὥσπερ ἀλλοτρίων ἐστερημένος.

Ὅτι ἐπὶ τῆς αὐτῆς βασιλίδος οὐκ ἦν τινα παρὰ τὴν Κωνσταντίνου πόλιν μὴ τοῦτο ἀκοῦσαι· "τί δὲ σύ, πάντων ἀνδρῶν θαυμασιώτατε, [πόλε]ων οὐκ ἄρχεις καὶ ἐθνῶν;" καὶ ὁ λόγος ἦν τοῦ κατὰ τὸν μῦθον ἰοῦ τῶν διψάδων δυνατώτερος. [Exc. de sentent. (cod. p. 77, 78) p. 292—295 Mai., 96—99 Niebuhr.]

88 Ὁ δὲ Στελίχων οὐκ ἐφόνευσε τοὺς ἀνθρώπους, ἀλλὰ ζῆν αἰσχρῶς ἠνάγκαζε, πάντα ἀφαιρούμενος,

καὶ πρὸς τὸ βαρύτατον, ὥς φησι Μένανδρος, τὴν πενίαν φορτίον .....ιαλλει.ϑ..οι λέγων καὶ συστέλλων.

Ὅτι ὕπατον ὅμως διὰ φιλαρχίαν ᾑροῦντο αὐτὸν συνάπαντες οἱ χρήματα ἔχοντες ζῆν μᾶλλον ἢ τοὺς ... δεῖν πυρὶ καὶ φόνῳ καὶ σιδήρῳ πάντα δαπανήσασθαι ... τῆς ... χῆς ἐν τῷ διαφαίνεσθαι ὅτι μόνος Στελίχων ὑπὲρ ἀνθρωπίνην ἐν... [Exc. de sentent. (cod. p. 77) p. 294—295 Mai., 96—99 Niebuhr.]

SEDIS INCERTAE.

Γυναικῶν δὲ ὕβρις καὶ τὸ ἀτάσθαλον ἐς παῖδας 89
εὖ γεγονότας συνεκυρώϑη καὶ νόμος εἶναι. [Suidas v. ἀτάσθαλα. Videntur haec petita esse ex eodem loco, unde de Carino fragmentum 4. Certe eandem ibi sententiam habes eademque pene verba. MÜLLERUS. Rectius ibidem ὕβρεις.]

Εἴτε φιλοχρήματος εἴη καὶ δοῦλος τῶν βαλλαν- 90
τίων· καὶ ταῦτα σαφῶς ἐκπυνθανόμενοι πρὸς ταῦτα διεστρατήγουν τὸν πόλεμον. [Suidas v. βαλλάντιον.]

Τοσούτου δὲ οἰδοῦντος καὶ ὑποφυομένου κακοῦ. [Suidas v. οἰδοῦσαν.]

Τῶν δὲ Ῥωμαίων ἐπ' αὐτὸ τοῦτο βιαζομένων 91
ἄπορον αὐτοῖς ἀποδεῖξαι καὶ πλῆθος καὶ θέσιν καὶ βέλη καὶ μηχανὰς καὶ μεγέθη ποταμῶν, πρὸς τὸ μὴ ἡττᾶσθαι σφῶν καὶ ὁμολογεῖν εἶναι χείροσιν. [Suidas v. θέσεις. Locus mutilus, ut videtur.]

"Οὗτοι μὲν ὧδε μένοντες ὑπεμόσχευον τὸν πό- 92
λεμον·" ἀντὶ τοῦ ὑπέτρεφον, ὑπεφύτευον. [Suidas v. μοσχεύων.]

Πέτρα δέ τις ἀπεσπασμένη ἐς τόξου ῥῦμα, του- 93
τέστιν ἕλκυσμα. [Suidas v. ῥῦμα.]

Ζεῦγμα, ἡ τοῦ ποταμοῦ διάβασις, ἡ γέφυρα. [Suidas v. *ζεῦγμα.*]

94 *Τῶν αὐτῶν ἐθῶν* (*ἐτῶν* Kusterus) *γυναῖκά τινα στείλας ἐσθῆτι λευκῇ καὶ στέμμασιν, ὡς δὴ μελεδωνὸν οὖσαν τῆς Συρίας οὕτω δὴ καλουμένης θεοῦ.* [Suidas v. *μελεδωνός.*]

95 *Καὶ οἱ μὲν αὐτοὺς διέφθειρον σχοινίοις ἀποτραχηλίζοντες.* [Suidas v. *ἀποτρ.*]

96 *Καὶ τἄλλα πάθη κατὰ τὴν ἐκμελῆ λύραν ἐθεραπεύετο.* [Suidas v. *ἐκμελές.*]

97 *Πρὸς τὸ ἀφανὲς καὶ ἀόριστον τῆς χώρας ἐκπεσόντες, πρὸς τοὺς φόνους καὶ πρὸς τὴν λείαν ἀπαγορεύοντες.* [Suidas v. *ἀπαγορεύει.*]

98 *Οὔτε ἄλλως τὸ μεγαλοπρεπὲς κατὰ τὴν δίαιταν ἐν ταῖς μάχαις ἐστὶ φιλοκίνδυνον.* [Suidas v. *μεγαλοπρ.*]

99 *Τὸν πάντα βίον αὐτοῦ συντεκμηράμενος ἐκ τῶν ἐναργῶν περὶ αὐτὸν συμβόλων τε καὶ σημείων.* [Suidas v. *συντεκμηράμενος.*]

100 *Ὡς κατά τινας διαμέτρους κεραίας κεχιῶσθαι τὴν γλῶτταν ταῖς ἀντιτύποις συμβολαῖς τῶν ἀκίδων.* [Suidas v. *διάμετρος.*]

101 *Κατὰ τούτους τοὺς χρόνους ὑπὸ τῆς ἀνδρώδους γυναικὸς ἔργον τι κατετολμήθη καὶ συνεπράχθη γενναῖον οὕτω καὶ ἀνδρῶδες ὥστε ἄπιστον εἶναι διενεγκεῖν ἐς τὴν διήγησιν.* [Suidas v. *διενεγκεῖν.*]

102 *Καὶ οἱ μὲν παιδιάν τινα ἐκ τῶν πολεμίων ἡγούμενοι τοσοῦτον ἐδυσχέραινον ὅσον ἠναγκάζοντο βοᾶν καθ' οὓς ἐμβάλοιεν.* [Suidas v. *παιδιά.*]

103 *Ὁ δὲ τὰ φρονήματα καὶ τοὺς θυμοὺς τῶν στρατιωτῶν ἀνηρέθιζε, καὶ διαυχενίζεσθαι πρὸς τὸ ἀγέρωχον ταῖς μελέταις ἐξεκάλει καὶ φιλοκίνδυνον.* [Suidas v. *διαυχενίζεσθαι.* Idem: *Διηυχενίζετο, ὑψηυ-*

χένει "ἕτερα δὲ οὐ πολύ τι μείω ἀνωρθοῦτο καὶ διηυχενίζετο, ἀλλὰ τούτων βαρύτερα καὶ κεραυνῷ προσεμφερῆ." Quae Eunapio tribuit verbis ἀνωρθοῦτο καὶ διηυχενίζετο uso fr. 76.]

Ὁ δὲ τὰ φρονήματα καὶ τοὺς θυμοὺς τῶν στρατιωτῶν ἀνηρέθιξεν. [Suidas v. *ἀνηρέθιξεν.*]

Ὁ δὲ τὰς δυνάμεις ἤθροισε, τὸ χρῆμα τῆς δια- 104
βάσεως ἐπισπέρχων ἤδη καὶ συμβιαζόμενος καὶ πλὴν ἀγαθῆς ψυχῆς σῶμα οὐκ ἔχων. [Suidas v. *χρῆμα.*]

Εὐνάπιος δὲ λέγει ψιλὸν καὶ [al. *δὲ*] *οἷον κοῦφον.* 105
[Suidas v. *ψιλός.* Qui etiam quae addit: *αὐξίλια δὲ οἱ Ῥωμαῖοι τὰ τέλη ταῦτα προσαγορεύουσι, τὸ τῆς βοηθείας ὀξὺ καὶ παρὰ τὰς χρείας εὐκίνητον οὕτω προσαγορεύοντες*, Eunapii putat Bernhardy.]

Ἀνῆψεν, ἀνεκρέμασε θεοῖς. Εὐνάπιος. [Suidas.]

Sequuntur fragmenta auctoris nomine non insignita, quae Eunapii esse viri docti censuerunt.

Εὐτόκιος ἀπὸ Θρᾴκης ἐλθὼν οὔτε γνώμην ἐπιει- 106
κής τις ἦν οὔτε γένους εὖ ἥκων, ἀλλὰ στρατιώτης μὲν ὁ τυχών, πολλὰ δὲ χρήματα κοινὰ τοῦ ἰδίου τάγματος ὑποκλέψας ᾤχετο φεύγων εἰς τὴν Παλαιστίνην. ἐπεχείρησε μὲν οὖν Ἐλευθεροπολίταις ἑαυτὸν ἐγκαταλέξαι, τῆς βουλῆς μετασχὼν ἐπὶ χρήμασι μεγάλοις. καὶ γὰρ ἐγλίχετο τὴν τύχην μεταβαλεῖν εἰς τὸ εὐγενέστερον· καίτοι ἔδει πρότερον μετατίθεσθαι τὴν προαίρεσιν εἰς τὸ κρεῖττον. ἀλλ' ὅμως οἱ Ἐλευθεροπολῖται τὸ πλῆθος ὑπιδόμενοι τῶν χρημάτων οὐ προσεδέξαντο τὸν Εὐτόκιον. ὁ δὲ μετεχώρησεν ἐς τὴν Ἀσκάλωνα· καὶ ὁ τότε πρωτεύων Κρατερὸς εὐμενῶς αὐτὸν ὑπεδέξατο μετὰ τῶν χρημάτων, πολιτικῆς τε μετέδωκεν ἐλευθερίας. οἱ δὲ Θρᾷκες ὑστέρῳ χρόνῳ κατὰ πύστιν ἥκοντες ἐπὶ τὸν Εὐτόκιον ἀπή-

τουν τὸν Κρατερὸν αὐτόν τε τὸν Εὐτόκιον καὶ τὰ χρήματα· ὁ δὲ οὐ μεθίει τὸν ἄνδρα· τῶν δὲ στρατιωτῶν ἐπὶ δίκην τὸ πρᾶγμα φερόντων, ὁ Κρατερὸς ὑπεραγωνίζεται τοῦ Εὐτοκίου, καὶ περιγίνεται τῶν Θρᾳκῶν· ἐφ' ᾧ καὶ χρησμὸς ἐξέπεσεν ἔχων ὧδε. [Suidas v. *Εὐτόκιος*. Eunapio tribuit Kusterus. Res tanto incertior, quum de Eutocio illo eiusque aetate non constet. Niebuhrius suspicatur ab hoc Eutocio mathematicum, qui sub Iustiniano scripsit, duxisse genus. MÜLLERUS.]

107 *Τὸ κόσμιον καὶ ἡσύχιον μετὰ τοῦ δραστηρίου αὐτῷ ἐτέτακτο καὶ τοῦ ἀνδρώδους· ἐπιεικὴς γὰρ ὢν καὶ πρός γ' ἔτι ἀπράγμων, ὅμως εἰς ἀγῶνα πραγμάτων ἐμβεβηκὼς ἐξ ἀνάγκης οὐδενὸς ἐλείπετο τῶν περὶ ταῦτα καλινδουμένων.* [Suidas v. *δραστήριον*. Eunapio tribuit Boissonadus.]

108 *Περικαῶς τῆς γυναικὸς ἔχων.* [Suidas v. *περικαῶς*. Haec Eunapio tribuo, adverbio *περικαῶς* uso in Sophistis p. 111. BOISSON. Idem de eiusdem glossis *Ἐμφέρεια, ὁμοιότης. Μεσαιπόλιος, ὠμογέρων, μιξοπόλιος*, „haec referri posse ad Eunapium putavi ex hac Zosimi, qui Eunapium saepissime exprimit, sententia I, 51: *Ἄνδρα μεσαιπόλιον, ἐμφέρειάν τινα πρὸς τὴν τοῦ βασιλέως ἰδέαν δοκοῦντά πως ἔχειν, εὑρών*. Sed potuit Suidas ipsa Zosimi verba respicere.“]

Alia apud Suidam anonyma fragmenta, quae interpretes incerta pleraque coniectura ad Eunapium retulerant, Bernhardy indicavit in indice p. 1971, cuius etiam conf. annot. ad v. *μουσομανία*.*) Vocabula quaedam Eunapiana habet Photius supra p. 207.

---

*) Hemsterhusii in illa refutatam opinionem me quoque ad Thes. Stephani v. *ἀποψαύω* reiicere et quod conieci ex Suida v. *παρῳδούμενος* confirmare oportebat.

PRISCI FRAGMENTA.

ΙΣΤΟΡΙΑ ΒΥΖΑΝΤΙΑΚΗ.

Suidas: *Πρίσκος, Πανίτης, σοφιστής, γεγονὼς ἐπὶ τῶν χρόνων Θεοδοσίου τοῦ μικροῦ· ἔγραψεν Ἱστορίαν Βυζαντιακὴν καὶ τὰ κατὰ Ἀττήλαν* (*Ἄτταλον* codd.) *ἐν βιβλίοις ὀκτὼ Μελέτας τε ῥητορικὰς καὶ Ἐπιστολάς.*

Euagrius Hist. eccles. I, 17: *Ἐν τούτοις τοῖς χρόνοις ὁ πολὺς τῷ λόγῳ πόλεμος ἐκεκίνητο Ἀττίλα τοῦ τῶν Σκυθῶν βασιλέως, ὃν περιέργως καὶ ἐς τὰ μάλιστα λογίως Πρίσκος ὁ ῥήτωρ γράφει, μετὰ πολλῆς τῆς κομψείας διηγούμενος ὅπως τε κατὰ τῶν ἑῴων καὶ ἑσπερίων ἐπεστράτευσε μερῶν οἵας τε καὶ ὅσας πόλεις ἑλὼν κατήγαγε καὶ ὅσα πεπραχὼς τῶν ἐντεῦθεν μετέστη.*

Idem II, 16: *Ἐκ πρεσβείας δὲ τῶν ἑσπερίων Ῥωμαίων Ἀνθέμιος βασιλεὺς τῆς Ῥώμης ἐκπέμπεται, ᾧ Μαρκιανὸς ὁ πρῴην βεβασιλευκὼς τὴν οἰκείαν κατηγγύησε παῖδα. ἐκπέμπεται δὲ στρατηγὸς κατὰ Γιζερίχου Βασιλίσκος ὁ τῆς Λέοντος γυναικὸς Βηρίνης ἀδελφὸς μετὰ στρατευμάτων ἀριστίνδην συνειλεγμένων. ἅπερ ἀκριβέστατα Πρίσκῳ τῷ ῥήτορι πεπόνηται, ὅπως τε δόλῳ περιελθὼν ὁ Λέων, μισθὸν*

ὥσπερ ἀποδιδοὺς τῆς ἐς αὐτὸν προαγωγῆς, ἀναιρεῖ Ἄσπαρα τὴν ἀρχὴν αὐτῷ περιθέντα, παῖδάς τε αὐτοῦ Ἀρδαβούριον καὶ Πατρίκιον, ὃν Καίσαρα πεποίητο πρότερον, ἵνα τὴν Ἄσπαρος εὔνοιαν κτήσηται.

ΙΣΤΟΡΙΑ ΓΟΤΘΙΚΗ.

1 Ὅτι Ῥούα βασιλεύοντος Οὔννων Ἀμιλζούροις καὶ Ἰτιμάροις καὶ Τουνώσουρσι καὶ Βοΐσκοις καὶ ἑτέροις ἔθνεσι προσοικοῦσι τὸν Ἴστρον καὶ ἐς τὴν Ῥωμαίων ὁμαιχμίαν καταφυγγάνουσιν ἐς μάχην ἐλθεῖν προῃρημένος ἐκπέμπει Ἥσλαν, εἰωθότα τοῖς διαφόροις αὐτῷ τε καὶ Ῥωμαίοις διακονεῖσθαι, λύειν τὴν προϋπάρχουσαν εἰρήνην ἀπειλῶν, εἰ μή γε πάντας τοὺς παρὰ σφᾶς καταφυγόντας ἐκδοῖεν. βουλευομένων δὲ Ῥωμαίων στεῖλαι πρεσβείαν παρὰ τοὺς Οὔννους, πρεσβεύειν μὲν ἤθελον Πλίνθας καὶ Διονύσιος, Πλίνθας μὲν τοῦ Σκυθικοῦ, Διονύσιος δὲ τοῦ Θρᾳκίου γένους, ἀμφότεροι δὲ στρατοπέδων ἡγούμενοι καὶ ἄρξαντες τὴν ὕπατον παρὰ Ῥωμαίοις ἀρχήν. ἐπειδὴ δὲ ἐδόκει Ἥσλαν παρὰ τὸν Ῥούαν ἀφικνεῖσθαι πρότερον τῆς ἐκπεμφθησομένης πρεσβείας, συνεκπέμπει Πλίνθας Σηγγίλαχον, ἄνδρα τῶν ἐπιτηδείων, πεῖσαι τὸν Ῥούαν αὐτῷ καὶ μὴ ἑτέροις Ῥωμαίων ἐς λόγους ἐλθεῖν. τελευτήσαντος δὲ Ῥούα καὶ περιστάσης τῆς Οὔννων βασιλείας ἐς Ἀττήλαν [καὶ Βλήδαν addit Nieb.], ἐδόκει τῇ Ῥωμαίων βουλῇ Πλίνθαν πρεσβεύεσθαι παρ᾽ αὐτούς. καὶ κυρωθείσης ἐπ᾽ αὐτῷ παρὰ βασιλέως ψήφου, ἐβούλετο καὶ Ἐπιγένην ὁ Πλίνθας συμπρεσβεύειν αὐτῷ ὡς μεγίστην ἐπὶ σοφίᾳ δόξαν ἐπιφερόμενον καὶ τὴν ἀρχὴν ἔχοντα τοῦ κοιαίστωρος. χειροτονίας δὲ καὶ ἐπ᾽ αὐτῷ γενομένης, ἄμφω ἐπὶ τὴν πρεσβείαν ἐξώρμησαν, καὶ παραγίγνον-

ται ἐς Μάργον. ἡ δὲ πόλις τῶν ἐν Ἰλλυρίᾳ Μυσῶν πρὸς τῷ Ἴστρῳ κειμένη ποταμῷ ἀντικρὺ Κωνσταντίας φρουρίου κατὰ τὴν ἑτέραν ὄχθην διακειμένου, ἐς ἣν καὶ οἱ βασίλειοι συνῄεσαν Σκύθαι. καὶ τὴν σύνοδον ἔξω τῆς πόλεως ἐποιοῦντο, ἐπιβεβηκότες ἵππων· οὐ γὰρ ἐδόκει τοῖς βαρβάροις ἀποβᾶσι λογοποιεῖσθαι, ὥστε καὶ τοὺς Ῥωμαίων πρέσβεις τῆς σφῶν αὐτῶν ἀξίας προνοουμένους ἀπὸ τῆς αὐτῆς προαιρέσεως ἐς ταὐτὸν τοῖς Σκύθαις ἐλθεῖν, πρὸς τὸ μὴ τοὺς μὲν ἀφ' ἵππων, τοὺς δὲ πεζοὺς διαλέγεσθαι ...... (*** Ῥωμαίους οὐ μόνον ἐς τὸ μέλλον μὴ δέχεσθαι supplet Nieb.) τοὺς ἀπὸ τῆς Σκυθικῆς καταφεύγοντας, ἀλλὰ καὶ τοὺς ἤδη πεφευγότας, σὺν καὶ τοῖς αἰχμαλώτοις Ῥωμαίοις τοῖς ἄνευ λύτρων ἐς τὰ σφέτερα ἀφιγμένοις ἐκδίδοσθαι, εἰ μή γε ὑπὲρ ἑκάστου πεφευγότος τοῖς κατὰ πόλεμον κτησαμένοις ὀκτὼ δοθεῖεν χρυσοῖ· ἔθνει δὲ βαρβάρῳ μὴ συμμαχεῖν Ῥωμαίους πρὸς Οὔννους αἱρουμένους (αἱρομένῳ Nieb.) πόλεμον· εἶναι δὲ καὶ τὰς πανηγύρεις ἰσονόμους καὶ ἀκινδύνους Ῥωμαίοις τε καὶ Οὔννοις· φυλάττεσθαι δὲ καὶ διαμένειν τὰς συνθήκας ἑπτακοσίων λιτρῶν χρυσίου ἔτους ἑκάστου τελουμένων παρὰ Ῥωμαίων τοῖς βασιλείοις Σκύθαις· πρότερον δὲ πεντήκοντα καὶ τριακόσιαι αἱ τοῦ τέλους ἐτύγχανον οὖσαι. ἐπὶ τούτοις ἐσπένδοντο Ῥωμαῖοί τε καὶ Οὖννοι, καὶ πάτριον ὅρκον ὀμόσαντες ἐς τὰ ἀμφότερα (ἐς τὰ σφέτερα ἀμφότεροι Bekk.) ἐπανῄεσαν. οἱ δὲ παρὰ Ῥωμαίους καταφυγόντες ἐξεδόθησαν βαρβάροις, ἐν οἷς καὶ παῖδες Μάμα καὶ Ἀτακὰμ τοῦ βασιλείου γένους, οὓς ἐν Καρσῷ φρουρίῳ Θρᾳκίῳ οἱ παρειληφότες ἐσταύρωσαν, δίκας αὐτοὺς πραττόμενοι τῆς φυγῆς. οἱ δὲ περὶ Ἀττήλαν καὶ Βλήδαν τὴν εἰρήνην πρὸς Ῥωμαίους θέμενοι διεξ-

ᾔεσαν τὰ ἐν τῇ Σκυθικῇ ἔθνη χειρούμενοι, καὶ πόλεμον πρὸς Σορόσγους συνεστήσαντο. [Exc. de legat. p. 47—48 ed. Par., 166—169 Niebuhr.]

1[a] *Οὐάλιψ ὁ πάλαι τοὺς Ῥούβους τοῖς Ῥωμαίοις ἐπαναστήσας τοῖς ἑῴοις, καταλαβὼν Νοβίδουνον πόλιν πρὸς τῇ ὄχθῃ κειμένην τοῦ ποταμοῦ, τινάς τε τῶν πολιτῶν διεχειρίσατο καὶ σύμπαντα τὰ ἐν τῷ ἄστει ἀθροίσας χρήματα κατατρέχειν τὴν Θρᾳκῶν καὶ Ἰλλυριῶν παρεσκευάζετο μετὰ τῶν νεωτερίζειν σὺν αὐτῷ ἑλομένων. τῆς δὲ παραστησομένης αὐτὸν πεμφθείσης ἐκ βασιλέως δυνάμεως τειχ΄ρης γενόμενος τοὺς πολιορκοῦντας ἐκ τῶν περιβόλων ἠμύνετο, ἐφ' ὅσον αὐτῷ τε καὶ τοῖς ἀμφ' αὐτὸν οἷά τε ἦν καρτερεῖν. ἡνίκα γὰρ ἀπηγόρευον τῷ πόνῳ διὰ τὸ ἐκ διαδοχῆς τὸ Ῥωμαϊκὸν μάχεσθαι πλῆθος, ἐς τὰς ἐπάλξεις τοὺς παῖδας τῶν αἰχμαλώτων ἱστῶντες τὴν τῶν ἐναντίων βελῶν ἐπεῖχον φοράν. φίλοι γὰρ τῶν Ῥωμαϊκῶν παίδων οἱ στρατιῶται οὔτε ἔβαλλον ἐς τοὺς ἐπὶ τοῦ τείχους οὔτε ἠκόντιζον. καὶ οὕτως αὐτῷ τριβομένου τοῦ χρόνου ἐπὶ συνθήκαις ἡ πολιορκία ἐλύετο.* [Exc. de strat. in cod. montis Atho in Wescheri Pol. p. 304.]

1[b] *Ἐπολιόρκουν οἱ Σκύθαι τὴν Ναϊσσόν· πόλις δὲ αὕτη τῶν Ἰλλυριῶν ἐπὶ Δανουβα* [corruptum] *κειμένη ποταμῷ. Κωνσταντῖνον αὐτῆς εἶναι οἰκιστήν φασιν, ὃς καὶ τὴν ὁμώνυμον ἑαυτῷ πόλιν ἐπὶ τῷ Βυζαντίῳ ἐδείματο. οἷα δὴ οὖν πολυάνθρωπόν τε πόλιν αἱρήσειν οἱ βάρβαροι μέλλοντες καὶ ἄλλως ἐρυμνὴν διὰ πάσης ἐχώρουν πείρας. τῶν δὲ ἀπὸ τοῦ ἄστεως οὐ θαρρούντων ἐπεξιέναι πρὸς μάχην, τὸν ποταμὸν ὥστε ῥᾳδίαν εἶναι πλήθει τὴν διάβασιν ἐγεφύρωσαν κατὰ τὸ μεσημβρινὸν μέρος, καθ' ὃ καὶ τὴν πόλιν παραρρεῖ, καὶ μηχανὰς τῷ περιβόλῳ προσῆγον, πρῶτον μὲν*

δοκοὺς ἐπὶ τροχῶν κειμένας διὰ τὸ πρόχειρον αὐτῶν εἶναι τὴν προσαγωγήν· αἷς ἐφεστῶτες ἄνθρωποι ἐς τοὺς ἀπὸ τῶν ἐπάλξεων ἀμυνομένους ἐτόξευον, τῶν ἐξ ἑκατέρας κεραίας ἑστώτων ἀνδρῶν ὠθούντων τοῖς ποσὶ τοὺς τροχοὺς καὶ προσαγόντων ὅπῃ καὶ δέοι τὰς μηχανάς, ὡς ἂν εἴη βάλλειν ἐπίσκοπα διὰ τῶν ἐν ταῖς ἐφεστρίσι πεποιημένων θυρίδων. ὥστε γὰρ τοῖς ἐπὶ τῆς δοκοῦ ἀνδράσιν ἀκίνδυνον εἶναι τὴν μάχην, λύγοις διαπλόκοις ἐκαλύπτοντο δέρρεις καὶ διφθέρας ἐχούσαις, κώλυμα τῶν τε ἄλλων βελῶν καὶ ὅσα ἐπὶ σφᾶς πυρφόρα ἐκπέμποιτο. πολλῶν δὲ τῷ τρόπῳ τούτῳ ἐπιτειχισθέντων ὀργάνων τῇ πόλει, ὥστε διὰ πλῆθος βελῶν ἐνδοῦναι καὶ ὑποχωρῆσαι τοὺς ἐπὶ τῶν ἐπάλξεων, προσήγοντο καὶ οἱ καλούμενοι κριοί. μεγίστη δὲ ἄρα καὶ ἥδε ἡ μηχανή· δοκὸς ἐκ ξύλων πρὸς ἄλληλα νευόντων χαλαραῖς ἀπηωρημένη ἁλύσεσιν, ἐπιδορατίδα καὶ προκαλύμματα ὃν εἴρηται τρόπον ἔχουσα, ἀσφαλείας ἕνεκα τῶν ἐργαζομένων. καλῳδίοις γὰρ ἐκ τῆς ὄπισθεν κεραίας εἷλκον βιαίως ἄνδρες αὐτὴν ἐς τὸ ἐναντίον τοῦ δεξομένου τὴν πληγήν, καὶ μετὰ ταῦτα ἠφίεσαν, ὥστε τῇ ῥύμῃ πᾶν τὸ ἐμπῖπτον τοῦ τείχους ἀφανίζεσθαι μέρος. οἱ δὲ ἀπὸ τῶν τειχῶν ἀμυνόμενοι ἁμαξιαίους λίθους πρὸς τοῦτο ἤδη παρεσκευασμένους, ἡνίκα τῷ περιβόλῳ προσαχθείη τὰ ὄργανα, ἐνέβαλλον, καὶ τινὰ μὲν αὐτοῖς ἀνδράσι συνέτριψαν, πρὸς δὲ τὸ πλῆθος οὐκ ἀντήρκουν τῶν μηχανῶν. καὶ γὰρ δὴ προσῆγον καὶ κλίμακας, ὥστε πῇ μὲν ἐκ τῶν κριῶν λυθέντος τοῦ τείχους, πῇ δὲ τῶν ἐν ταῖς ἐπάλξεσι βιαζομένων ὑπὸ τοῦ πλήθους τῶν μηχανῶν, ἁλῶναι τὴν πόλιν, τῶν βαρβάρων ἐσφρησάντων κατὰ τὸ ῥαγὲν τοῦ περιβόλου μέρος ἐκ τῆς τοῦ κριοῦ πληγῆς. τοῦτο δὲ καὶ διὰ τῶν κλι-

μάκων, αἳ τῷ μήπω πεσόντι τοῦ τείχους προσήγοντο. [Ex iisdem ib. p. 305—306. Hoc loco ponendum hoc fragmentum coniecit R. Roeslerus in ephem. gymn. Austr. a. 1869, p. 844, ad a. Chr. 441 referens.]

2 Ὅτι τῶν Σκυθῶν κατὰ τὸν τῆς πανηγύρεως καιρὸν καταστρατηγησάντων Ῥωμαίους καὶ πολλοὺς ἀνελόντων, οἱ Ῥωμαῖοι ἐπέστελλον πρὸς τοὺς Σκύθας, ἐν αἰτίᾳ σφᾶς ποιούμενοι τῆς τοῦ φρουρίου αἱρέσεως ἕνεκεν καὶ τῆς τῶν σπονδῶν ὀλιγωρίας. οἱ δὲ ἀπεκρίναντο ὡς οὐκ ἀρξάμενοι, ἀλλ' ἀμυνόμενοι ταῦτα δράσειαν· τὸν γὰρ τῆς Μάργου ἐπίσκοπον ἐς ἑαυτῶν ἀναβεβηκότα γῆν καὶ διερευνησάμενον τὰς παρὰ σφίσι βασιλείους θήκας σεσυληκέναι τοὺς ἀποκειμένους θησαυρούς· καὶ εἰ μὴ τοῦτον ἐκδοῖεν, ἐκδοῖεν δὲ καὶ τοὺς φυγάδας κατὰ τὰ ὑποκείμενα· εἶναι γὰρ παρὰ Ῥωμαίοις πλείστους· τὸν πόλεμον ἐπάξειν. Ῥωμαίων δὲ τὴν αἰτίαν οὐκ ἀληθῆ φαμένων εἶναι, ἐν τοῖς σφετέροις λόγοις τὸ πιστὸν οἱ βάρβαροι θέμενοι κρίσεως μὲν τῶν ἀμφιβόλων κατωλιγώρουν, πρὸς πόλεμον δὲ ἐτράπησαν, καὶ περαιωθέντες τὸν Ἴστρον πόλεις καὶ φρούρια πλεῖστα ἐπὶ τῷ ποταμῷ ἐκάκωσαν. ἐν οἷς καὶ τὸ Βιμινάκιον εἷλον· πόλις δὲ αὕτη τῶν ἐν Ἰλλυριοῖς Μυσῶν. ὧν γιγνομένων, καί τινων λογοποιούντων ὡς ὁ τῆς Μάργου ἐπίσκοπος ἐκδοθείη, ὥστε μὴ ἑνὸς ἀνδρὸς πέρι τῷ παντὶ Ῥωμαίων τὸν ἐκ τοῦ πολέμου ἐπαχθῆναι κίνδυνον, ὑποτοπήσας ὁ ἄνθρωπος ἐκδοθήσεσθαι, λαθὼν τοὺς ἐν τῷ ἄστει πρὸς τοὺς πολεμίους παραγίγνεται, καὶ αὐτοῖς παραδώσειν ὑπισχνεῖται τὴν πόλιν, εἴ γε ἐπιεικές τι οἱ τῶν Σκυθῶν βουλεύσαιντο βασιλεῖς. οἱ δὲ ἔφασαν πάντα ποιήσειν τὰ ἀγαθά, εἰ τὴν αὐτοῦ ἄγοι ἐς ἔργον ὑπόσχεσιν. δεξιῶν δὲ καὶ ὅρκων ἐπὶ τοῖς εἰρημένοις δοθέντων,

μετὰ βαρβαρικῆς πολυπληθίας ἐς τὴν Ῥωμαϊκὴν ἐπάνεισι γῆν, καὶ ταύτην προλοχίσας ἀντικρὺ τῆς ὄχθης νυκτὸς διανίστησιν ἐκ συνθήματος, καὶ ὑπὸ τοῖς ἀντιπάλοις τὴν πόλιν ποιεῖ. δῃωθείσης δὲ τῆς Μάργου τὸν τρόπον τοῦτον, ἐπὶ μεῖζον ηὐξήθη τὰ τῶν βαρβάρων πράγματα. [Exc. de legat. p. 33—34 Par., 140—141 Niebuhr.]

Ὅτι ἐπὶ Θεοδοσίου τοῦ μικροῦ βασιλέως Ἀττήλας 3
ὁ τῶν Οὔννων βασιλεὺς τὸν οἰκεῖον στρατὸν ἀγείρας γράμματα πέμπει παρὰ τὸν βασιλέα τῶν τε φυγάδων καὶ τῶν φόρων πέρι, ὅσοι προφάσει τοῦδε τοῦ πολέμου οὐκ ἐδέδοντο, τὴν ταχίστην οἱ ἐκπέμπεσθαι παρακελευόμενος· συντάξεως δὴ ἕνεκα * μέλλοντος φόρου παρ' αὐτὸν πρέσβεις τοὺς διαλεξομένους ἀφικνεῖσθαι, ὡς, εἰ μελλήσειαν ἢ πρὸς πόλεμον ὁρμήσειαν, οὐδὲ αὐτὸν ἔτι ἐθέλοντα τὸ Σκυθικὸν ἐφέξειν πλῆθος. ταῦτα ἀναγνόντες οἱ ἀμφὶ τὰ βασίλεια οὐδαμῶς τοὺς παρὰ σφᾶς καταφυγόντας ἐκδώσειν ἔφασαν, ἀλλὰ σὺν ἐκείνοις τὸν πόλεμον ὑποστήσεσθαι, πέμψειν δὲ πρέσβεις τοὺς τὰ διάφορα λύσοντας. ὡς δὲ τῷ Ἀττήλᾳ τὰ δεδογμένα Ῥωμαίοις ἠγγέλλετο, ἐν ὀργῇ τὸ πρᾶγμα ποιούμενος τὴν Ῥωμαϊκὴν ἐδῄου γῆν, καὶ φρούριά τινα καθελὼν τῇ Ῥατιαρίᾳ προσέβαλλε μεγίστῃ καὶ πολυανθρώπῳ. [Ibid. p. 34 Par., 141 Niebuhr.]

[Chronicon Paschale p. 588, 4 ed. Bonn. (ad a. 459) 3a
postquam dixerat: *Περὶ οὗ πολέμου* (sc. Attilae) *συνεγράψατο ὁ σοφώτατος Πρίσκος ὁ Θρᾷξ*, pergit: *Λέγει* (Priscus?) *ὅτι Κῦρος προεβλήθη ἐν Κωνσταντινουπόλει ἔπαρχος πραιτωρίων καὶ ἔπαρχος πόλεως. καὶ προῄει μὲν ὡς ἔπαρχος πραιτωρίων εἰς τὴν καροῦχαν τῶν ἐπάρχων· ἀνεχώρει δὲ καθήμενος εἰς τὴν κα-*

ῥοῦχαν τοῦ ἐπάρχου τῆς πόλεως· ἐκράτησεν γὰρ τὰς δύο ἀρχὰς ἐπὶ χρόνους τέσσαρας, διότι καθαρὸς ἦν πάνυ· καὶ αὐτὸς ἐπενόησεν τὰ ἑσπερινὰ φῶτα ἅπτεσθαι εἰς τὰ ἐργαστήρια ὁμοίως καὶ τὰ νυκτερινά. καὶ ἔκραξαν αὐτῷ τὰ μέρη εἰς τὸ Ἱππικὸν ὅλην τὴν ἡμέραν "Κωνσταντῖνος ἔκτισεν, Κῦρος ἀνενέωσε." καὶ ἐχόλεσεν αὐτῷ ὁ βασιλεὺς ὅτι ταῦτα ἔκραξαν καὶ διεδέξατο αὐτὸν δημεύσας καὶ ἐποίησεν αὐτὸν κληρικὸν καὶ ἔπεμψεν αὐτὸν ἐπίσκοπον εἰς Σμύρναν (*Κοτυάειον* secundum Malalam et Suidam) *τῆς Ἀσίας κτλ.* Num revera haec e Prisco Chronici auctor vel potius auctores desumpserint in medio relinquo. Certe illud *λέγει* ita positum ut rem non possit dirimere. Ceterum eadem fere habet Malalas p. 361 ed. Bonn. et Theophanes p. 149 ed. Bonn. Conf. etiam Suidas vv. *Κῦρος* et *Θεοδόσιος ὁ μικρός*. MÜLLERUS. V. fr. 17.]

4 *Ὅτι Θεοδόσιος ἔπεμπε Σηνάτωρα, ἄνδρα ὑπατικόν, παρὰ τὸν Ἀττήλαν πρεσβευσόμενον. ὃς οὐδὲ τὸ τοῦ πρεσβευτοῦ ἔχων ὄνομα ἐθάρρησε πεζὸς παρὰ τοὺς Οὔννους ἀφικέσθαι, ἀλλ᾽ ἐπὶ τὸν Πόντον καὶ τὴν Ὀδησσηνῶν ἔπλευσε πόλιν, ἐν ᾗ καὶ Θεόδουλος στρατηγὸς ἐκπεμφθεὶς διέτριβεν.* [Exc. de legat. p. 48 Par., 169 Niebuhr.]

5 *Ὅτι μετὰ τὴν ἐν Χερρονήσῳ μάχην Ῥωμαίων πρὸς Οὔννους ἐγίγνοντο καὶ αἱ συμβάσεις, Ἀνατολίου πρεσβευσαμένου. καὶ ἐπὶ τοῖσδε ἐσπένδοντο, ὅπως ἐκδοθεῖεν μὲν τοῖς Οὔννοις οἱ φυγάδες καὶ ἓξ χιλιάδες χρυσίου λιτρῶν ὑπὲρ τῶν πάλαι συντάξεων δοθεῖεν αὐτοῖς· φόρον δὲ ἔτους ἑκάστου δισχιλίας καὶ ἑκατὸν λίτρας χρυσοῦ σφισι τεταγμένον εἶναι· ὑπὲρ δὲ αἰχμαλώτου Ῥωμαίου φεύγοντος καὶ ἐς τὴν σφετέραν γῆν ἄνευ λύτρων διαβαίνοντος δώδεκα χρυ-*

σοῦς εἶναι ἀποτίμησιν, μὴ καταβάλλοντας δὲ τοὺς ὑποδεχομένους ἐκδιδόναι τὸν φεύγοντα· μηδένα δὲ βάρβαρον Ῥωμαίους παρὰ σφᾶς φεύγοντα δέχεσθαι. ταύτας προσεποιοῦντο μὲν ἐθελονταὶ Ῥωμαῖοι τὰς συνθήκας τίθεσθαι· ἀνάγκῃ δὲ [καὶ addit Nieb.] ὑπερβάλλοντι δέει, ὅπερ κατεῖχε τοὺς σφῶν ἄρχοντας, πᾶν ἐπίταγμα καίπερ ὂν χαλεπόν, τυχεῖν τῆς εἰρήνης ἐσπουδακότες, ἠσμένιζον, καὶ τὴν τῶν φόρων σύνταξιν βαρυτάτην οὖσαν προσίεντο, τῶν χρημάτων αὐτοῖς καὶ τῶν βασιλικῶν θησαυρῶν οὐκ ἐς δέον ἐκδεδαπανημένων, ἀλλὰ περὶ θέας ἀτόπους καὶ φιλοτιμίας οὐκ εὐλόγους καὶ ἡδονὰς καὶ δαπάνας ἀνειμένας, ἃς οὐδεὶς τῶν εὖ φρονούντων οὐδὲ ἐν εὐπραγίαις ἂν ὑποσταίη, μήτι γε δὴ οἱ τῶν ὅπλων ὀλιγωρήσαντες, ὥστε μὴ μόνον Σκύθαις, ἀλλὰ γὰρ καὶ τοῖς λοιποῖς βαρβάροις τοῖς παροικοῦσι τὴν Ῥωμαίων ὑπακούειν ἐς φόρου ἀπαγωγήν. τούτων τῶν συντάξεων καὶ τῶν χρημάτων πέρι, ἅπερ ἔδει τοῖς Οὔννοις ἐκπέμπεσθαι, συνεσφέρειν πάντας ἠνάγκασε, δασμὸν ἐσπραττομένους καὶ τοὺς κατὰ χρόνον τινὰ τὴν βαρυτάτην κουφισθέντας τῆς γῆς ἀποτίμησιν εἴτε δικαστῶν κρίσει εἴτε βασιλέων φιλοτιμίαις. συνεσέφερον δὲ ῥητὸν χρυσίον καὶ οἱ ἐν τῇ γερουσίᾳ ἀναγεγραμμένοι ὑπὲρ τῆς σφῶν αὐτῶν ἀξίας. καὶ ἦν πολλοῖς ἡ λαμπρὰ τύχη βίου μεταβολή· ἐσεπράττοντο γὰρ μετ' αἰκισμῶν ἅπερ ἕκαστον ἀπεγράψαντο οἱ παρὰ βασιλέως τοῦτο ποιεῖν ἐπιτεταγμένοι, ὥστε τὸν κόσμον τῶν γυναικῶν καὶ τὰ ἔπιπλα τοὺς πάλαι εὐδαίμονας προτιθέναι ἐν ἀγορᾷ. τοῦτο μὲν μετὰ τὸν πόλεμον τὸ κακὸν Ῥωμαίους ἐδέξατο, ὥστε πολλοὺς ἢ ἀποκαρτερήσαντας ἢ βρόχον ἁψαμένους τὸν βίον ἀπολιπεῖν. τότε δὴ ἐκ τοῦ παραχρῆμα τῶν θησαυρῶν

ἐξαντληθέντων, τό τε χρυσίον καὶ οἱ φυγάδες ἐπέμποντο, Σκόττα ἐπὶ ταύτην τὴν πρᾶξιν ἀφιγμένου· ὧν πλείστους Ῥωμαῖοι ἀπέκτειναν ἀπειθοῦντας πρὸς τὴν ἔκδοσιν. ἐν οἷς καὶ τῶν βασιλικῶν ὑπῆρχον Σκυθῶν, οἳ ὑπὸ Ἀττήλᾳ τάττεσθαι ἀνηνάμενοι παρὰ Ῥωμαίους ἀφίκοντο. τοῖς δὲ αὐτοῦ ὁ Ἀττήλας προστιθεὶς ἐπιτάγμασι καὶ Ἀσημουντίους ἐκέλευσεν ἐκδιδόναι ὅσους αἰχμαλώτους ὑπῆρχον ἔχοντες εἴτε Ῥωμαίους εἴτε βαρβάρους. Ἀσημοῦς δέ ἐστι φρούριον καρτερόν, οὐ πολὺ μὲν ἀπέχον τῆς Ἰλλυρίδος, τῷ δὲ Θρᾳκίῳ προσκείμενον μέρει· ὅπερ οἱ ἐνοικοῦντες ἄνδρες πολλὰ δεινὰ τοὺς ἐχθροὺς εἰργάσαντο, οὐκ ἀπὸ τειχῶν ἀμυνόμενοι, ἀλλ' ἔξω τῆς τάφρου μάχας ὑφιστάμενοι πρός τε ἄπειρον πλῆθος καὶ στρατηγοὺς μέγιστον παρὰ Σκύθαις ἔχοντας κλέος, ὥστε τοὺς μὲν Οὔννους ἀπορήσαντας τοῦ φρουρίου ὑπαναχωρῆσαι, τοὺς δὲ ἐπεκτρέχοντας καὶ περαιτέρω τῶν οἰκείων γιγνομένους, ἡνίκα ἀπήγγελλον αὐτοῖς οἱ σκοποὶ διιέναι τοὺς πολεμίους λείαν Ῥωμαϊκὴν ἀπάγοντας, ἀδοκήτοις τε ἐμπίπτειν καὶ σφέτερα τὰ ἐκείνων ποιεῖσθαι λάφυρα, πλήθει μὲν λειπομένους τῶν ἀντιπολεμούντων, ἀρετῇ δὲ καὶ ῥώμῃ διαφέροντας. πλείστους τοίνυν οἱ Ἀσημούντιοι ἐν τῷδε τῷ πολέμῳ Σκύθας μὲν ἀπέκτειναν, Ῥωμαίους δὲ ἠλευθέρωσαν, τοὺς δὲ καὶ ἀποδράντας τῶν ἐναντίων ἐδέξαντο. οὐκ ἀπάγειν οὖν ἔφη ὁ Ἀττήλας τὸν στρατὸν οὐδὲ ἐπικυροῦν τὰς τῆς εἰρήνης συνθήκας, εἰ μὴ ἐκδοθεῖεν οἱ παρ' ἐκείνους καταφυγόντες Ῥωμαῖοι ἢ καὶ ὑπὲρ αὐτῶν δοθεῖεν ἀποτιμήσεις, ἀφεθείησαν δὲ καὶ οἱ παρὰ Ἀσημουντίων ἀπαχθέντες αἰχμάλωτοι βάρβαροι. ἀντιλέγειν δὲ αὐτῷ ὡς οὐχ οἷός τε ἦν οὔτε Ἀνατόλιος πρεσβευόμενος οὔτε Θεόδουλος ὁ τῶν στρατιω-

τικῶν κατὰ τὸ Θρᾴκιον ταγμάτων ἡγούμενος· οὔτε γὰρ ἔπειθον οὔτε τὰ εὔλογα προτείνοντες, τοῦ μὲν βαρβάρου τεθαρρηκότος καὶ προχείρως ἐς τὰ ὅπλα ὁρμῶντος, αὐτῶν δὲ κατεπτηχότων διὰ τὰ προϋπάρξαντα· γράμματα παρὰ τοὺς Ἀσημουντίους ἔστελλον ἢ ἐκδιδόναι τοὺς παρ' αὐτοὺς καταφυγόντας αἰχμαλώτους Ῥωμαίους, ἢ ὑπὲρ ἑκάστου δώδεκα τιθέναι χρυσοῦς, διαφεθῆναι δὲ καὶ τοὺς αἰχμαλώτους Οὔννους. οἱ δὲ τὰ αὐτοῖς ἐπεσταλμένα ἀναγνόντες ἔφασαν τοὺς μὲν παρ' αὐτοὺς καταφυγόντας Ῥωμαίους ἀφεῖναι ἐπ' ἐλευθερίᾳ, Σκύθας δὲ ὅσους αἰχμαλώτους ἔλαβον ἀνῃρηκέναι, δύο δὲ συλλαβόντας ἔχειν διὰ τὸ καὶ τοὺς πολεμίους μετὰ τὴν γενομένην ἐπὶ χρόνον πολιορκίαν ἐξ ἐνέδρας ἐπιθεμένους τῶν πρὸ τοῦ φρουρίου νεμόντων παίδων ἁρπάσαι τινάς, οὓς εἰ μὴ ἀπολάβοιεν, οὐδὲ τοὺς νόμῳ πολέμου κτηθέντας ἀποδώσειν. ταῦτα ἀπαγγειλάντων τῶν παρὰ τοὺς Ἀσημουντίους ἀφιγμένων, τῷ τε Σκυθῶν βασιλεῖ καὶ τοῖς Ῥωμαίοις ἄρχουσιν ἐδόκει μὲν ἀναζητεῖσθαι οὓς οἱ Ἀσημούντιοι ἔφασαν ἡρπάσθαι παῖδας, οὐδενὸς δὲ φανέντος, οἱ παρὰ τοῖς Ἀσημουντίοις βάρβαροι ἀπεδόθησαν, πίστεις τῶν Σκυθῶν δόντων ὡς παρ' αὐτοῖς οἱ παῖδες οὐκ εἰσίν. ἐπώμνυντο δὲ καὶ οἱ Ἀσημούντιοι, ὡς οἱ παρὰ σφᾶς καταφυγόντες Ῥωμαῖοι ἐπ' ἐλευθερίᾳ ἀφείθησαν. ὤμνυον δέ, καίπερ παρὰ σφίσιν ὄντων Ῥωμαίων· οὐ γὰρ ἐπίορκον ᾤοντο ὅρκον ὀμνύναι ἐπὶ τῇ σωτηρίᾳ τῶν ἐκ τοῦ σφετέρου γένους ἀνδρῶν. [Exc. de legat. p. 34—35 Par., 142—145 Niebuhr.]

Ὅτι γενομένων τῶν σπονδῶν, Ἀττήλας αὖθις 6
παρὰ τοὺς ἑῴους ἔπεμψε πρέσβεις, φυγάδας αἰτῶν. οἱ δὲ τοὺς πρεσβευομένους δεξάμενοι καὶ πλείστοις

δώροις θεραπεύσαντες ἀπέπεμψαν, φυγάδας μὴ ἔχειν φήσαντες. ὁ δὲ πάλιν ἑτέρους ἔπεμψε. χρηματισαμένων δὲ καὶ αὐτῶν, τρίτη παρεγένετο πρεσβεία, καὶ τετάρτη μετ' αὐτήν. ὁ γὰρ βάρβαρος ἐς τὴν Ῥωμαίων ἀφορῶν φιλοτιμίαν, ἣν ἐποιοῦντο εὐλαβείᾳ τοῦ μὴ παραβαθῆναι τὰς σπονδάς, ὅσους τῶν ἐπιτηδείων εὖ ποιεῖν ἐβούλετο, ἔπεμπε παρ' αὐτούς, αἰτίας τε ἀναπλάττων καὶ προφάσεις ἐφευρίσκων κενάς. οἱ δὲ παντὶ ὑπήκουον ἐπιτάγματι, καὶ δεσπότου ἡγοῦντο τὸ πρόσταγμα, ὅπερ ἐκεῖνος παρεκελεύσατο. οὐ γὰρ μόνον τὸν πρὸς αὐτὸν ἀνελέσθαι πόλεμον εὐλαβοῦντο, ἀλλὰ καὶ Παρθυαίους ἐν παρασκευῇ τυγχάνοντας ἐδεδίεσαν, καὶ Βανδήλους τὰ κατὰ θάλατταν ταράττοντας, καὶ Ἰσαύρους πρὸς τὴν λῃστείαν διανισταμένους, καὶ Σαρακηνοὺς τῆς αὐτῶν ἐπικρατείας τὴν ἕω κατατρέχοντας, καὶ τὰ Αἰθιοπικὰ ἔθνη συνιστάμενα. διὸ δὴ τεταπεινωμένοι τὸν μὲν Ἀττήλαν ἐθεράπευον, πρὸς δὲ τὰ λοιπὰ ἔθνη ἐπειρῶντο παρατάττεσθαι, δυνάμεις τε ἀθροίζοντες καὶ στρατηγοὺς χειροτονοῦντες. [Exc. de legat. p. 36—37 Par., 145—146 Niebuhr.]

7 *Ὅτι καὶ αὖθις Ἐδέκων ἧκε πρέσβις, ἀνὴρ Σκύθης, μέγιστα κατὰ πόλεμον ἔργα διαπραξάμενος, σὺν Ὀρέστῃ, ὃς τοῦ Ῥωμαϊκοῦ γένους ὢν ᾤκει τὴν πρὸς τῷ Σάῳ ποταμῷ Παιόνων χώραν, τῷ βαρβάρῳ κατὰ τὰς Ἀετίου στρατηγοῦ τῶν ἑσπερίων Ῥωμαίων συνθήκας ὑπακούουσαν. οὗτος ὁ Ἐδέκων ἐς τὰ βασίλεια παρελθὼν ἀπεδίδου τὰ παρὰ Ἀττήλα γράμματα, ἐν οἷς ἐποιεῖτο τοὺς Ῥωμαίους ἐν αἰτίᾳ τῶν φυγάδων πέρι· ἀνθ' ὧν ἠπείλει ἐπὶ τὰ ὅπλα χωρεῖν, εἰ μὴ ἀποδοθεῖεν αὐτῷ καὶ ἀφέξονται Ῥωμαῖοι τὴν δοριάλωτον ἀροῦντες. εἶναι δὲ μῆκος μὲν αὐτῆς κατὰ*

τὸ ῥεῦμα τοῦ Ἴστρου ἀπὸ τῆς Παιόνων ἄχρι Νοβῶν τῶν Θρᾳκίων, τὸ δὲ βάθος πέντε ἡμερῶν ὁδόν· καὶ τὴν ἀγορὰν τὴν ἐν Ἰλλυριοῖς μὴ πρὸς τῇ ὄχθῃ τοῦ Ἴστρου ποταμοῦ γίγνεσθαι, ὥσπερ καὶ πάλαι, ἀλλ' ἐν Ναϊσσῷ, ἣν ὅριον, ὡς ἐπ' αὐτοῦ δῃωθεῖσαν, τῆς Σκυθῶν καὶ Ῥωμαίων ἐτίθετο γῆς, πέντε ἡμερῶν ὁδὸν εὐζώνῳ ἀνδρὶ τοῦ Ἴστρου ἀπέχουσαν ποταμοῦ. πρέσβεις δὲ ἐκέλευσε πρὸς αὐτὸν ἀφικνεῖσθαι τοὺς περὶ τῶν ἀμφιβόλων διαλεξομένους, οὐ τῶν ἐπιτυχόντων, ἀλλὰ τῶν ὑπατικῶν ἀνδρῶν τοὺς μεγίστους· οὓς εἰ ἐκπέμπειν εὐλαβηθεῖεν, αὐτὸν δεξόμενον σφᾶς ἐς τὴν Σαρδικὴν διαβήσεσθαι. τούτων ἀναγνωσθέντων βασιλεῖ τῶν γραμμάτων, ὡς ὑπεξῆλθεν ὁ Ἐδέκων σὺν τῷ Βιγίλᾳ ἑρμηνεύσαντι ὅσαπερ ὁ βάρβαρος ἀπὸ στόματος ἔφρασε τῶν Ἀττήλᾳ δεδογμένων, καὶ ἐς ἑτέρους οἴκους παρεγένετο, ὥστε αὐτὸν Χρυσαφίῳ τῷ βασιλέως ὑπασπιστῇ, οἷα δὴ τὰ μέγιστα δυναμένῳ, ἐς ὄψιν ἐλθεῖν, ἀπεθαύμασε τὴν τῶν βασιλείων οἴκων περιφάνειαν. Βιγίλας δέ, ὡς τῷ Χρυσαφίῳ ἐς λόγους ἦλθεν ὁ βάρβαρος, ἔλεγεν ἑρμηνεύων, ὡς ἐπαινοίη ὁ Ἐδέκων τὰ βασίλεια καὶ τὸν παρὰ σφίσι μακαρίζοι πλοῦτον. ὁ δὲ Χρυσάφιος ἔφασκεν ἔσεσθαι καὶ αὐτὸν οἴκων τε χρυσοστέγων καὶ πλούτου κύριον, εἴ γε περιίδοι μὲν τὰ παρὰ Σκύθαις, ἕλοιτο δὲ τὰ Ῥωμαίων. τοῦ δὲ ἀποκριναμένου ὡς τὸν ἑτέρου δεσπότου θεράποντα ἄνευ τοῦ κυρίου οὐ θέμις τοῦτο ποιεῖν, ἐπυνθάνετο ὁ εὐνοῦχος εἴ γε ἀκώλυτος αὐτῷ ἡ παρὰ τὸν Ἀττήλαν εἴη ἔσοδος καὶ δύναμιν παρὰ Σκύθαις ἔχοι τινά. τοῦ δὲ ἀποκριναμένου ὡς καὶ ἐπιτήδειος εἴη τῷ Ἀττήλᾳ καὶ τὴν αὐτοῦ ἅμα τοῖς ἐς τοῦτο ἀποκεκριμένοις λογάσιν ἐμπιστεύεται φυλακήν· ἐκ διαδοχῆς γὰρ κατὰ ῥητὰς

ἡμέρας ἕκαστον αὐτῶν ἔλεγε μεθ' ὅπλων φυλάττειν τὸν Ἀττήλαν· ἔφασκεν ὁ εὐνοῦχος, εἴπερ πίστεις δέξοιτο, μέγιστα αὐτῷ ἐρεῖν ἀγαθά· δεῖσθαι δὲ σχολῆς· ταύτην δὲ αὐτῷ ὑπάρχειν, εἴ γε παρ' αὐτὸν ἐπὶ δεῖπνον ἔλθοι χωρὶς Ὀρέστου καὶ τῶν ἄλλων συμπρεσβευτῶν. ὑποσχόμενος δὲ τοῦτο ποιεῖν, ἐπὶ τὴν ἑστίασιν πρὸς τὸν εὐνοῦχον παραγενόμενος, καὶ ὑπὸ τῷ Βιγίλᾳ ἑρμηνεῖ δεξιὰς καὶ ὅρκους ἔδοσαν, ὁ μὲν εὐνοῦχος ὡς οὐκ ἐπὶ κακῷ τῷ Ἐδέκωνι, ἀλλ' ἐπὶ μεγίστοις ἀγαθοῖς τοὺς λόγους ποιήσοιτο, ὁ δὲ ὡς οὐκ ἐξείποι τὰ αὐτῷ ῥηθησόμενα, εἰ καὶ μὴ πέρατος κυρήσοι. τότε δὴ ὁ εὐνοῦχος ἔλεγε τῷ Ἐδέκωνι, εἰ διαβὰς ἐς τὴν Σκυθικὴν ἀνέλοι τὸν Ἀττήλαν καὶ παρὰ Ῥωμαίους ἥξει, ἔσεσθαι αὐτῷ βίον εὐδαίμονα καὶ πλοῦτον μέγιστον. τοῦ δὲ ὑποσχομένου καὶ φήσαντος ἐπὶ τῇ πράξει δεῖσθαι χρημάτων, οὐ πολλῶν δέ, ἀλλὰ πεντήκοντα λιτρῶν χρυσίου, δοθησομένων τῷ ὑπ' αὐτὸν τελοῦντι πλήθει, ὥστε αὐτῷ τελέως συνεργῆσαι πρὸς τὴν ἐπίθεσιν, καὶ τοῦ εὐνούχου τὸ χρυσίον παραχρῆμα δώσειν ὑποσχομένου, ἔλεγεν ὁ βάρβαρος ἀποπέμπεσθαι μὲν αὐτὸν ἀπαγγελοῦντα τῷ Ἀττήλᾳ περὶ τῆς πρεσβείας, συμπέμπεσθαι δ' αὐτῷ Βιγίλαν τὴν παρὰ τοῦ Ἀττήλα ἐπὶ τοῖς φυγάσιν ἀπόκρισιν δεξόμενον. δι' αὐτοῦ γὰρ περὶ τοῦ αὐτοῦ χρυσίου μηνύσειν, καὶ ὃν τρόπον τοῦτο ἐκπεμφθήσεται. ἀπεληλυθότα γάρ, ὥσπερ καὶ τοὺς ἄλλους, πολυπραγμονήσειν τὸν Ἀττήλαν τίς τε αὐτῷ δωρεὰ καὶ ὁπόσα παρὰ Ῥωμαίων δέδοται χρήματα· μὴ οἷόν τε δὲ ταῦτα ἀποκρύπτειν διὰ τοὺς συμπορευομένους. ἔδοξε δὴ τῷ εὐνούχῳ εὖ λέγειν, καὶ τῆς γνώμης τὸν βάρβαρον ἀποδεξάμενος ἀποπέμπει μετὰ τὸ δεῖπνον, καὶ ἐπὶ βασιλέα φέρει τὴν βουλήν. ὃς Μαρτιάλιον

τὴν τοῦ μαγίστρου διέποντα ἀρχὴν προσμεταπεμψάμενος ἔλεγε τὰς πρὸς τὸν βάρβαρον συνθήκας. ἀνάγκῃ δὲ ἐθάρρει τὸ τῆς ἀρχῆς· πασῶν γὰρ τῶν βασιλέως βουλῶν ὁ μάγιστρός ἐστι κοινωνός, οἷα δὴ τῶν τε ἀγγελιαφόρων καὶ ἑρμηνέων καὶ στρατιωτῶν τῶν ἀμφὶ τὴν βασιλείαν φυλακὴν ὑπ' αὐτὸν ταττομένων. ἐδόκει δὲ αὐτοῖς βουλευσαμένοις τῶν προκειμένων πέρι μὴ μόνον Βιγίλαν, ἀλλὰ γὰρ καὶ Μαξιμῖνον ἐκπέμπειν πρεσβευόμενον παρὰ τὸν Ἀττήλαν. [Exc. de legat. p. 37—38 Par., 146—150 Niebuhr.]

Ὅτι τοῦ Χρυσαφίου τοῦ εὐνούχου παραινέσαντος 8 Ἐδέκωνι ἀνελεῖν τὸν Ἀττήλαν, ἐδόκει τῷ βασιλεῖ Θεοδοσίῳ καὶ τῷ μαγίστρῳ Μαρτιαλίῳ βουλευομένοις τῶν προκειμένων πέρι μὴ μόνον Βιγίλαν, ἀλλὰ καὶ Μαξιμῖνον ἐκπέμπειν πρεσβευόμενον παρὰ τὸν Ἀττήλαν, καὶ Βιγίλαν μὲν τῷ φαινομένῳ τὴν τοῦ ἑρμηνέως ἐπέχοντα τάξιν πράττειν ἅπερ Ἐδέκωνι δοκεῖ, τὸν δὲ Μαξιμῖνον μηδὲν τῶν αὐτοῖς βουλευθέντων ἐπιστάμενον τὰ βασιλέως ἀποδιδόναι γράμματα. ἐνεγέγραπτο δὲ τῶν πρεσβευομένων ἀνδρῶν ἕνεκα ὡς ὁ μὲν Βιγίλας ἑρμηνεύς, ὁ δὲ Μαξιμῖνος μείζονος ἤπερ ὁ Βιγίλας ἀξίας γένους τε περιφανοῦς καὶ ἐπιτήδειος ἐς τὰ μάλιστα βασιλεῖ, ἔπειτα ὡς οὐ δεῖ παρασαλεύοντα τὰς σπονδὰς τῇ Ῥωμαίων ἐμβατεύειν γῇ. φυγάδας δὲ μετὰ τοὺς ἤδη ἐκδοθέντας ἑπτακαίδεκα ἀπέσταλκά σοι, ὡς ἑτέρων οὐκ ὄντων. καὶ ταῦτα μὲν ἦν ἐν τοῖς γράμμασι· φράζειν δὲ τὸν Μαξιμῖνον ἀπὸ στόματος τῷ Ἀττήλᾳ μὴ χρῆναι αἰτεῖν πρέσβεις μεγίστης ἀξίας παρ' αὐτὸν διαβῆναι· τοῦτο γὰρ οὔτε ἐπὶ τῶν αὐτοῦ προγόνων οὔτε ἐπὶ ἑτέρων τῶν ἀρξάντων τῆς Σκυθικῆς γενέσθαι, ἀλλὰ πρεσβεύσασθαι τόν τε ἐπιτυχόντα στρατιώτην καὶ ἀγγελιαφόρον.

ἐς δὲ τὸ διευκρινῆσαι τὰ ἀμφιβαλλόμενα ἐδόκει πέμπειν Ὀνηγήσιον παρὰ Ῥωμαίους· μὴ οἷόν τε γὰρ αὐτὸν Σερδικῆς δῃωθείσης σὺν ὑπατικῷ ἀνδρὶ ἐς αὐτὴν προϊέναι. ἐπὶ ταύτην τὴν πρεσβείαν ἐκλιπαρήσας πείθει με Μαξιμῖνος αὐτῷ συναπᾶραι. καὶ δῆτα ἅμα τοῖς βαρβάροις ἐχόμενοι τῆς ὁδοῦ ἐς Σερδικὴν ἀφικνούμεθα, τρισκαίδεκα ὁδὸν ἀνδρὶ εὐζώνῳ τῆς Κωνσταντίνου ἀπέχουσαν. ἐν ᾗ καταλύσαντες καλῶς ἔχειν ἡγησάμεθα ἐπὶ ἑστίαν Ἐδέκωνα καὶ τοὺς μετ' αὐτοῦ βαρβάρους καλεῖν. πρόβατα οὖν καὶ βόας ἀποδομένων τῶν ἐπιχωρίων ἡμῖν, κατασφάξαντες ἀριστοποιούμεθα. καὶ παρὰ τὸν τοῦ συμποσίου καιρὸν τῶν μὲν βαρβάρων τὸν Ἀττήλαν, ἡμῶν δὲ τὸν βασιλέα θαυμαζόντων, ὁ Βιγίλας ἔφη ὡς οὐκ εἴη θεὸν καὶ ἄνθρωπον δίκαια συγκρίνειν, ἄνθρωπον μὲν τὸν Ἀττήλαν, θεὸν δὲ τὸν Θεοδόσιον λέγων. ἤσχαλλον οὖν οἱ Οὖννοι, καὶ κατὰ μικρὸν ὑποθερμαινόμενοι ἐχαλέπαινον. ἡμῶν δὲ ἐς ἕτερα τρεψάντων τὸν λόγον καὶ φιλοφροσύνῃ τὸν σφῶν αὐτῶν καταπραϋνόντων θυμόν, μετὰ τὸ δεῖπνον ὡς διανέστημεν, δώροις ὁ Μαξιμῖνος Ἐδέκωνα καὶ Ὀρέστην ἐθεράπευσε, σηρικοῖς ἐσθήμασι καὶ λίθοις Ἰνδικοῖς. ἀναμείνας δὲ τὴν Ἐδέκωνος Ὀρέστης ἀναχώρησιν, πρὸς τὸν Μαξιμῖνον φράζει ὡς σοφός τε εἴη καὶ ἄριστος, μὴ ὅμοια σὺν τοῖς ἀμφὶ τὰ βασίλεια πλημμελήσας· χωρὶς γὰρ αὐτοῦ ἐπὶ δεῖπνον τὸν Ἐδέκωνα καλοῦντες δώροις ἐτίμων. ἀπόρου δὲ τοῦ λόγου ὡς μηδὲν ἐπισταμένοις φανέντος, καὶ ἀνερωτήσασιν ὅπως καὶ κατὰ ποῖον καιρὸν περιῶπται μὲν αὐτός, τετίμηται δὲ ὁ Ἐδέκων, οὐδὲν ἀποκρινάμενος ἐξῆλθε. τῇ δὲ ὑστεραίᾳ ὡς ἐβαδίζομεν, φέρομεν ἐπὶ Βιγίλαν ἅπερ ἡμῖν Ὀρέστης εἰρήκει. ὃς δὲ ἐκεῖνον μὴ δεῖν

χαλεπαίνειν ὡς τῶν αὐτῶν Ἐδέκωνι μὴ τυγχάνοντα· αὐτὸν μὲν γὰρ ὀπάονά τε καὶ ὑπογραφέα εἶναι Ἀττήλα, Ἐδέκωνα δὲ τὰ κατὰ πόλεμον ἄριστον, ὡς τοῦ Οὔννου γένους, ἀναβεβηκέναι τὸν Ὀρέστην πολύ. ταῦτα εἰπὼν καὶ τῷ Ἐδέκωνι ἰδιολογησάμενος ἔφασκεν ὕστερον πρὸς ἡμᾶς, εἴτε ἀληθιζόμενος εἴτε ὑποκρινόμενος, ὡς εἴποι μὲν αὐτῷ τὰ εἰρημένα, μόγις δὲ αὐτὸν καταπραῧναι τραπέντα ἐπὶ τοῖς λεχθεῖσιν ἐς ὀργήν. ἀφικόμενοι δὲ ἐς Ναϊσσὸν ἔρημον μὲν εὕρομεν ἀνθρώπων τὴν πόλιν, ὡς ὑπὸ τῶν πολεμίων ἀνατραπεῖσαν· ἐν δὲ τοῖς ἱεροῖς καταλύμασι τῶν ὑπὸ νόσων κατεχομένων τινὲς ἐτύγχανον ὄντες. μικρὸν δὲ ἄνω τοῦ ποταμοῦ ἐν καθαρῷ καταλύσαντες· σύμπαντα γὰρ τὰ ἐπὶ τὴν ὄχθην ὀστέων ἦν πλέα τῶν ἐν πολέμῳ ἀναιρεθέντων· τῇ ἐπαύριον πρὸς Ἀγίνθεον τῶν ἐν Ἰλλυριοῖς ταγμάτων ἡγούμενον ἀφικόμεθα, οὐ πόρρω ὄντα τῆς Ναϊσσοῦ, ἐφ᾽ ᾧ τὰ παρὰ βασιλέως ἀγγεῖλαι καὶ τοὺς φυγάδας παραλαβεῖν· τοὺς γὰρ πέντε τῶν ἑπτακαίδεκα, περὶ ὧν Ἀττήλᾳ ἐγέγραπτο, αὐτὸν ἔδει παραδιδόναι. ἤλθομεν οὖν ἐς λόγους, καὶ τοὺς πέντε φυγάδας παραδοῦναι αὐτὸν τοῖς Οὔννοις παρεσκευάσαμεν· οὓς φιλοφρονησάμενος σὺν ἡμῖν ἀπέπεμψε. διανυκτερεύσαντες δὲ καὶ ἀπὸ τῶν ὁρίων τῆς Ναϊσσοῦ τὴν πορείαν ποιησάμενοι ἐπὶ τὸν Ἴστρον ποταμόν, ἔς τι χωρίον ἐσβάλλομεν συνηρεφές, καμπὰς δὲ καὶ ἑλιγμοὺς καὶ περιαγωγὰς πολλὰς ἔχον. ἐν ᾧπερ τῆς ἡμέρας διαφανούσης, οἰομένοις ἐπὶ δυσμὰς πορεύεσθαι ἡ τοῦ ἡλίου ἀνατολὴ κατεναντίον ὤφθη, ὥστε τοὺς ἀπείρως ἔχοντας τῆς τοῦ χωρίου θέσεως ἀναβοῆσαι, οἷα δὴ τοῦ ἡλίου τὴν ἐναντίαν ποιουμένου πορείαν καὶ ἕτερα παρὰ τὰ καθεστῶτα σημαίνοντος. ὑπὸ δὲ τῆς τοῦ τόπου ἀνωμαλίας ἐπὶ

ἀνατολὰς ἐκεῖνο τὸ μέρος ἔβλεπε τῆς ὁδοῦ. μετὰ δὲ τὴν δυσχωρίαν ἐν πεδίῳ καὶ αὐτῷ ὑλώδει παρεγενόμεθα. ἐντεῦθεν βάρβαροι πορθμεῖς ἐν σκάφεσι μονοξύλοις, ἅπερ αὐτοὶ δένδρα ἐκτέμνοντες καὶ διαγλύφοντες κατασκευάζουσιν, ἐδέχοντο ἡμᾶς καὶ διεπόρθμευον τὸν ποταμόν, οὐχ ἡμῶν ἕνεκα παρασκευασάμενοι, ἀλλὰ διαπορθμεύσαντες πλῆθος βαρβαρικόν, ὅπερ ἡμῖν κατὰ τὴν ὁδὸν ἀπηντήκει, οἷα δὴ βουλομένου ὡς ἐπὶ θήραν Ἀττήλα διαβαίνειν ἐς τὴν Ῥωμαίων γῆν. τοῦτο δὲ ἦν πολέμου παρασκευὴν ποιουμένῳ τῷ βασιλείῳ Σκύθῃ, προφάσει τοῦ μὴ πάντας αὐτῷ τοὺς φυγάδας δεδόσθαι. περαιωθέντες δὲ τὸν Ἴστρον καὶ σὺν τοῖς βαρβάροις ὡς ἑβδομήκοντα πορευθέντες σταδίους, ἐν πεδίῳ τινὶ ἐπιμένειν ἠναγκάσθημεν, ὥστε τοὺς ἀμφὶ τὸν Ἐδέκωνα τῷ Ἀττήλᾳ γενέσθαι τῆς ἡμετέρας ἀφίξεως μηνυτάς. καταμεινάντων δὲ σὺν ἡμῖν καὶ τῶν ξεναγησάντων ἡμᾶς βαρβάρων, ἀμφὶ δείλην ὀψίαν δεῖπνον ἡμῶν αἱρουμένων, κρότος ἵππων ὡς ἡμᾶς ἐρχομένων ἠκούετο. καὶ δὴ ἄνδρες δύο Σκύθαι παρεγίγνοντο ὡς τὸν Ἀττήλαν ἡμᾶς ἀπιέναι παρακελευόμενοι. ἡμῶν δὲ πρότερον ἐπὶ τὸ δεῖπνον αὐτοὺς ἐλθεῖν αἰτησάντων, ἀποβάντες τῶν ἵππων εὐωχήθησαν, καὶ ἡμῖν τῆς ὁδοῦ τῇ ὑστεραίᾳ ἡγήσαντο. παραγενομένων δὲ ἐς τὰς Ἀττήλα σκηνὰς ἀμφὶ ἐνάτῃ τῆς ἡμέρας ὥρᾳ, πολλαὶ δὲ αὐτῷ ἐτύγχανον οὖσαι, ἐπί τε λόφου τινὸς σκηνοποιῆσαι βουληθέντων, οἱ ἐπιτυχόντες διεκώλυσαν βάρβαροι, ὡς τῆς Ἀττήλα ἐν χθαμαλῷ ὑπαρχούσης σκηνῆς. καταλυσάντων δὲ ὅπου τοῖς Σκύθαις ἐδόκει, Ἐδέκων καὶ Ὀρέστης καὶ Σκόττας καὶ ἕτεροι τῶν ἐν αὐτοῖς λογάδων ἧκον ἀνερωτῶντες τίνων τυχεῖν ἐσπουδακότες τὴν πρεσβείαν ποιούμεθα. ἡμῶν δὲ τὴν ἄλογον ἀποθαυμαζόντων

ἐρώτησιν καὶ ἐς ἀλλήλους ὁρώντων, διετέλουν πρὸς ὄχλον τῆς ἀποκρίσεως ἕνεκα γιγνόμενοι. εἰπόντων δὲ Ἀττήλᾳ καὶ οὐχ ἑτέροις λέγειν βασιλέα παρακελεύσασθαι, χαλεπήνας ὁ Σκόττας ἀπεκρίνατο τοῦ σφῶν αὐτῶν ἡγουμένου ἐπίταγμα εἶναι· οὐ γὰρ ἂν πολυπραγμοσύνῃ σφετέρᾳ παρ' ἡμᾶς ἐληλυθέναι. φησάντων δὲ μὴ τοῦτον ἐπὶ τοῖς πρέσβεσι κεῖσθαι τὸν νόμον, ὥστε μὴ ἐντυγχάνοντας μηδὲ ἐς ὄψιν ἐρχομένους παρ' οὓς ἐστάλησαν δι' ἑτέρων ἀνακρίνεσθαι ὧν ἕνεκα πρεσβεύοιντο, καὶ τοῦτο μηδὲ αὐτοὺς ἀγνοεῖν Σκύθας θαμινὰ παρὰ βασιλέα πρεσβευομένους· χρῆναι δὲ τῶν ἴσων κυρεῖν· μὴ γὰρ ἄλλως τὰ τῆς πρεσβείας ἐρεῖν· ὡς τὸν Ἀττήλαν ἀνέζευξαν, καὶ αὖθις ἐπανῆκον Ἐδέκωνος χωρίς, καὶ ἅπαντα, περὶ ὧν ἐπρεσβευόμεθα, ἔλεγον, προστάττοντες τὴν ταχίστην ἀπιέναι, εἰ μὴ ἕτερα φράζειν ἔχοιμεν. ἐπὶ δὲ τοῖς λεχθεῖσι πλέον ἔτι ἀποροῦντες· οὐ γὰρ ἦν ἐφικτὸν γιγνώσκειν ὅπως ἔκδηλα ἐγεγόνει τὰ θεῶν παράβυστα (τὰ ἐν παραβύστῳ Nieb.) δεδογμένα βασιλεῖ· συμφέρειν ἡγούμεθα μηδὲν περὶ τῆς πρεσβείας ἀποκρίνεσθαι, εἰ μὴ τῆς παρὰ τὸν Ἀττήλαν ἐσόδου τύχοιμεν. διὸ ἐφάσκομεν, εἴτε τὰ εἰρημένα τοῖς Σκύθαις εἴτε καὶ ἕτερα ἥκομεν πρεσβευόμενοι, τοῦ σφῶν αὐτῶν ἡγουμένου τὴν πεῦσιν εἶναι, καὶ μηδαμῶς ἄλλοις τούτου χάριν διαλεχθήσεσθαι. οἱ δὲ ἡμᾶς παραχρῆμα ἀναχωρεῖν προσέταττον. ἐν παρασκευῇ δὲ τῆς ὁδοῦ γενομένους τῆς ἀποκρίσεως ἡμᾶς ὁ Βιγίλας κατεμέμφετο, ἐπὶ ψεύδει ἁλῶναι ἄμεινον λέγων ἢ ἀπράκτους ἀναχωρεῖν. "εἰ γὰρ ἐς λόγους τῷ Ἀττήλᾳ ἔτυχον, φησίν, ἐληλυθώς, ἐπεπείκειν ῥᾳδίως ἂν αὐτὸν τῆς πρὸς Ῥωμαίους ἀποστῆναι διαφορᾶς, οἷα δὴ ἐπιτήδειος αὐτῷ ἐν τῇ κατὰ Ἀνατόλιον πρεσβείᾳ γενόμε-

νος." ταῦτα (διὰ ταῦτα Hoesch., ταῦτα δ' ἔλεγεν ἐλπίζων Bekk.) εὔνουν αὐτῷ τὸν Ἐδέκωνα ὑπάρχειν· ὥστε λόγῳ τῆς πρεσβείας καὶ τῶν ὁπωσοῦν, εἴτε ἀληθῶς εἴτε ψευδῶς, ῥηθησομένων προφάσεως τυχεῖν ἐπὶ τῷ βουλεύσασθαι περὶ τῶν αὐτοῖς κατ' Ἀττήλα δεδογμένων, καὶ ὅπως τὸ χρυσίον, οὗπερ ἔφασκε δεῖσθαι ὁ Ἐδέκων, κομίσαι τὸ διανεμηθησόμενον [τοῖς ὑπ' αὐτὸν supplet Bekk.] ταττομένοις ἀνδράσι. προδεδομένος δὲ ἐλελήθει. ὁ γὰρ Ἐδέκων, εἴτε δόλῳ ὑποσχόμενος εἴτε καὶ τὸν Ὀρέστην εὐλαβηθείς, μὴ ἐς τὸν Ἀττήλαν ἀγάγοι ἅπερ ἡμῖν ἐν τῇ Σερδικῇ μετὰ τὴν ἑστίασιν εἰρήκει, ἐν αἰτίᾳ ποιούμενος τὸ χωρὶς αὐτοῦ βασιλεῖ καὶ τῷ εὐνούχῳ ἐς λόγους αὐτὸν ἐληλυθέναι, καταμηνύει τὴν μελετηθεῖσαν αὐτῷ ἐπιβουλὴν καὶ τὸ ποσὸν τοῦ ἐκπεμφθησομένου χρυσίου, ἐκλέγει δὲ καὶ ἐφ' οἷς τὴν πρεσβείαν ἐποιούμεθα. τῶν δὲ φορτίων ἤδη τοῖς ὑποζυγίοις ἐπιτεθέντων, καὶ ἀνάγκῃ τὴν πορείαν κατὰ τὸν τῆς νυκτὸς καιρὸν ποιεῖσθαι πειρώμενοι, μετεξέτεροι τῶν βαρβάρων παραγενόμενοι ἐπιμεῖναι ἡμᾶς τοῦ καιροῦ χάριν παρακελεύσασθαι τὸν Ἀττήλαν ἔλεγον. ἐν αὐτῷ οὖν τῷ χωρίῳ, ὅθεν καὶ διανέστημεν, ἧκον ἡμῖν βοῦν ἄγοντές τινες καὶ ποταμίους ἰχθύας παρὰ τοῦ Ἀττήλα διαπεμφθέντας. δειπνήσαντες οὖν ἐς ὕπνον ἐτράπημεν. ἡμέρας δὲ γενομένης ᾠόμεθα μὲν ἥμερόν τι καὶ πρᾷον παρὰ τοῦ βαρβάρου μηνυθήσεσθαι· ὁ δὲ πάλιν τοὺς αὐτοὺς ἔπεμπε, παρακελευόμενος ἀπιέναι, εἰ μὴ ἔχοιμέν τι παρὰ τὰ αὐτοῖς ἐγνωσμένα λέγειν. οὐδὲν οὖν ἀποκρινάμενοι πρὸς τὴν ὁδὸν παρασκευαζόμεθα, καίπερ τοῦ Βιγίλα διαφιλονεικοῦντος λέγειν εἶναι καὶ ἕτερα ἡμῖν ῥηθησόμενα. ἐν πολλῇ δὲ κατηφείᾳ τὸν Μαξιμῖνον ἰδών, παραλαβὼν Ῥου-

στίκιον ἐξεπιστάμενον τὴν βαρβάρων φωνήν, ὃς σὺν ἡμῖν ἐπὶ τὴν Σκυθικὴν ἐληλύθει, οὐ τῆς πρεσβείας ἕνεκα, ἀλλὰ κατὰ πρᾶξίν τινα πρὸς Κωνστάντιον, ὃν Ἰταλιώτην ὄντα ὑπογραφέα Ἀττήλᾳ ἀπεστάλκει Ἀέτιος ὁ τῶν ἑσπερίων Ῥωμαίων στρατηγός, παρὰ τὸν Σκύτταν ἀφικνούμενος· οὐ γὰρ Ὀνηγήσιος τηνικαῦτα παρῆν· καὶ αὐτὸν προσειπὼν ὑπὸ ἑρμηνεῖ τῷ Ῥουστικίῳ ἔλεγον δῶρα πλεῖστα παρὰ τοῦ Μαξιμίνου λήψεσθαι, εἴπερ αὐτὸν τῆς παρὰ τὸν Ἀττήλαν ἐσόδου παρασκευάσοι τυχεῖν. τὴν γὰρ αὐτοῦ πρεσβείαν οὐ μόνον Ῥωμαίοις καὶ Οὔννοις συνοίσειν, ἀλλὰ καὶ Ὀνηγησίῳ, ὃν παρ' αὐτὸν βασιλέα ἰέναι βούλεσθαι καὶ τὰ τοῖς ἔθνεσι διευκρινῆσαι ἀμφίβολα· ἀφικόμενον δὲ μεγίστων τεύξεσθαι δωρεῶν. χρῆναι οὖν μὴ παρόντος Ὀνηγησίου ἡμῖν, μᾶλλον δὲ τἀδελφῷ ἐπὶ τῇ ἀγαθῇ συναγωνίζεσθαι πράξει. πείθεσθαι δὲ καὶ αὐτῷ τὸν Ἀττήλαν μεμαθηκέναι ἔλεγον· οὐκ ἐν ἀκοῇ δὲ ἔσεσθαι βεβαίως τὰ κατ' αὐτόν, εἰ μή γε πείρᾳ τὴν αὐτοῦ γνοίημεν δύναμιν. ὃς δὲ ὑπολαβὼν μηκέτι ἀμφιβόλους εἶναι ἔφη τοῦ καὶ αὐτὸν ἴσα τῷ ἀδελφῷ παρὰ Ἀττήλᾳ λέγειν τε καὶ πράττειν. καὶ παραχρῆμα τὸν ἵππον ἀναβὰς ἐπὶ τὴν Ἀττήλα διήλασε σκηνήν. πρὸς δὲ τὸν Μαξιμῖνον ἐπανελθὼν ἀλύοντα ἅμα τῷ Βιγίλᾳ καὶ διαπορούμενον ἐπὶ τοῖς καθεστῶσιν ἔλεγον ἅ τε τῷ Σκόττᾳ διείλεγμαι καὶ ἅπερ παρ' αὐτοῦ ἠκηκόειν, καὶ ὡς δεῖ τὰ τῷ βαρβάρῳ δοθησόμενα παρασκευάζειν δῶρα καὶ τὰ αὐτῷ παρ' ἡμῶν ῥηθησόμενα ἀναλογίζεσθαι. ἀμφότεροι οὖν ἀναπηδήσαντες· ἐπὶ γὰρ τοῦ ἐδάφους καὶ τῆς πόας κεῖσθαι σφᾶς συνέβαινεν· ἐπήνεσάν τε τὴν πρᾶξιν καὶ τοὺς ἤδη μετὰ τῶν ὑποζυγίων ἐξορμήσαντας ἀνεκάλουν, καὶ διεσκέψαντο ὅπως τε προσείποιεν τὸν

Ἀττήλαν καὶ ὅπως αὐτῷ τά τε βασιλέως δῶρα δοῖεν καὶ ἅπερ αὐτῷ ὁ Μαξιμῖνος ἐκόμιζεν. ἀμφὶ δὲ ταῦτα πονουμένους διὰ τοῦ Σκόττα ὁ Ἀττήλας μετεπέμψατο, καὶ δῆτα ἐς τὴν ἐκείνου παρεγενόμεθα, ὑπὸ βαρβαρικοῦ κύκλῳ πεφρουρημένην πλήθους. ὡς δὲ ἐσόδου ἐτύχομεν, εὕρομεν ἐπὶ ξυλίνου δίφρου τὸν Ἀττήλαν καθήμενον. στάντων δὲ ἡμῶν μικρὸν ἀπωτέρω τοῦ θρόνου, προσελθὼν ὁ Μαξιμῖνος ἠσπάσατο τὸν βάρβαρον, τά τε παρὰ βασιλέως γράμματα δοὺς ἔλεγεν ὡς σῶν εἶναι αὐτὸν καὶ τοὺς ἀμφ' αὐτὸν εὔχεται βασιλεύς. ὁ δὲ ἀπεκρίνατο ἔσεσθαι Ῥωμαίοις ἅπερ αὐτῷ βούλοιντο. καὶ ἐπὶ τὸν Βιγίλαν εὐθὺς τρέπει τὸν λόγον, θηρίον ἀναιδὲς ἀποκαλῶν, ὅτου χάριν παρ' αὐτὸν ἐλθεῖν ἠθέλησεν ἐπιστάμενος τά τε αὐτῷ καὶ Ἀνατολίῳ ἐπὶ τῇ εἰρήνῃ δόξαντα, ὡς εἴρητο μὴ πρότερον πρέσβεις παρ' αὐτὸν ἐλθεῖν πρὶν ἢ πάντες οἱ φυγάδες ἐκδοθεῖεν βαρβάροις. τοῦ δὲ φήσαντος ὡς ἐκ Σκυθικοῦ γένους παρὰ Ῥωμαίοις οὐκ εἴη φυγάς, τοὺς γὰρ ὄντας ἐκδεδόσθαι, χαλεπήνας μᾶλλον καὶ αὐτῷ πλεῖστα λοιδορησάμενος μετὰ βοῆς ἔλεγεν ὡς αὐτὸν ἀνασκολοπίσας πρὸς βορὰν οἰωνοῖς ἐδεδώκει ἄν, εἰ μή γε τῷ τῆς πρεσβείας θεσμῷ λυμαίνεσθαι ἐδόκει τῷ ταύτην αὐτῷ ἐπὶ τῇ ἀναιδείᾳ καὶ τῇ τῶν λόγων ἰταμότητι ἐπιθεῖναι δίκην· φυγάδας γὰρ τοῦ σφετέρου ἔθνους παρὰ Ῥωμαίοις εἶναι πολλούς, ὧν ἐκέλευε τὰ ὀνόματα ἐγγεγραμμένα χάρτῃ τοὺς ὑπογραφέας ἀναγιγνώσκειν. ὡς δὲ διεξῆλθον ἅπαντας, προσέταττε μηδὲν μελλήσαντα ἀπιέναι· συμπέμψειν δὲ αὐτῷ καὶ Ἦσλαν Ῥωμαίοις λέξοντα πάντας τοὺς παρὰ σφίσι καταφυγόντας βαρβάρους ἀπὸ τῶν Καρπιλεόνος χρόνων, ὃς ὡμήρευσε παρ' αὐτῷ παῖς ὢν Ἀετίου τοῦ ἐν τῇ ἑσπέρᾳ Ῥωμαίων

στρατηγοῦ, ἐκπέμψαι παρ' αὐτόν. καὶ γὰρ οὐ συγχωρήσειν τοὺς σφετέρους θεράποντας ἀντίον αὐτοῦ ἐς μάχην ἰέναι, καίπερ μὴ δυναμένους ὠφελεῖν τοὺς τὴν φυλακὴν αὐτοῖς τῆς οἰκείας ἐπιτρέψαντας γῆς. τίνα γὰρ πόλιν ἢ ποῖον φρούριον σεσῶσθαι, ἔλεγεν, ὑπ' ἐκείνων, οὗπερ αὐτὸς ποιῆσαι τὴν αἵρεσιν ὥρμησεν; ἀπαγγείλαντας δὲ τὰ αὐτῷ περὶ τῶν φυγάδων δεδογμένα αὖθις ἐπανήκειν μηνύοντας πότερον αὐτοὺς ἐκδιδόναι βούλονται ἢ τὸν ὑπὲρ αὐτῶν ἀναδέχονται πόλεμον. παρακελευσάμενος δὲ πρότερον καὶ τὸν Μαξιμῖνον ἐπιμένειν, ὡς δι' αὐτοῦ περὶ τῶν γεγραμμένων ἀποκρινούμενος βασιλεῖ, ἐπέτρεπε τὰ δῶρα. δόντες τοίνυν καὶ ἐπανιόντες ἐς τὴν σκηνήν, ἑκάστου τῶν λεχθέντων πέρι ἰδιολογούμεθα. καὶ Βιγίλα θαυμάζοντος ὅπως πάλαι αὐτῷ πρεσβευομένῳ ἤπιός τε καὶ πρᾶος νομισθεὶς τότε χαλεπῶς ἐλοιδορήσατο, ἔλεγον, μήποτέ τινες τῶν βαρβάρων τῶν ἐν Σερδικῇ ἑστιαθέντων σὺν ἡμῖν δυσμενῆ αὐτῷ τὸν Ἀττήλαν παρεσκεύασαν, ἀπαγγείλαντες ὡς θεὸν μὲν τὸν Ῥωμαίων ἐκάλει βασιλέα, ἄνθρωπον δὲ τὸν Ἀττήλαν. τοῦτον τὸν λόγον ὁ Μαξιμῖνος ὡς πιθανὸν ἐδέχετο, οἷα δὴ ἀμέτοχος ὢν τῆς συνωμοσίας, ἣν κατὰ τοῦ βαρβάρου ὁ εὐνοῦχος ἐποιήσατο. ὁ δὲ Βιγίλας ἀμφίβολός τε ἦν καὶ ἐμοὶ ἐδόκει προφάσεως ἀπορεῖν, δι' ἣν αὐτῷ ὁ Ἀττήλας ἐλοιδορήσατο· οὔτε γὰρ τὰ ἐν Σερδικῇ, ὡς ὕστερον ἡμῖν διηγεῖτο, οὔτε τὰ τῆς ἐπιβουλῆς εἰρῆσθαι τῷ Ἀττήλᾳ ἐνόμιζε, μηδενὸς μὲν ἑτέρου τῶν ἐκ τοῦ πλήθους διὰ τὸν ἐπικρατοῦντα κατὰ πάντων φόβον ἐς λόγους αὐτῷ θαρροῦντος ἐλθεῖν, Ἐδέκωνος δὲ πάντως ἐχεμυθήσοντος διά τε τοὺς ὅρκους καὶ τὴν ἀδηλίαν τοῦ πράγματος, μήποτε καὶ αὐτός, ὡς τοιούτων μέτοχος λόγων, ἐπιτήδειος

νομισθεὶς θάνατον ὑφέξει ζημίαν. ἐν τοιαύτῃ οὖν ἀμφιβολίᾳ τυγχάνουσιν ἐπιστὰς Ἐδέκων, καὶ τὸν Βιγίλαν ἔξω τῆς ἡμετέρας ἀπαγαγὼν συνόδου, ὑποκρινάμενός τε ἀληθίζεσθαι τῶν αὐτοῖς βεβουλευμένων ἕνεκα, καὶ τὸ χρυσίον κομισθῆναι παρακελευσάμενος τὸ δοθησόμενον τοῖς ἅμα αὐτῷ περὶ τὴν πρᾶξιν ἐλευσομένοις, ἀνεχώρει. πολυπραγμονοῦντα δὲ τίνες οἱ τοῦ Ἐδέκωνος πρὸς αὐτὸν λόγοι ἀπατᾶν ἔσπευδεν ἠπατημένος αὐτός, καὶ τὴν ἀληθῆ αἰτίαν ἀποκρυψάμενος ἔφασκε παρ' αὐτοῦ Ἐδέκωνος εἰρῆσθαι ὡς καὶ αὐτῷ ὁ Ἀττήλας περὶ τῶν φυγάδων χαλεπαίνοι· ἔδει γὰρ ἢ πάντας ἀπολαβεῖν ἢ πρέσβεις ἐκ τῆς μεγίστης ἐξουσίας ἀφικέσθαι πρὸς αὐτόν. ταῦτα διαλεγομένοις παραγενόμενοί τινες τῶν Ἀττήλα ἔλεγον μήτε Βιγίλαν μήτε ἡμᾶς Ῥωμαῖον αἰχμάλωτον ἢ βάρβαρον ἀνδράποδον ἢ ἵππους ἢ ἕτερόν τι πλὴν τῶν ἐς τροφὴν ὠνεῖσθαι, ἄχρις ὅτου τὰ μεταξὺ Ῥωμαίων καὶ Οὔννων ἀμφίβολα διακριθείη. σεσοφισμένως δὲ ταῦτα καὶ κατὰ τέχνην ἐγένετο τῷ βαρβάρῳ, ὥστε τὸν μὲν Βιγίλαν ῥᾳδίως ἐπὶ τῇ κατ' αὐτοῦ ἁλῶναι πράξει ἀποροῦντα αἰτίας, ἐφ' ἧπερ τὸ χρυσίον κομίζοι, ἡμᾶς δὲ προφάσει ἀποκρίσεως ἐπὶ τῇ πρεσβείᾳ δοθησομένης Ὀνηγήσιον ἀπεκδέξασθαι, τὰ δῶρα κομιούμενον ἅπερ ἡμεῖς τε διδόναι ἐβουλόμεθα καὶ βασιλεὺς ἀπεστάλκει. συνέβαινε γὰρ αὐτὸν σὺν τῷ πρεσβυτέρῳ τῶν Ἀττήλα παίδων ἐς τὸ τῶν Ἀκατιζίρων (Ἀκατίρων p. 306, 11; 310, 30) ἔθνος ἐστάλθαι, ὅ ἐστι Σκυθικὸν ἔθνος, παρέστη δὲ τῷ Ἀττήλᾳ ἐξ αἰτίας τοιᾶσδε. πολλῶν κατὰ φῦλα καὶ γένη ἀρχόντων τοῦ ἔθνους, Θεοδόσιος ὁ βασιλεὺς ἐκπέμπει δῶρα, ὥστε ὁμονοίᾳ σφετέρᾳ ἀπαγορεῦσαι μὲν τῇ τοῦ Ἀττήλα συμμαχίᾳ, τὴν δὲ πρὸς Ῥωμαίους συμμαχίαν (εἰρήνην Hoesch.)

ἀσπάζεσθαι. ὁ δὲ τὰ δῶρα ἀποκομίζων οὐ κατὰ τάξιν ἑκάστῳ τῶν βασιλέων τοῦ ἔθνους δίδωσιν, ὥστε τὸν Κουρίδαχον πρεσβύτερον ὄντα τῇ ἀρχῇ, τὰ δῶρα δεξάμενον δεύτερον, οἷα δὴ περιοφθέντα καὶ τῶν σφετέρων στερηθέντα γερῶν, ἐπικαλέσασθαι τὸν Ἀττήλαν κατὰ τῶν συμβασιλευόντων, τὸν δὲ μὴ μελλήσαντα πολλὴν ἐκπέμψαι δύναμιν, καὶ τοὺς μὲν ἀνελόντα, τοὺς δὲ παραστησάμενον καλεῖν τὸν Κουρίδαχον τῶν νικητηρίων μεθέξοντα. τὸν δὲ ἐπιβουλὴν ὑποτοπήσαντα εἰπεῖν ὡς χαλεπὸν ἀνθρώπῳ ἐλθεῖν ἐς ὄψιν θεοῦ· εἰ γὰρ οὐδὲ τὸν τοῦ ἡλίου δίσκον ἀτενῶς ἔστιν ἰδεῖν, πῶς τὸν μέγιστον τῶν θεῶν ἀπαθῶς τις ὄψοιτο; οὕτω μὲν ὁ Κουρίδαχος ἔμεινεν ἐπὶ τοῖς σφετέροις καὶ διεφύλαξε τὴν ἀρχήν, τοῦ λοιποῦ παντὸς τοῦ Κατζίρων (l. Ἀκατίρων) ἔθνους τῷ Ἀττήλᾳ παραστάντος· οὗπερ ἔθνους βασιλέα τὸν πρεσβύτερον τῶν παίδων καταστῆσαι βουλόμενος Ὀνηγήσιον ἐπὶ ταύτην ἐκπέμπει τὴν πρᾶξιν. διὸ δὴ καὶ ἡμᾶς, ὡς εἴρηται, ἐπιμεῖναι παρακελευσάμενος, τὸν Βιγίλαν διαφῆκεν ἅμα Ἤσλᾳ προφάσει μὲν τῶν φυγάδων ἐς τὴν Ῥωμαίων διαβησόμενον, τῇ δὲ ἀληθείᾳ τῷ Ἐδέκωνι τὸ χρυσίον κομιοῦντα.

Τοῦ δὲ Βιγίλα ἐξορμήσαντος, μίαν μετὰ τὴν ἐκείνου ἀναχώρησιν ἡμέραν ἐπιμείναντες τῇ ὑστεραίᾳ ἐπὶ τὰ ἀρκτικώτερα τῆς χώρας σὺν Ἀττήλᾳ ἐπορεύθημεν. καὶ ἄχρι τινὸς τῷ βαρβάρῳ συμπροελθόντες ἑτέραν ὁδὸν ἐτράπημεν, τῶν ξεναγούντων ἡμᾶς Σκυθῶν τοῦτο ποιεῖν παρακελευσαμένων, ὡς τοῦ Ἀττήλα ἐς κώμην τινὰ παρεσομένου, ἐν ᾗ γαμεῖν θυγατέρα Ἐσκὰμ ἐβούλετο, πλείστας μὲν ἔχων γαμετάς, ἀγόμενος δὲ καὶ ταύτην κατὰ νόμον τὸν Σκυθικόν. ἐνθένδε ἐπορευόμεθα ὁδὸν ὁμαλήν, ἐν πεδίῳ κει-

μένην, ναυσιπόροις τε προσεβάλομεν ποταμοῖς, ὧν οἱ μέγιστοι μετὰ τὸν Ἴστρον ὅ τε Δρήκων λεγόμενος καὶ ὁ Τίγας καὶ ὁ Τιφήσας ἦν. καὶ τούτους μὲν ἐπεραιώθημεν τοῖς μονοξύλοις πλοίοις, οἷς οἱ προσοικοῦντες τοὺς ποταμοὺς κέχρηνται· τοὺς δὲ λοιποὺς ταῖς σχεδίαις διεπλεύσαμεν, ἃς ἐπὶ τῶν ἁμαξῶν οἱ βάρβαροι διὰ τοὺς λιμνάζοντας φέρουσι τόπους. ἐχορηγοῦντο δὲ ἡμῖν κατὰ κώμας τροφαί, ἀντὶ μὲν σίτου κέγχρος, ἀντὶ δὲ οἴνου ὁ μέδος ἐπιχωρίως καλούμενος. ἐκομίζοντο δὲ καὶ οἱ ἑπόμενοι ἡμῖν ὑπηρέται κέγχρον καὶ τὸ ἐκ κριθῶν χορηγούμενον πόμα· κάμον οἱ βάρβαροι καλοῦσιν αὐτό. μακρὰν δὲ ἀνύσαντες ὁδὸν περὶ δείλην ὀψίαν κατεσκηνώσαμεν πρὸς λίμνῃ τινί, πότιμον ὕδωρ ἐχούσῃ, ὅπερ οἱ τῆς πλησίον ὑδρεύοντο κώμης. πνεῦμα δὲ καὶ θύελλα ἐξαπίνης διαναστᾶσα μετὰ βροντῶν καὶ συχνῶν ἀστραπῶν καὶ ὄμβρου πολλοῦ οὐ μόνον ἡμῶν ἀνέτρεψε τὴν σκηνήν, ἀλλὰ καὶ τὴν κατασκευὴν σύμπασαν ἐς τὸ ὕδωρ ἐκύλισε τῆς λίμνης. ὑπὸ δὲ τῆς κρατούσης τὸν ἀέρα ταραχῆς καὶ τοῦ συμβάντος δειματωθέντες τὸ χωρίον ἀπελείπομεν καὶ ἀλλήλων ἐχωριζόμεθα, ὡς ἐν σκότῳ καὶ ὑετῷ, τραπέντες ὁδὸν ἣν αὐτῷ ῥᾳδίαν ἕκαστος ἔσεσθαι ᾤετο. ἐς δὲ τὰς καλύβας τῆς κώμης παραγενόμενοι· τὴν αὐτὴν δὲ πάντες διαφόρως ἐτράπημεν· ἐς ταὐτὸν συνῄειμεν, καὶ τῶν ἀπολειπομένων σὺν βοῇ τὴν ζήτησιν ἐποιούμεθα. ἐκπηδήσαντες δὲ οἱ Σκύθαι διὰ τὸν θόρυβον τοὺς καλάμους, οἷς πρὸς τῷ πυρὶ κέχρηνται, ἀνέκαιον, φῶς ἐργαζόμενοι, καὶ ἀνηρώτων ὅ,τι βουλόμενοι κεκράγαμεν. τῶν δὲ σὺν ἡμῖν βαρβάρων ἀποκριναμένων ὡς διὰ τὸν χειμῶνα διαταραττόμεθα, πρὸς σφᾶς τε αὐτοὺς καλοῦντες ὑπεδέχοντο καὶ ἀλέαν παρεῖχον καλάμους πλείστους ἐναύ-

οντες. τῆς δὲ ἐν τῇ κώμῃ ἀρχούσης γυναικός, μία δὲ αὕτη τῶν Βλήδα γυναικῶν ἐγεγόνει, τροφὰς ἡμῖν διαπεμψαμένης καὶ ἐπὶ συνουσίᾳ γυναῖκας εὐπρεπεῖς, Σκυθικὴ δὲ αὕτη τιμή, τὰς μὲν γυναῖκας ἐκ τῶν προκειμένων ἐδωδίμων φιλοφρονησάμενοι, τῇ πρὸς αὐτὰς ὁμιλίᾳ ἀπαγορεύσαντες, ἐγκαταμείναντες δὲ ταῖς καλύβαις ἅμα ἡμέρᾳ ἐς τὴν τῶν σκευῶν ἐτράπημεν ἀναζήτησιν, καὶ σύμπαντα εὑρηκότες, τὰ μὲν ἐν τῷ χωρίῳ, οὗπερ ἐν τῇ προτεραίᾳ καταλύσαντες ἐτύχομεν, τὰ δὲ καὶ πρὸς τῇ ὄχθῃ τῆς λίμνης, τὰ δὲ καὶ ἐν αὐτῷ τῷ ὕδατι, ἀνελάβομεν. καὶ ἐκείνην τὴν ἡμέραν ἐν τῇ κώμῃ διετρίψαμεν ἅπαντα διατερσαίνοντες· ὅ τε γὰρ χειμὼν ἐπέπαυτο καὶ λαμπρὸς ἥλιος ἦν. ἐπιμεληθέντες δὲ καὶ τῶν ἵππων καὶ τῶν λοιπῶν ὑποζυγίων παρὰ τὴν βασιλίδα ἀφικόμεθα, καὶ αὐτὴν ἀσπασάμενοι καὶ δώροις ἀμειψάμενοι, τρισί τε ἀργυραῖς φιάλαις καὶ ἐρυθροῖς δέρμασι καὶ τῷ ἐξ Ἰνδίας πεπέρει καὶ τῷ καρπῷ τῶν φοινίκων καὶ ἑτέροις τραγήμασι διὰ τὸ μὴ ἐπιχωριάζειν τοῖς βαρβάροις οὖσι τιμίοις, ὑπέξιμεν, εὐξάμενοι αὐτῇ ἀγαθὰ τῆς ξενίας πέρι. ἡμερῶν δὲ ἑπτὰ ὁδὸν ἀνύσαντες ἐν κώμῃ τινὶ ἐπεμείναμεν, τῶν ξεναγούντων παρακελευσαμένων Σκυθῶν, οἷα δὴ τοῦ Ἀττήλα ἐς αὐτὴν ἐμβαλοῦντος τὴν ὁδὸν καὶ ἡμῶν κατόπιν αὐτοῦ πορεύεσθαι ὀφειλόντων. ἔνθα δὴ ἐνετυγχάνομεν ἀνδράσι τῶν ἑσπερίων Ῥωμαίων καὶ αὐτοῖς παρὰ τὸν Ἀττήλαν πρεσβευομένοις· ὧν Ῥωμύλος ἦν, ἀνὴρ τῇ τοῦ κόμητος ἀξίᾳ τετιμημένος, καὶ Προμοῦτος τῆς Νωρικῶν ἄρχων χώρας, καὶ Ῥωμανὸς στρατιωτικοῦ τάγματος ἡγεμών. συνῆν δὲ αὐτοῖς Κωνστάντιος, ὃν ἀπεστάλκει Ἀέτιος παρὰ τὸν Ἀττήλαν ὑπογραφέως χάριν, καὶ Τατοῦλος ὁ Ὀρέστου πατὴρ τοῦ μετὰ Ἐδέ-

κωνος, οὐ τῆς πρεσβείας ἕνεκα, ἀλλὰ οἰκειότητος χάριν ἅμα σφίσιν αὐτοῖς τὴν πορείαν ποιούμενοι, Κωνστάντιος μὲν διὰ τὴν ἐν ταῖς Ἰταλίαις προϋπάρξασαν πρὸς τοὺς ἄνδρας γνῶσιν, Τατοῦλος δὲ διὰ συγγένειαν. ὁ γὰρ αὐτοῦ παῖς Ὀρέστης Ῥωμύλου θυγατέρα ἐγεγαμήκει, ἀπὸ Παταβίωνος τῆς ἐν Νωρικῷ πόλεως . . . . . ἐπρεσβεύοντο ἐκμειλιττόμενοι τὸν Ἀττήλαν, ἐκδοθῆναι αὐτῷ βουλόμενον Σιλβανόν, Ἀρμίου (ἀργυρίου Vales.) τραπέζης κατὰ τὴν Ῥώμην προεστῶτα, ὡς φιάλας χρυσᾶς παρὰ Κωνσταντίου δεξάμενον, ὃς ἐκ Γαλατῶν μὲν τῶν ἐν τῇ ἑσπέρᾳ ὡρμᾶτο, ἀπέσταλτο δὲ καὶ αὐτὸς παρὰ Ἀττήλαν τε καὶ Βλήδαν, ὥσπερ ὁ μετ' αὐτὸν Κωνστάντιος, ὑπογραφέως χάριν. κατὰ δὲ τὸν χρόνον ἐν ᾧ ὑπὸ Σκυθῶν ἐν τῇ Παιόνων ἐπολιορκεῖτο τὸ Σίρμιον, τὰς φιάλας παρὰ τοῦ τῆς πόλεως ἐπισκόπου ἐδέξατο ἐφ' ᾧ αὐτὸν λύσασθαι, εἴ γε περιόντος αὐτοῦ ἁλῶναι τὴν πόλιν συμβαίη, ἢ ἀναιρεθέντος ὠνήσασθαι τοὺς αἰχμαλώτους ἀπαγομένους τῶν ἀστῶν. ὁ δὲ Κωνστάντιος μετὰ τὸν τῆς πόλεως ἀνδραποδισμὸν ὀλιγωρήσας τῶν συνθηκῶν ἐς τὴν Ῥώμην κατὰ πρᾶξίν τινα παραγίγνεται, καὶ κομίζεται παρὰ τοῦ Σιλβανοῦ χρυσίον τὰς φιάλας δούς, ὥστε ῥητοῦ χρόνου ἐντὸς ἢ ἀποδόντα τὸ ἐκδανεισθὲν χρυσίον ἀναλαβεῖν τὰ ἐνέχυρα ἢ αὐτοῖς τὸν Σιλβανὸν ἐς ὅ,τι βούλοιτο χρήσασθαι. τοῦτον δὴ τὸν Κωνστάντιον ἐν ὑποψίᾳ προδοσίας ποιησάμενοι Ἀττήλας τε καὶ Βλήδας ἀνεσταύρωσαν· μετὰ δὲ χρόνον τῷ Ἀττήλᾳ ὡς τὰ περὶ τῶν φιαλῶν ἐμηνύθη, ἐκδοθῆναι αὐτῷ τὸν Σιλβανόν, οἷα δὴ φῶρα τῶν αὐτοῦ γενόμενον, ἐβούλετο. πρέσβεις τοίνυν παρὰ Ἀετίου καὶ τοῦ βασιλεύοντος τῶν ἑσπερίων Ῥωμαίων ἐστάλησαν ἐροῦντες ὡς χρήστης

Σιλβανὸς Κωνσταντίου γενόμενος τὰς φιάλας ἐνέχυρα καὶ οὐ φώρια λαβὼν ἔχοι, καὶ ὡς ταύτας ἀργυρίου χάριν ἱερεῦσι [καὶ] τοῖς ἐπιτυχοῦσιν ἀπέδοτο· οὐδὲ γὰρ θέμις ἀνθρώποις ἐς σφετέραν διακονίαν κεχρῆσθαι ἐκπώμασιν ἀνατεθεῖσι θεῷ. εἰ οὖν μὴ τῆς εὐλόγου προφάσεως καὶ εὐλαβείᾳ τοῦ θείου ἀποσταίη τοῦ τὰς φιάλας αἰτεῖν, ἐκπέμπειν τὸ ὑπὲρ αὐτῶν χρυσίον, τὸν Σιλβανὸν παραιτουμένους· οὐ γὰρ ἐκδώσειν ἄνθρωπον ἀδικοῦντα οὐδέν. καὶ αὕτη μὲν αἰτία τῆς τῶν ἀνδρῶν πρεσβείας, καὶ παρείποντο ὅ,τι καὶ ἀποκρινάμενος ἀποπέμψοι σφᾶς ὁ βάρβαρος. ἐπὶ τῆς αὐτῆς οὖν ὁδοῦ γενόμενοι, προπορευθῆναι αὐτὸν ἀναμείναντες σὺν τῷ παντὶ ἐπηκολουθήσαμεν πλήθει. καὶ ποταμούς τινας διαβάντες ἐν μεγίστῃ παρεγιγνόμεθα κώμῃ, ἐν ᾗ τὰ τοῦ Ἀττήλα οἰκήματα περιφανέστερα τῶν ἁπανταχοῦ εἶναι ἐλέγετο, ξύλοις τε καὶ σανίσιν εὐξέστοις ἡρμοσμένα καὶ περιβόλῳ ξυλίνῳ κυκλούμενα, οὐ πρὸς ἀσφάλειαν, ἀλλὰ πρὸς εὐπρέπειαν συλλαμβάνοντι. μετὰ δὲ τὰ τοῦ βασιλέως ἦν τὰ τοῦ Ὀνηγησίου διαπρεπῆ, καὶ περίβολον μὲν ἐκ ξύλων καὶ αὐτὰ ἔχοντα, οὐχ ὁμοίως δὲ ὥσπερ ὁ Ἀττήλα πύργοις ἐκοσμεῖτο. βαλανεῖον δὲ ἦν οὐ πόρρω τοῦ περιβόλου, ὅπερ Ὀνηγήσιος μετὰ τὸν Ἀττήλαν παρὰ Σκύθαις ἰσχύων μέγα ᾠκοδόμει, λίθους ἐκ τῆς Παιόνων διακομίσας γῆς· οὐδὲ γὰρ λίθος, οὐ δένδρον παρὰ τοῖς ἐκεῖνο τὸ μέρος οἰκοῦσι βαρβάροις ἐστίν, ἀλλὰ ἐπεσάκτῳ τῇ ὕλῃ κέχρηνται ταύτῃ. ὁ δὲ ἀρχιτέκτων τοῦ βαλανείου ἀπὸ τοῦ Σιρμίου αἰχμάλωτος ἀχθείς, μισθὸν τοῦ εὑρήματος ἐλευθερίαν λήψεσθαι προσδοκῶν, ἔλαθε μείζονι πόνῳ περιπεσὼν τῆς παρὰ Σκύθαις δουλείας· βαλανέα γὰρ αὐτὸν Ὀνηγήσιος

κατέστησε, καὶ λουομένῳ αὐτῷ τε καὶ τοῖς ἀμφ' αὐτὸν διηκονεῖτο. ἐν ταύτῃ τῇ κώμῃ ἐσιόντα τὸν Ἀττήλαν ἀπήντων κόραι στοιχηδὸν προπορευόμεναι ὑπὸ ὀθόναις λεπταῖς τε καὶ λευκαῖς, ἐπὶ πολὺ ἐς μῆκος παρατεινούσαις, ὥστε ὑπὸ μιᾷ ἑκάστῃ ὀθόνῃ ἀνεχομένῃ ταῖς χερσὶ τῶν παρ' ἑκάτερα γυναικῶν κόρας ἑπτὰ ἢ καὶ πλείους βαδιζούσας, ἦσαν δὲ πολλαὶ τοιαῦται τῶν γυναικῶν ὑπὸ ταῖς ὀθόναις τάξεις, ᾄδειν ᾄσματα Σκυθικά. πλησίον δὲ τῶν Ὀνηγησίου οἰκημάτων γενόμενον, δι' αὐτῶν γὰρ ἡ ἐπὶ τὰ βασίλεια ἦγεν ὁδός, ὑπεξελθοῦσα ἡ τοῦ Ὀνηγησίου γαμετὴ μετὰ πλήθους θεραπόντων, τῶν μὲν ὄψα, τῶν δὲ καὶ οἶνον φερόντων, μεγίστη δὲ αὕτη παρὰ Σκύθαις ἐστὶ τιμή, ἠσπάζετό τε καὶ ἠξίου μεταλαβεῖν ὧν αὐτῷ φιλοφρονουμένη ἐκόμισεν. ὃς δὲ ἐπιτηδείου ἀνδρὸς χαριζόμενος γαμετῇ ἤσθιεν ἐπὶ τοῦ ἵππου ἥμενος, τῶν παρεπομένων τὸν πίνακα· ἀργυροῦς δὲ ἦν οὗτος· ἐς ὕψος ἀράντων βαρβάρων. ἀπογευσάμενος δὲ καὶ τῆς προσενεχθείσης αὐτῷ κύλικος ἐς τὰ βασίλεια ἐχώρει, ὄντα τῶν ἄλλων ὑπέρτερα καὶ ἐν ὑψηλῷ διακείμενα χωρίῳ. ἡμεῖς δὲ ἐν τοῖς Ὀνηγησίου, ἐκείνου παρακελευσαμένου, ἐγκατεμείναμεν· ἐπανεληλύθει γὰρ σὺν τῷ Ἀττήλα παιδί. καὶ ἠριστοποιησάμεθα, δεξιωσαμένης ἡμᾶς τῆς τε γαμετῆς καὶ τῶν κατὰ γένος αὐτῷ διαφερόντων· αὐτὸς γὰρ τῷ Ἀττήλᾳ μετὰ τὴν ἐπάνοδον τότε πρῶτον ἐς ὄψιν ἐλθών, καὶ αὐτῷ τὰ ἐπὶ τῇ πράξει, ἐφ' ἣν ἔσταλτο, ἀπαγγέλλων, καὶ τὸ πάθος τὸ τῷ Ἀττήλα παιδὶ συνενεχθέν, τὴν γὰρ δεξιὰν χεῖρα ἐξολισθήσας κατέαξεν, συνευωχεῖσθαι ἡμῖν οὐκ ἦγε σχολήν. μετὰ δὲ τὸ δεῖπνον ἀπολιπόντες τὰ τοῦ Ὀνηγησίου οἰκήματα πλησίον τῶν Ἀττήλα κατεσκηνώσαμεν, [ὥστε] ἢ παρὰ τὸν Ἀττήλαν ἀπιέ-

ναι τὸν Μαξιμῖνον ἢ γοῦν καὶ τοῖς ἄλλοις τοῖς ἀμφ' αὐτὸν ἐς λόγους ἰέναι ὀφείλοντα μὴ πολλῷ κεχωρίσθαι διαστήματι. διαγαγόντων δὲ ἡμῶν ἐκείνην τὴν νύκτα ἐν ᾧπερ κατελύσαμεν χωρίῳ, ὑποφαινούσης ἡμέρας ὁ Μαξιμῖνος στέλλει με παρὰ τὸν Ὀνηγήσιον τὰ δῶρα δώσοντα, ἅ τε αὐτὸς ἐδίδου ἅ τε βασιλεὺς ἀπεστάλκει, καὶ ὅπως γνοίη οἷ βούλεται αὐτῷ καὶ ὁπότε ἐς λόγους ἐλθεῖν. παραγενόμενος δὲ ἅμα τοῖς κομίζουσιν αὐτὰ ὑπηρέταις προσεκαρτέρουν, ἔτι τῶν θυρῶν κεκλειμένων, ἄχρις ὅτου τις ὑπεξελθὼν τὴν ἡμετέραν μηνύσειεν ἄφιξιν.

Διατρίβοντι δέ μοι καὶ περιπάτους ποιουμένῳ πρὸ τοῦ περιβόλου τῶν οἰκημάτων προσελθών τις, ὃν βάρβαρον ἐκ τῆς Σκυθικῆς ᾠήθην εἶναι στολῆς, Ἑλληνικῇ ἀσπάζεταί με φωνῇ, "χαῖρε" προσειπών, ὥστε με θαυμάζειν ὅτι γε δὴ ἑλληνίζει Σκύθης ἀνήρ. ξύγκλυδες γὰρ ὄντες πρὸς τῇ σφετέρᾳ βαρβάρῳ γλώττῃ ζηλοῦσιν ἢ τὴν Οὔννων ἢ τὴν Γότθων ἢ καὶ τὴν Αὐσονίων, ὅσοις αὐτῶν πρὸς Ῥωμαίους ἐπιμιξία· καὶ οὐ ῥᾳδίως τις σφῶν ἑλληνίζει τῇ φωνῇ, πλὴν ὧν ἀπήγαγον αἰχμαλώτων ἀπὸ τῆς Θρᾳκίας καὶ Ἰλλυρίδος παράλου. ἀλλ' ἐκεῖνοι μὲν γνώριμοι τοῖς ἐντυγχάνουσιν ἐτύγχανον ἔκ τε τῶν διερρωγότων ἐνδυμάτων καὶ τοῦ αὐχμοῦ τῆς κεφαλῆς ὡς ἐς τὴν χείρονα μεταπεσόντες τύχην· οὗτος δὲ τρυφῶντι ἐῴκει Σκύθῃ εὐείμων τε ὢν καὶ ἀποκειράμενος τὴν κεφαλὴν περιτρόχαλα. ἀντασπασάμενος δὲ ἀνηρώτων τίς ὢν καὶ πόθεν ἐς τὴν βάρβαρον παρῆλθε γῆν καὶ βίον ἀναιρεῖται Σκυθικόν. ὁ δὲ ἀπεκρίνατο ὅ,τι βουλόμενος ταῦτα γνῶναι ἐσπούδακα. ἐγὼ δὲ ἔφην αἰτίαν πολυπραγμοσύνης εἶναί μοι τὴν Ἑλλήνων φωνήν. τότε δὴ γελάσας ἔφη Γραικὸς μὲν εἶναι τὸ γένος, κατ'

ἐμπορίαν δὲ ἐς τὸ Βιμινάκιον ἐληλυθέναι τὴν πρὸς τῷ Ἴστρῳ ποταμῷ Μυσῶν πόλιν. πλεῖστον δὲ ἐν αὐτῇ διατρῖψαι χρόνον καὶ γυναῖκα γήμασθαι ζάπλουτον. τὴν δὲ ἐντεῦθεν εὐπραγίαν ἐκδύσασθαι ὑπὸ τοῖς βαρβάροις τῆς πόλεως γενομένης, καὶ διὰ τὸν ὑπάρξαντα πλοῦτον αὐτῷ Ὀνηγησίῳ ἐν τῇ τῶν λαφύρων προκριθῆναι διανομῇ· τοὺς γὰρ ἁλόντας ἀπὸ τῶν εὐπόρων μετὰ τὸν Ἀττήλαν ἐκκρίτους εἶχον οἱ τῶν Σκυθῶν λογάδες διὰ τὸ ἐπὶ πλείστοις διατίθεσθαι. ἀριστεύσαντα δὲ ἐν ταῖς ὕστερον πρὸς Ῥωμαίους μάχαις καὶ τὸ τῶν Ἀκατίρων ἔθνος, δόντα τῷ βαρβάρῳ δεσπότῃ κατὰ τὸν παρὰ Σκύθαις νόμον τὰ κατὰ τὸν πόλεμον αὐτῷ κτηθέντα, ἐλευθερίας τυχεῖν. γυναῖκα δὲ γήμασθαι βάρβαρον, εἶναί τε αὐτῷ παῖδας· καὶ Ὀνηγησίῳ τραπέζης κοινωνοῦντα ἀμείνονα τοῦ προτέρου τὸν παρόντα βίον ἡγεῖσθαι. τοὺς μὲν γὰρ παρὰ Σκύθαις μετὰ τὸν πόλεμον ἐν ἀπραγμοσύνῃ διατελεῖν, ἑκάστου τῶν παρόντων ἀπολαύοντος καὶ οὐδαμῶς ἢ ὀλίγα ἐνοχλοῦντος ἢ ἐνοχλουμένου, τοὺς μέντοι παρὰ Ῥωμαίοις ἐν μὲν πολέμῳ ῥᾳδίως ἀναλίσκεσθαι, ἐς ἑτέρους τὰς τῆς σωτηρίας ἐλπίδας ἔχοντας, ὡς πάντων διὰ τοὺς τυράννους μὴ χρωμένων ὅπλοις. καὶ τῶν χρωμένων δὲ σφαλερωτέρα ἡ τῶν στρατηγῶν κακία, μηδὲ ὑφισταμένων τὸν πόλεμον. ἐν δὲ εἰρήνῃ ὀδυνηρότερα ὑπάρχειν τὰ συμβαίνοντα τῶν ἐν τοῖς πολέμοις κακῶν διά τε τὴν βαρυτάτην ἔσπραξιν τῶν δασμῶν καὶ τὰς ἐκ τῶν πονηρῶν βλάβας, τῶν νόμων οὐ κατὰ πάντων κειμένων, ἀλλὰ εἰ μὲν ὁ παραβαίνων τὸν θεσμὸν τῶν πλουτούντων εἴη, ἔστι τῆς ἀδικίας αὐτὸν μὴ διδόναι δίκας· εἰ δὲ πένης εἴη, οὐκ ἐπιστάμενος χρῆσθαι πράγμασιν, ὑπομένει τὴν ἀπὸ τοῦ νόμου ζημίαν, εἴπερ μὴ πρὸ τῆς κρίσεως ἀπολείποι

τὸν βίον, μακροῦ ἐπὶ ταῖς δίκαις παρατεινομένου χρόνου καὶ πλείστων ἐκδαπανωμένων χρημάτων. ὅπερ τῶν πάντων ἂν ἀνιαρότατον εἴη, ἐπὶ μισθῷ τῶν ἀπὸ τοῦ νόμου τυγχάνειν. οὐδὲ γὰρ τῷ ἀδικουμένῳ τις δικαστήριον παραδώσει, εἰ μή τι ἀργύριον τῷ τε δικαστῇ καὶ τοῖς ἐκείνῳ διακονουμένοις κατάθοιτο. τοιαῦτα καὶ πλεῖστα ἕτερα προτιθέντος, ὑπολαβὼν ἔφασκον πράως αὐτὸν καὶ τὰ ἐξ ἐμοῦ ἀκούειν· καὶ δὴ ἔλεγον ὡς οἱ τῆς Ῥωμαίων πολιτείας εὑρεταὶ σοφοί τε καὶ ἀγαθοὶ ἄνδρες, ὥστε τὰ πράγματα [μὴ] τηνάλλως φέρεσθαι, τοὺς μὲν τῶν νόμων εἶναι φύλακας, τοὺς δὲ ποιεῖσθαι τῶν ὅπλων ἐπιμέλειαν ἔταξαν καὶ τὰς πολεμικὰς μελέτας ἀσκεῖν, πρὸς μηδὲν ἕτερον ἐπαγομένους ἢ ὥστε εἶναι πρὸς μάχην ἑτοίμους καὶ ὡς ἐπὶ τὴν συνήθη γυμνασίαν θαρροῦντας ἐπὶ τὸν πόλεμον ἰέναι, προαναλωθέντος αὐτοῖς διὰ τῆς μελέτης τοῦ φόβου· τοὺς δὲ προσκειμένους τῇ γεωργίᾳ καὶ τῇ ἐπιμελείᾳ τῆς γῆς ἑαυτούς τε καὶ τοὺς ὑπὲρ σφῶν αὐτῶν ἀγωνιζομένους τρέφειν ἔταξαν, τὸ στρατιωτικὸν ἐσπραττομένους σιτηρέσιον· ἄλλους δὲ τῶν ἀδικουμένων προνοεῖν, καὶ τοὺς μὲν τοῦ δικαίου προΐστασθαι ὑπὲρ τῶν δι' ἀσθένειαν φύσεως μὴ οἵων τε ὄντων τὰ σφέτερα προΐσχεσθαι δίκαια, τοὺς δὲ δικάζοντας φυλάττειν ἅπερ ὁ νόμος βούλεται· μὴ ἐστερῆσθαι δὲ φροντίδος μηδὲ τῶν παραστάντων τοῖς δικασταῖς, ἀλλὰ κἀκείνων εἶναι τοὺς πρόνοιαν ποιησομένους, ὅπως τοῦ τε δικαίου τεύξοιτο ὁ τῆς τῶν δικαστῶν τυχὼν κρίσεως καὶ ὁ ἀδικεῖν νομισθεὶς μὴ ἐσπραχθείη πλέον ἤπερ ἡ δικαστικὴ βούλεται ψῆφος. εἰ γὰρ μὴ ὑπῆρχον οἱ ταῦτα ἐν φροντίδι ποιούμενοι, ἐκ τῆς αὐτῆς αἰτίας ἑτέρας δίκης ἐγίγνετο ἂν πρόφασις, ἢ τοῦ νενικηκότος χαλεπώτερον ἐπεξιόντος ἢ

τοῦ τὸ χεῖρον ἀπενεγκαμένου τῇ ἀδίκῳ ἐπιμένοντος γνώμῃ. εἶναι δὲ καὶ τούτοις τεταγμένον ἀργύριον παρὰ τῶν τὰς δίκας ἀγωνιζομένων, ὡς παρὰ τῶν γεωργῶν τοῖς ὁπλίταις. ἢ οὐχ ὅσιον τὸν ἐπικουροῦντα τρέφειν καὶ τῆς εὐνοίας ἀμείβεσθαι; ὥσπερ ἀγαθὸν ἱππεῖ μὲν ἡ τοῦ ἵππου κομιδή, ἀγαθὸν δὲ βουκόλῳ ἡ τῶν βοῶν καὶ θηρατῇ ἡ τῶν κυνῶν ἐπιμέλεια, καὶ τῶν ἄλλων ὧν πρὸς σφετέραν φυλακήν τε καὶ ὠφέλειαν ἔχουσιν ἄνθρωποι. ὁπότε τὴν δαπάνην τὴν ἐπὶ τῇ δίκῃ γενομένην ἁλόντες ἐκτίνουσιν, ἀνατιθέντων ἀδικίᾳ σφετέρᾳ καὶ οὐχ ἑτέρῳ τὴν βλάβην. τὸν δὲ ἐπὶ ταῖς δίκαις μακρότερον, ἂν οὕτω τύχῃ, χρόνον, τῆς τοῦ δικαίου προνοίας γίγνεσθαι χάριν, ὥστε μὴ σχεδιάζοντας τοὺς δικαστὰς τῆς ἀκριβείας διαμαρτεῖν, λογιζομένους ἄμεινον εἶναι ὀψὲ πέρας ἐπιτιθέναι δίκῃ ἢ ἐσπουδακότας μὴ μόνον ἄνθρωπον ἀδικεῖν, ἀλλὰ ἐς τὸν τοῦ δικαίου εὑρετὴν θεὸν πλημμελεῖν. κεῖσθαι δὲ τοὺς νόμους κατὰ πάντων, ὥστε αὐτοῖς καὶ βασιλέα πείθεσθαι, καὶ οὐχ, ὃ τῇ αὐτοῦ ἔνεστι κατηγορίᾳ, ὅτι γε δὴ οἱ εὔποροι τοὺς πένητας ἀκινδύνως βιάζοιντο, εἰ μή γε διαλαθών τις φύγοι τὴν δίκην. ὅπερ οὐκ ἐπὶ τῶν πλουσίων, ἀλλὰ καὶ πενήτων εὕροι τις ἄν· πλημμελοῦντες γὰρ οὐδὲ αὐτοὶ ἂν ἀπορίᾳ ἐλέγχων δοῖεν δίκας. καὶ τοῦτο παρὰ πᾶσι, καὶ οὐ παρὰ Ῥωμαίοις μόνον συμβαῖνόν ἐστι. χάριν δὲ ὁμολογεῖν τῇ τύχῃ ἐπὶ τῇ αὐτῷ ὑπαρξάσῃ ἐλευθερίᾳ, καὶ μὴ τῷ ἐπὶ πόλεμον ἐξάγοντι δεσπότῃ, ὥστε αὐτὸν δι᾽ ἀπειρίαν ἢ ὑπὸ τῶν πολεμίων ἀναιρεθῆναι ἢ φεύγοντα ὑπὸ τοῦ κτησαμένου κολάζεσθαι. ἄμεινον δὲ καὶ τοῖς οἰκέταις διατελοῦσι Ῥωμαῖοι χρώμενοι. πατέρων γὰρ ἢ διδασκάλων ἐς αὐτοὺς ἔργα ἐπιδεικνύντες, ἐφ᾽ ᾧ τῶν φαύλων ἀπεχομένους με-

τιέναι ἅπερ αὐτοῖς καλὰ νενόμισται, σωφρονίζουσι σφᾶς ἐπὶ τοῖς ἁμαρτήμασιν, ὥσπερ τοὺς οἰκείους παῖδας· οὐδὲ γὰρ οὐδὲ αὐτοῖς θάνατον, ὥσπερ Σκύθαις, ἐπάγειν θέμις. ἐλευθερίας δὲ τρόποι παρ' αὐτοῖς πλεῖστοι, ἣν οὐ μόνον περιόντες, ἀλλὰ καὶ τελευτῶντες χαρίζονται, διατάττοντες κατὰ τῆς περιουσίας ὃν βούλονται τρόπον. καὶ νόμος ἐστὶν ὅπερ ἕκαστος τελευτῶν περὶ τῶν προσηκόντων βουλεύσοιτο." καὶ ὃς δακρύσας ἔφη ὡς οἱ μὲν νόμοι καλοὶ καὶ ἡ πολιτεία Ῥωμαίων ἀγαθή, οἱ δ' ἄρχοντες οὐχ ὅμοια τοῖς πάλαι φρονοῦντες αὐτὴν διαλυμαίνονται.

Ταῦτα διαλεγομένων ἡμῶν, προσελθών τις τῶν ἔνδοθεν ἀνοίγει τὰς θύρας τοῦ περιβόλου. ἐγὼ δὲ προσδραμὼν ἐπυθόμην ὅ,τι πράττων Ὀνηγήσιος τυγχάνοι· ἀπαγγεῖλαι γὰρ αὐτῷ με βούλεσθαί τι παρὰ τοῦ παρὰ Ῥωμαίων ἥκοντος πρεσβευτοῦ. ὃς δὲ ἀπεκρίνατο αὐτῷ μοι ἐντεύξεσθαι μικρὸν ἀναμείναντι· μέλλειν γὰρ αὐτὸν ὑπεξιέναι. καὶ δὴ οὐ πολλοῦ διαγενομένου χρόνου, ὡς προϊόντα εἶδον, προσελθὼν ἔλεγον ὡς ὁ Ῥωμαίων αὐτὸν ἀσπάζεται πρεσβευτής, καὶ δῶρα ἐξ αὐτοῦ ἥκω φέρων σὺν καὶ τῷ παρὰ βασιλέως πεμφθέντι χρυσίῳ· ἐσπουδακότι δὲ ἐς λόγους ἐλθεῖν οἷ καὶ πότε βούλεται διαλέγεσθαι. καὶ ὃς τό τε χρυσίον τά τε δῶρα ἐκέλευσε τοὺς προσήκοντας δέξασθαι, ἐμὲ δὲ ἀπαγγέλλειν Μαξιμίνῳ ὡς ἥξοι αὐτίκα παρ' αὐτόν. ἐμήνυον τοίνυν ἐπανελθὼν τὸν Ὀνηγήσιον παραγίγνεσθαι· καὶ εὐθὺς ἧκεν ἐς τὴν σκηνήν. προσειπὼν δὲ τὸν Μαξιμῖνον ἔφασκε χάριν ὁμολογεῖν ὑπὲρ τῶν δώρων αὐτῷ τε καὶ βασιλεῖ, καὶ ἀνηρώτα ὅ,τι λέγειν βουλόμενος αὐτὸν μετεπέμψατο. ὁ δὲ ἔφασκεν ἥκειν καιρὸν ὥστε Ὀνηγήσιον μεῖζον ἐν ἀνθρώποις ἕξειν κλέος, εἴπερ παρὰ βασιλέα ἐλθὼν

διευκρινήσει τὰ ἀμφίβολα τῇ σφετέρᾳ συνέσει καὶ ὁμόνοιαν Ῥωμαίοις καὶ Οὔννοις καταστήσεται. γενήσεται γὰρ ἐνθένδε οὐ μόνον τοῖς ἔθνεσιν ἀμφοτέροις συμφέρον, ἀλλὰ καὶ τῷ σφετέρῳ οἴκῳ ἀγαθὰ παρέξει πολλά, ἐπιτήδειος ἐς ἀεὶ αὐτός τε καὶ οἱ αὐτοῦ παῖδες βασιλεῖ τε καὶ τῷ ἐκείνου ἐσόμενοι γένει. ὁ δὲ Ὀνηγήσιος ἔφη "καὶ τί ποιοῦντες κεχαρισμένως βασιλεῖ ἢ ὅπως παρ᾽ αὐτοῦ τὰ ἀμφίβολα λυθείη;" ἀποκριναμένου δὲ ὡς διαβὰς μὲν ἐς τὴν Ῥωμαίων βασιλεῖ τὴν χάριν καταθήσει, διευκρινήσει δὲ τὰ ἀμφίβολα τὰς αἰτίας διερευνῶν καὶ ταύτας κατὰ τὸν τῆς εἰρήνης λύων θεσμόν, ἔφασκεν ἐκεῖνα ἐρεῖν βασιλεῖ τε καὶ τοῖς ἀμφ᾽ αὐτὸν ἅπερ Ἀττίλας βούλεται. ἢ οἴεσθαι ἔφη Ῥωμαίους τοσοῦτον ἐκλιπαρήσειν αὐτὸν ὥστε καταπροδοῦναι δεσπότην καὶ ἀνατροφῆς τῆς παρὰ Σκύθαις καὶ γαμετῶν καὶ παίδων κατολιγωρήσειν, μὴ μείζονα δὲ ἡγεῖσθαι τὴν παρὰ Ἀττίλᾳ δουλείαν τοῦ παρὰ Ῥωμαίοις πλούτου; συνοίσειν δὲ ἐπιμένοντα τῇ οἰκείᾳ τὸν τοῦ δεσπότου καταπραΰνειν θυμόν, ἐφ᾽ οἷς αὐτὸν ὀργίζεσθαι κατὰ Ῥωμαίων συμβαίνει, ἢ παρὰ σφᾶς ἐλθόντα αἰτίᾳ ὑπάγεσθαι, ἕτερα ἤπερ ἐκείνῳ δοκεῖ διαπραξάμενον. ταῦτα εἰρηκὼς κἀμὲ ποιεῖσθαι τὴν πρὸς αὐτὸν ἡγησάμενος ἔντευξιν περὶ ὧν πυνθάνεσθαι αὐτοῦ βουλόμεθα· οὐ γὰρ τῷ Μαξιμίνῳ, ὡς ἐν ἀξίᾳ τελοῦντι, συνεχὴς πρόσοδος ἦν εὐπρεπής· ἀνεχώρει. ἐγὼ δὲ τῇ ὑστεραίᾳ ἐς τὸν Ἀττίλα περίβολον ἀφικνοῦμαι, δῶρα τῇ αὐτοῦ κομίζων γαμετῇ, Κρέκα δὲ ὄνομα αὐτῇ, ἐξ ἧς αὐτῷ παῖδες ἐγεγόνεσαν τρεῖς, ὧν ὁ πρεσβύτερος ἦρχε τῶν Ἀκατίρων καὶ τῶν λοιπῶν ἐθνῶν τῶν νεμομένων τὴν πρὸς τὸν Πόντον Σκυθικήν. ἔνδον δὲ τοῦ περιβόλου πλεῖστα ἐτύγχανεν οἰκήματα, τὰ μὲν ἐκ σανίδων

ἐγγλύφων καὶ ἡρμοσμένων ἐς εὐπρέπειαν, τὰ δὲ ἐκ λόγων (λίθων Hoesch., δοκῶν Cantocl.) κεκαθαρμένων καὶ πρὸς εὐθύτητα ἀπεξεσμένων, ἐμβεβλημένων δὲ ξύλοις [κύκλους] ἀποτελοῦσιν· οἱ δὲ κύκλοι ἐκ τοῦ ἐδάφους ἀρχόμενοι ἐς ὕψος ἀνέβαινον μετρίως. ἐνταῦθα τῆς Ἀττίλα ἐνδιαιτωμένης γαμετῆς, διὰ τῶν πρὸς τῇ θύρᾳ βαρβάρων ἔτυχον ἐσόδου, καὶ αὐτὴν ἐπὶ στρώματος μαλακοῦ κειμένην κατέλαβον, τοῖς ἐκ τῆς ἐρέας πιλωτοῖς τοῦ ἐδάφους σκεπομένου, ὥστε ἐπ' αὐτῶν βαδίζειν. περιεῖπε δὲ αὐτὴν θεραπόντων πλῆθος κύκλῳ· καὶ θεράπαιναι ἐπὶ τοῦ ἐδάφους ἀντικρὺ αὐτῆς καθήμεναι ὀθόνας χρώμασι διεποίκιλλον, ἐπιβληθησομένας πρὸς κόσμον ἐσθημάτων βαρβαρικῶν. προσελθὼν τοίνυν καὶ τὰ δῶρα μετὰ τὸν ἀσπασμὸν δοὺς ὑπεξῄειν, καὶ ἐπὶ τὰ ἕτερα ἐβάδιζον οἰκήματα, ἐν οἷς διατρίβειν τὸν Ἀττίλαν ἐτύγχανεν, ἀπεκδεχόμενος ὁπότε ἐπεξέλθοι Ὀνηγήσιος· ἤδη γὰρ ἀπὸ τῶν αὐτοῦ οἰκημάτων ἐξεληλύθει καὶ ἔνδον ἦν. μεταξὺ δὲ τοῦ παντὸς ἱστάμενος πλήθους· γνώριμός τε γὰρ ὢν τοῖς Ἀττίλα φρουροῖς καὶ τοῖς παρεπομένοις αὐτῷ βαρβάροις ὑπ' οὐδενὸς διεκωλυόμην· εἶδον πλῆθος πορευόμενον καὶ θροῦν καὶ θόρυβον περὶ τὸν τόπον γιγνόμενον, ὡς τοῦ Ἀττίλα ὑπεξιόντος. προῄει δὲ τοῦ οἰκήματος βαδίζων σοβαρῶς, τῇδε κἀκεῖ περιβλεπόμενος. ὡς δὲ ὑπεξελθὼν σὺν τῷ Ὀνηγησίῳ ἔστη πρὸ τοῦ οἰκήματος· πολλοὶ δὲ τῶν ἀμφισβητήσεις πρὸς ἀλλήλους ἐχόντων προσῄεσαν καὶ τὴν αὐτοῦ κρίσιν ἐδέχοντο· εἶτα ἐπανῄει ὡς τὸ οἴκημα, καὶ πρέσβεις παρ' αὐτὸν ἥκοντας βαρβάρους ἐδέχετο.

Ἐμοὶ δὲ ἀπεκδεχομένῳ τὸν Ὀνηγήσιον Ῥωμύλος καὶ Προμοῦτος καὶ Ῥωμανὸς οἱ ἐξ Ἰταλίας ἐλθόντες παρὰ τὸν Ἀττίλαν πρέσβεις τῶν φιαλῶν ἕνεκα τῶν

χρυσῶν, συμπαρόντος αὐτοῖς καὶ Ῥουστικίου τοῦ κατὰ Κωνστάντιον, καὶ Κωνσταντιόλου, ἀνδρὸς ἐκ τῆς Παιόνων χώρας τῆς ὑπὸ Ἀττίλᾳ ταττομένης, ἐς λόγους ἦλθον καὶ ἀνηρώτων πότερον διηφείθημεν ἢ ἐπιμένειν ἀναγκαζόμεθα. καὶ ἐμοῦ φήσαντος ὡς τούτου χάριν πευσόμενος τοῦ Ὀνηγησίου τοῖς περιβόλοις προσκαρτερῶ, καὶ ἀντερωτήσαντος εἰ αὐτοῖς ὁ Ἀττίλας ἥμερόν τι καὶ πρᾷον περὶ πρεσβείας ἀπεκρίνατο, ἔλεγον μηδαμῶς μετατρέπεσθαι τῆς γνώμης, ἀλλὰ πόλεμον καταγγέλλειν, εἰ μή γε αὐτῷ Σιλβανὸς ἢ τὰ ἐκπώματα πεμφθείη. ἀποθαυμαζόντων δὲ ἡμῶν τῆς ἀπονοίας τὸν βάρβαρον, ὑπολαβὼν ὁ Ῥωμύλος, πρεσβευτὴς ἀνὴρ καὶ πολλῶν πραγμάτων ἔμπειρος, ἔλεγε τὴν αὐτοῦ μεγίστην τύχην καὶ τὴν ἐκ τῆς τύχης δύναμιν ἐξαίρειν αὐτόν, ὥστε μὴ ἀνέχεσθαι δικαίων λόγων, εἰ μὴ πρὸς αὐτοῦ νομίσῃ ὑπάρχειν αὐτούς. οὐδενὶ γὰρ τῶν πώποτε τῆς Σκυθικῆς ἢ καὶ ἑτέρας ἀρξάντων γῆς τοσαῦτα ἐν ὀλίγῳ καταπεπρᾶχθαι, ὥστε καὶ τῶν ἐν τῷ Ὠκεανῷ νήσων ἄρχειν καὶ πρὸς πάσῃ τῇ Σκυθικῇ καὶ Ῥωμαίους ἔχειν ἐς φόρου ἀπαγωγήν. ἐφιέμενον δὲ πρὸς τοῖς παροῦσι πλειόνων καὶ ἐπὶ μεῖζον αὔξοντα τὴν ἀρχὴν καὶ ἐς Πέρσας ἀπιέναι βούλεσθαι. τῶν δὲ ἐν ἡμῖν τινος πυθομένου ποίαν ὁδὸν τραπεὶς ἐς Πέρσας ἐλθεῖν δυνήσεται, ἔλεγεν ὁ Ῥωμύλος μὴ πολλῷ διαστήματι τὴν Μήδων ἀφεστάναι τῆς Σκυθικῆς, οὐδὲ Οὔννους ἀπείρους τῆς ὁδοῦ ταύτης εἶναι, ἀλλὰ πάλαι ἐς αὐτὴν ἐμβεβληκέναι, λιμοῦ τε τὴν χώραν κρατήσαντος καὶ Ῥωμαίων διὰ τὸν τότε συνιστάμενον πόλεμον μὴ συμβαλλόντων. παρεληλυθέναι δὲ ἐς τὴν Μήδων τόν τε Βασὶχ καὶ Κουρσὶχ τοὺς ὕστερον ἐς τὴν Ῥώμην ἐληλυθότας ἐς ὁμαιχμίαν, ἄνδρας τῶν βασιλείων Σκυ-

θῶν καὶ πολλοῦ πλήθους ἄρχοντας. καὶ τοὺς διαβεβηκότας λέγειν ὡς ἔρημον ἐπελθόντες χώραν καὶ λίμνην τινὰ περαιωθέντες, ἣν ὁ Ῥωμύλος τὴν Μαιῶτιν εἶναι ᾤετο, πεντεκαίδεκα διαγενομένων ἡμερῶν ὄρη τινὰ ὑπερβάντες ἐς τὴν Μηδικὴν ἐσέβαλον. ληιζομένοις δὲ καὶ τὴν γῆν κατατρέχουσι πλῆθος Περσικὸν ἐπελθὸν τὸν σφῶν ὑπερκείμενον ἀέρα πλῆσαι βελῶν, ὥστε σφᾶς δέει τοῦ κατασχόντος κινδύνου ἀναχωρῆσαι ἐς τοὐπίσω καὶ τὰ ὄρη ὑπεξελθεῖν, ὀλίγην ἄγοντας λείαν· ἡ γὰρ πλείστη ὑπὸ τῶν Μήδων ἀφῄρητο. εὐλαβουμένους δὲ τὴν τῶν πολεμίων δίωξιν ἑτέραν τραπῆναι ὁδόν, καὶ μετὰ τὴν ἐκ τῆς ὑφάλου πέτρας ἀναφερομένην φλόγα ἐκεῖθεν πορευθέντας . . . . ἡμερῶν ὁδὸν ἐς τὰ οἰκεῖα ἀφικέσθαι, καὶ γνῶναι οὐ πολλῷ διαστήματι τὴν Μήδων ἀφεστάναι τῆς Σκυθικῆς. τὸν οὖν Ἀττίλαν ἐπ' αὐτὴν ἰέναι βουλόμενον οὐ πονήσειν πολλὰ οὐδὲ μακρὰν ἀνύσειν ὁδόν, ὥστε καὶ Μήδους καὶ Πάρθους καὶ Πέρσας παραστήσεσθαι καὶ ἀναγκάσειν ἐλθεῖν ἐς φόρου ἀπαγωγήν· παρεῖναι γὰρ αὐτῷ μάχιμον δύναμιν, ἣν οὐδὲν ἔθνος ὑποστήσεται. ἡμῶν δὲ κατὰ Περσῶν ἐλθεῖν αὐτὸν ἐπευξαμένων καὶ ἐπ' ἐκείνους τρέψαι τὸν πόλεμον, ὁ Κωνσταντίολος ἔλεγε δεδιέναι μήποτε καὶ Πέρσας ῥᾳδίως παραστησάμενος ἀντὶ φίλου δεσπότης ἐπανήξει. νῦν μὲν γὰρ τὸ χρυσίον κομίζεσθαι παρ' αὐτῶν τῆς ἀξίας ἕνεκα· εἰ δὲ καὶ Πάρθους καὶ Μήδους καὶ Πέρσας παραστήσοιτο, οὐκέτι Ῥωμαίων ἀνέξεσθαι τὴν αὐτοῦ νοσφιζομένων ἀρχήν, ἀλλὰ θεράποντας περιφανῶς ἡγησάμενον χαλεπώτερα ἐπιτάξειν καὶ οὐκ ἀνεκτὰ ἐκείνοις ἐπιτάγματα. ἦν δὲ ἡ ἀξία, ἧς ὁ Κωνσταντίολος ἐπεμνήσθη, στρατηγοῦ Ῥωμαίων, ἧς χάριν ὁ Ἀττίλας παρὰ βασιλέως ἐδέ-

δεκτο τὸ τοῦ φόρου ἐπικαλύπτοντος ὄνομα, ὥστε αὐτῷ σιτηρεσίου προφάσει τοῦ τοῖς στρατηγοῖς χορηγουμένου τὰς συντάξεις ἐκπέμπεσθαι. ἔλεγεν οὖν μετὰ Μήδους καὶ Πάρθους καὶ Πέρσας τοῦτο τὸ ὄνομα, ὅπερ αὐτὸν βούλονται Ῥωμαῖοι καλεῖν, καὶ τὴν ἀξίαν, ᾗ αὐτὸν τετιμηκέναι νομίζουσιν, ἀποσεισάμενον ἀναγκάσειν σφᾶς ἀντὶ στρατηγοῦ βασιλέα προσαγορεύειν. ἤδη γὰρ καὶ χαλεπαίνοντα εἰπεῖν ὡς ἐκείνῳ μὲν οἱ αὐτοῦ θεράποντές εἰσι στρατηγοί, αὐτῷ δὲ οἱ τοῖς βασιλεύουσι Ῥωμαίων ὁμότιμοι. ἔσεσθαι δὲ οὐκ ἐς μακρὰν τῆς παρούσης αὐτῷ δυνάμεως αὔξησιν· σημαίνειν καὶ τοῦτο τὸν θεὸν τὸ τοῦ Ἄρεος ἀναφήναντα ξίφος, ὅπερ ὂν ἱερὸν καὶ παρὰ τῶν Σκυθικῶν βασιλέων τιμώμενον, οἷα δὴ τῷ ἐφόρῳ τῶν πολέμων ἀνακείμενον, ἐν τοῖς πάλαι ἀφανισθῆναι χρόνοις, εἶτα διὰ βοὸς εὑρεθῆναι (conf. fr. 10).

Καὶ ἑκάστου λέγειν τι περὶ τῶν καθεστώτων βουλομένου, Ὀνηγησίου ὑπεξελθόντος, παρ᾽ αὐτὸν ἤλθομεν, καὶ ἐπειρώμεθα περὶ τῶν ἐσπουδασμένων μανθάνειν. ὁ δέ τισι πρότερον βαρβάροις διαλεχθεὶς πυθέσθαι με παρὰ Μαξιμίνου ἐπέτρεπε τίνα Ῥωμαῖοι ἄνδρα τῶν ὑπατικῶν παρὰ τὸν Ἀττίλαν πρεσβευόμενον στέλλουσιν. ὡς δὲ παρελθὼν ἐς τὴν σκηνὴν ἔφραζον ἅπερ εἴρητό μοι, καὶ ὅ,τι δεῖ λέγειν ὧν χάριν ὁ βάρβαρος ἡμῶν ἐπύθετο ἅμα τῷ Μαξιμίνῳ βουλευσάμενος ἐπανῆλθον ὡς τὸν Ὀνηγήσιον, λέγων ὡς ἐθέλουσι μὲν Ῥωμαῖοι αὐτὸν παρὰ σφᾶς ἐλθόντα τῶν ἀμφιβόλων ἕνεκα διαλέγεσθαι, εἰ δὲ τούτου διαμάρτοιεν, ἐκπέμψειν βασιλέα ὃν βούλεται πρεσβευσόμενον. καὶ εὐθὺς μετιέναι με τὸν Μαξιμῖνον παρεκελεύσατο, καὶ ἥκοντα αὐτὸν ἦγε παρὰ τὸν Ἀττίλαν. καὶ μικρὸν ὕστερον ὑπεξελθὼν ὁ Μαξιμῖνος

ἔλεγεν ἐθέλειν τὸν βάρβαρον Νόμον ἢ Ἀνατόλιον ἢ Σενάτωρα πρεσβεύεσθαι· μὴ γὰρ ἂν ἄλλον παρὰ τοὺς εἰρημένους δέξασθαι. καὶ ὡς αὐτοῦ ἀποκριναμένου μὴ χρῆναι ἐπὶ τὴν πρεσβείαν τοὺς ἄνδρας καλοῦντα ὑπόπτους καθιστᾶν βασιλεῖ, εἰρηκέναι τὸν Ἀττίλαν, εἰ μὴ ἕλοιντο ποιεῖν ἃ βούλεται, ὅπλοις τὰ ἀμφίβολα διακριθήσεσθαι. ἐπανελθόντων δὲ ἡμῶν ἐς τὴν σκηνὴν ὁ τοῦ Ὀρέστου πατὴρ ἧκε λέγων ὡς ἀμφοτέρους ὑμᾶς Ἀττίλας ἐπὶ τὸ συμπόσιον παρακαλεῖ· γενήσεσθαι δὲ αὐτὸ περὶ ἐνάτην τῆς ἡμέρας. ὡς δὲ τὸν καιρὸν ἐφυλάξαμεν καὶ ἐπὶ τὸ δεῖπνον κληθέντες παρεγενόμεθα ἡμεῖς τε καὶ οἱ ἀπὸ τῶν ἑσπερίων Ῥωμαίων πρέσβεις, ἔστημεν ἐπὶ τοῦ οὐδοῦ ἀντία Ἀττίλα. καὶ κύλικα οἱ οἰνοχόοι κατὰ τὸ ἐπιχώριον ἐπέδοσαν ἔθος, ὡς καὶ ἡμᾶς πρὸ τῆς ἕδρας ἐπεύξασθαι. οὗ δὴ γενομένου, τῆς κύλικος ἀπογευσάμενοι ἐπὶ τοὺς θρόνους ἤλθομεν, οὗ ἔδει καθεσθέντας δειπνεῖν. πρὸς δὲ τοῖς τοίχοις τοῦ οἰκήματος πάντες ὑπῆρχον οἱ δίφροι ἐξ ἑκατέρας πλευρᾶς. ἐν μεσωτάτῳ δὲ ἧστο ἐπὶ κλίνης ὁ Ἀττίλας, ἑτέρας ἐξόπισθεν κλίνης ὑπαρχούσης αὐτῷ, μεθ' ἣν βαθμοί τινες ἐπὶ τὴν αὐτοῦ ἀνῆγον εὐνήν, καλυπτομένην ὀθόναις καὶ ποικίλοις παραπετάσμασι κόσμου χάριν, καθάπερ ἐπὶ τῶν γαμούντων Ἕλληνές τε καὶ Ῥωμαῖοι κατασκευάζουσι. καὶ πρώτην μὲν ἐνόμιζον τῶν δειπνούντων τάξιν τὴν ἐν δεξιᾷ τοῦ Ἀττίλα, δευτέραν δὲ τὴν εὐώνυμον, ἐν ᾗ ἐτυγχάνομεν ὄντες, προκαθεσθέντος ἡμῶν Βερίχου, παρὰ Σκύθαις εὖ γεγονότος ἀνδρός. ὁ γὰρ Ὀνηγήσιος ἐπὶ δίφρου ἧστο ἐν δεξιᾷ τῆς τοῦ βασιλέως κλίνης. ἀντικρὺ δὲ τοῦ Ὀνηγησίου ἐπὶ δίφρου ἐκαθέζοντο δύο τῶν Ἀττίλα παίδων· ὁ γὰρ πρεσβύτερος ἐπὶ τῆς ἐκείνου ἧστο κλίνης,

οὐκ ἐγγύς, ἀλλ' ἐπ' ἄκρου, αἰδοῖ τοῦ πατρὸς βλέπων ἐς γῆν. πάντων δὲ ἐν κόσμῳ καθεστώτων, παρελθὼν οἰνοχόος τῷ 'Αττίλᾳ οἴνου κισσύβιον ἐπιδίδωσι. δεξάμενος δὲ τὸν τῇ τάξει πρῶτον ἠσπάζετο. ὁ δὲ τῷ ἀσπασμῷ τιμηθεὶς διανίστατο· καὶ οὐ πρότερον ἵζησαι θέμις ἦν πρὶν ἢ τῷ οἰνοχόῳ ἀπογευσάμενος ἢ καὶ ἐκπιὼν ἀπέδωκε τὸ κισσύβιον. καθεσθέντα δὲ αὐτὸν τῷ [αὐτῷ] τρόπῳ οἱ παρόντες ἐτίμων, δεχόμενοι τὰς κύλικας καὶ μετὰ τὸν ἀσπασμὸν ἀπογευόμενοι. ἑκάστῳ δὲ εἷς οἰνοχόος παρῆν, ὃν ἔδει κατὰ στοῖχον ἐσιέναι, τοῦ 'Αττίλα οἰνοχόου ὑπεξιόντος. τιμηθέντος δὲ καὶ τοῦ δευτέρου καὶ τῶν ἑξῆς, καὶ ἡμᾶς τοῖς ἴσοις ὁ 'Αττίλας ἐδεξιώσατο κατὰ τὴν τῶν θάκων τάξιν. ᾧ δὴ ἀσπασμῷ πάντων τιμηθέντων, ὑπεξήεσαν μὲν οἱ οἰνοχόοι, τράπεζαι δὲ μετὰ τὴν τοῦ 'Αττίλα παρετίθεντο κατὰ τρεῖς καὶ τέτταρας ἄνδρας ἢ καὶ πλείους· ὅθεν ἕκαστος οἷός τε ἦν τῶν τῇ μαγίδι [τοδι] ἐπιτιθεμένων μεταλαβεῖν μὴ ὑπεξιὼν τῆς τῶν θρόνων τάξεως. καὶ πρῶτος ἐσήει ὁ τοῦ 'Αττίλα ὑπηρέτης, κρεῶν πλήρη πίνακα φέρων, καὶ οἱ πᾶσι διακονούμενοι μετ' αὐτὸν σῖτον καὶ ὄψα ταῖς τραπέζαις ἐπέθεσαν. ἀλλὰ τοῖς μὲν ἄλλοις βαρβάροις καὶ ἡμῖν πολυτελῆ δεῖπνα κατεσκεύαστο, κύκλοις ἐπικείμενα ἀργυροῖς· τῷ δὲ 'Αττίλᾳ ἐπὶ τοῦ ξυλίνου πίνακος ἦν οὐδὲν πλέον κρεῶν. μέτριον δὲ ἑαυτὸν καὶ ἐν τοῖς ἄλλοις ἅπασιν ἐδείκνυ. τοῖς γὰρ τῆς εὐωχίας ἀνδράσι κύλικες χρυσαῖ τε καὶ ἀργυραῖ ἐπεδίδοντο, τὸ δὲ αὐτοῦ ἔκπωμα ξύλινον ἦν. λιτὴ δὲ αὐτῷ καὶ ἡ ἐσθὴς ἐτύγχανεν οὖσα, μηδὲν τῶν ἄλλων πλὴν τοῦ καθαρὰ εἶναι διαφυλάττουσα· καὶ οὔτε τὸ παρῃωρημένον αὐτῷ ξίφος οὔτε οἱ τῶν βαρβαρικῶν ὑποδημάτων δεσμοὶ οὔτε τοῦ ἵππου ὁ

χαλινός, ὥσπερ τῶν ἄλλων Σκυθῶν, χρυσῷ ἢ λίθοις ἤ τινι τῶν τιμίων ἐκοσμεῖτο. τῶν δὲ ὄψων τῶν ἐν τοῖς πρώτοις πίναξιν ἐπιτεθέντων ἀναλωθέντων, πάντες διανέστημεν, καὶ οὐ πρότερον ἐπὶ τὸν δίφρον ἀναστὰς ἦλθε πρὶν ἢ κατὰ τὴν προτέραν τάξιν ἕκαστος τὴν ἐπιδιδομένην αὐτῷ οἴνου πλήρη ἐξέπιε κύλικα, τὸν Ἀττίλαν σῶν εἶναι ἐπευξάμενος. καὶ τούτου τιμηθέντος αὐτοῦ τὸν τρόπον ἐκαθέσθημεν, καὶ δεύτερος ἑκάστῃ τραπέζῃ ἐπετίθετο πίναξ ἕτερα ἔχων ἐδώδιμα. ὡς δὲ καὶ αὐτοῦ οἱ πάντες μετέλαβον, καὶ τῷ αὐτῷ ἐξαναστάντες τρόπῳ αὖθις ἐκπιόντες ἐκαθέσθημεν. ἐπιγενομένης δὲ ἑσπέρας δᾷδες ἀνήφθησαν, δύο δὲ ἀντικρὺ τοῦ Ἀττίλα παρελθόντες βάρβαροι ᾄσματα πεποιημένα ἔλεγον, νίκας αὐτοῦ καὶ τὰς κατὰ πόλεμον ᾄδοντες ἀρετάς· ἐς οὓς οἱ τῆς εὐωχίας ἀπέβλεπον, καὶ οἱ μὲν ἥδοντο τοῖς ποιήμασιν, οἱ δὲ τῶν πολέμων ἀναμιμνησκόμενοι διηγείροντο τοῖς φρονήμασιν, ἄλλοι δὲ ἐχώρουν ἐς δάκρυα, ὧν ὑπὸ τοῦ χρόνου ἠσθένει τὸ σῶμα καὶ ἡσυχάζειν ὁ θυμὸς ἠναγκάζετο. μετὰ δὲ τὰ ᾄσματα Σκύθης τις παρελθὼν φρενοβλαβής, ἀλλόκοτα καὶ παράσημα καὶ οὐδὲν ὑγιὲς φθεγγόμενος, ἐς γέλωτα πάντας παρεσκεύασε παρελθεῖν. μεθ᾽ ὃν ὑπεσῆλθε Ζέρκων ὁ Μαυρούσιος (vid. fr. 11)· ὁ γὰρ Ἐδέκων αὐτὸν παρὰ τὸν Ἀττίλαν ἐλθεῖν παρέπεισεν, ὡς τῇ ἐκείνου σπουδῇ τὴν γαμετὴν ἀποληψόμενον, ἣν κατὰ τὴν τῶν βαρβάρων εἰλήφει χώραν, τῷ Βλήδᾳ περισπούδαστος ὤν. ἀπελελοίπει δὲ αὐτὴν ἐν τῇ Σκυθικῇ παρὰ τοῦ Ἀττίλα δῶρον Ἀετίῳ πεμφθείς. ἀλλὰ τῆς μὲν τοιαύτης διήμαρτεν ἐλπίδος, τοῦ Ἀττίλα χαλεπήναντος, ὅτι γε δὴ ἐς τὴν αὐτοῦ ἐπανῆλθε. τότε δὲ διὰ τὸν τῆς εὐωχίας καιρὸν παρελθὼν τῷ τε

εἴδει καὶ τοῖς ἐσθήμασι καὶ τῇ φωνῇ καὶ τοῖς συγκεχυμένως παρ' αὐτοῦ προφερομένοις ῥήμασι· τῇ γὰρ Αὐσονίων τὴν τῶν Οὕννων καὶ τὴν τῶν Γότθων παραμιγνὺς γλῶτταν πάντας διέχεε καὶ ἐς ἄσβεστον ὁρμῆσαι γέλωτα παρεσκεύασε πλὴν Ἀττίλα· οὗτος γὰρ ἔμενεν ἀστεμφὴς καὶ τὸ εἶδος ἀμετάτρεπτος καὶ οὐδὲν οὔτε λέγων οὔτε ποιῶν γέλωτος ἐχόμενον ἐφαίνετο, πλὴν ὅτι τὸν νεώτατον τῶν παίδων, Ἡρνᾶς δὲ ὄνομα τούτῳ, ἐσιόντα καὶ παρεστῶτα εἷλκε τῆς παρειᾶς, γαληνοῖς ἀποβλέπων ὄμμασι πρὸς αὐτόν. ἐμοῦ δὲ θαυμάζοντος ὅπως τῶν μὲν ἄλλων παίδων ὀλιγωροίη, πρὸς δὲ ἐκεῖνον ἔχοι τὸν νοῦν, ὁ παρακαθήμενος βάρβαρος, συνιεὶς τῆς Αὐσονίων φωνῆς καὶ τῶν παρ' αὐτοῦ μοι ῥηθησομένων μηδὲν ἐκλέγειν προειπών, ἔφασκε τοὺς μάντεις τῷ Ἀττίλᾳ προηγορευκέναι τὸ μὲν αὐτοῦ πεσεῖσθαι γένος, ὑπὸ δὲ τοῦ παιδὸς ἀναστήσεσθαι τούτου. ὡς δὲ ἐν τῷ συμποσίῳ εἷλκον τὴν νύκτα, ὑπεξήλθομεν, ἐπὶ πολὺ μὴ βουληθέντες τῷ πότῳ προσκαρτερεῖν.

Ἡμέρας δὲ γενομένης ἐπὶ τὸν Ὀνηγήσιον ἤλθομεν, χρῆναι ἡμᾶς διαφεθῆναι λέγοντες καὶ μὴ τηνάλλως τρίβειν τὸν χρόνον. καὶ ὃς ἔφη ἐθέλειν καὶ τὸν Ἀττίλαν ἀποπέμπειν ἡμᾶς. καὶ μικρὸν διαλιπὼν ἅμα τοῖς λογάσιν ἐβουλεύετο περὶ τῶν Ἀττίλᾳ δεδογμένων, καὶ τὰ βασιλεῖ ἀποδοθησόμενα συνέταττε γράμματα, ὑπογραφέων αὐτῷ παρόντων καὶ Ῥουστικίου, ἀνδρὸς ὁρμωμένου μὲν ἐκ τῆς ἄνω Μυσίας, ἁλόντος δὲ ἐν τῷ πολέμῳ, καὶ διὰ λόγων ἀρετὴν τῷ βαρβάρῳ ἐπὶ τῇ τῶν γραμμάτων διαπονουμένου συντάξει. ὡς δὲ ἐκ τῆς συνόδου διανέστη, ἐδεήθημεν αὐτοῦ περὶ λύσεως τῆς Σύλλου γαμετῆς καὶ τῶν ἐκείνης παίδων, ἐν τῇ Ῥατιαρίας ἀνδραποδισθέντων

ἁλώσει. καὶ πρὸς μὲν τὴν αὐτῶν οὐκ ἀπηγόρευσε λύσιν, ἐπὶ πολλοῖς δὲ σφᾶς ἐβούλετο χρήμασιν ἀπεμπολᾶν. ἡμῶν δὲ ἐλεεῖν αὐτοὺς τῆς τύχης ἱκετευσάντων, τὴν προτέραν εὐδαιμονίαν λογιζόμενον, διέβη τε πρὸς τὸν Ἀττίλαν, καὶ τὴν μὲν γυναῖκα ἐπὶ πεντακοσίοις διαφῆκε χρυσοῖς, τοὺς δὲ παῖδας δῶρον ἔπεμπε βασιλεῖ. ἐν τούτῳ δὲ καὶ ἡ Ῥέκαν (leg. καὶ Κρέκα, ut p. 310, 28) ἡ τοῦ Ἀττίλα γαμετὴ παρὰ Ἀδάμει τῶν αὐτῆς πραγμάτων τὴν ἐπιτροπὴν ἔχοντι δειπνεῖν ἡμᾶς παρεκάλει. καὶ παρ' αὐτὸν ἐλθόντες ἅμα τισὶ τῶν ἐκ τοῦ ἔθνους λογάδων φιλοφροσύνης ἐτύχομεν. ἐδεξιοῦτο δὲ ἡμᾶς μειλιχίοις τε λόγοις καὶ τῇ τῶν ἐδωδίμων παρασκευῇ. καὶ ἕκαστος τῶν παρόντων Σκυθικῇ φιλοτιμίᾳ κύλικα ἡμῖν πλήρη διανιστάμενος ἐδίδου, καὶ τὸν ἐκπιόντα περιβαλὼν καὶ φιλήσας ταύτην ἐδέχετο. μετὰ δὲ τὸ δεῖπνον ἐπὶ τὴν σκηνὴν ἐλθόντες ἐς ὕπνον ἐτράπημεν. τῇ δὲ ὑστεραίᾳ ἐπὶ συμπόσιον αὖθις ἡμᾶς Ἀττίλας ἐκάλει, καὶ τῷ προτέρῳ τρόπῳ παρά τε αὐτὸν ἐσήλθομεν καὶ ἐς τὴν εὐωχίαν ἐτράπημεν. συνέβαινε δὲ ἐπὶ τῆς κλίνης ἅμα αὐτῷ μὴ τὸν πρεσβύτερον τῶν παίδων ἧσθαι, ἀλλὰ γὰρ Ὠηβάρσιον, θεῖον αὐτῷ τυγχάνοντα πρὸς πατρός. παρὰ πᾶν δὲ τὸ συμπόσιον λόγοις φιλοφρονούμενος φράζειν ἡμᾶς βασιλεῖ παρεκελεύετο τῷ Κωνσταντίῳ, ὃς αὐτῷ παρὰ Ἀετίου ἀπέσταλτο ὑπογραφέως χάριν, διδόναι ἣν αὐτῷ γυναῖκα [καὶ] ὑπέσχετο. παρὰ γὰρ τὸν βασιλέα Θεοδόσιον ἅμα τοῖς σταλεῖσι παρὰ τοῦ Ἀττίλα πρέσβεσιν ἀφικόμενος ὁ Κωνστάντιος τὴν εἰρήνην Ῥωμαίοις καὶ Σκύθαις ἔφησεν ἐπὶ μακρὸν φυλάττεσθαι χρόνον παρασκευάσειν, ἂν αὐτῷ γυναῖκα εὔπορον δοίη. καὶ πρὸς τοῦτο ἐπένευσε βασιλεύς, καὶ Σατορνίλου περιουσίᾳ καὶ γένει κοσμου-

μένου θυγατέρα εἰρήκει δώσειν. τὸν δὲ Σατορνίλον ἀνῃρήκει Ἀθηναῒς ἡ καὶ Εὐδοκία· ἀμφοτέροις γὰρ ἐκαλεῖτο τοῖς ὀνόμασιν. ἐς ἔργον δὲ τὴν αὐτοῦ οὐ συνεχώρησεν ἀχθῆναι ὑπόσχεσιν Ζήνων, ὑπατικὸς ἀνὴρ καὶ πολλὴν ἀμφ' αὐτὸν ἔχων Ἰσαύρων δύναμιν, μεθ' ἧς καὶ τὴν Κωνσταντίνου κατὰ τὸν τοῦ πολέμου καιρὸν φυλάττειν ἐπετέτραπτο. τότε δὴ τῶν ἐν τῇ ἕῳ στρατιωτικῶν ἄρχων ταγμάτων ὑπεξάγει τοῦ φρουρίου τὴν κόρην, καὶ Ῥούφῳ τινί, ἑνὶ τῶν ἐπιτηδείων, κατεγγυᾷ. ταύτης δὲ ἀφῃρημένης, ὁ Κωνστάντιος ἐδεῖτο τοῦ βαρβάρου ἐνυβρισμένον αὐτὸν μὴ περιορᾶσθαι, ἀλλὰ ἢ τὴν ἀφαιρεθεῖσαν ἢ καὶ ἄλλην αὐτῷ δίδοσθαι γαμετὴν φερνὴν ἐσοίσουσαν. παρὰ τὸν τοῦ δείπνου τοίνυν καιρὸν ὁ βάρβαρος λέγειν τῷ βασιλεύοντι τὸν Μαξιμῖνον ἐκέλευε μὴ χρῆναι τῆς ἐξ αὐτοῦ τὸν Κωνστάντιον ἐλπίδος διαμαρτεῖν· οὔτε γὰρ βασιλεῖ (βασιλικὸν Bekk., πρέπειν supplet Nieb.) τὸ ψεύδεσθαι.... ταῦτα δὲ ὁ Ἀττίλας ἐνετέλλετο, ὑποσχομένου Κωνσταντίου χρήματα δώσειν, εἰ τῶν ζαπλούτων αὐτῷ παρὰ Ῥωμαίοις κατεγγυηθείη γυνή.

Τοῦ δὲ συμποσίου ὑπεξελθόντες μετὰ τὴν νύκτα ἡμερῶν διαγενομένων τριῶν διηφείθημεν δώροις τοῖς προσήκουσι τιμηθέντες· ἔπεμπε δὲ ὁ Ἀττίλας καὶ Βέριχον τὸν ἡμῶν ἐν τῷ συμποσίῳ προκαθεσθέντα, ἄνδρα τῶν λογάδων καὶ πολλῶν ἐν τῇ Σκυθικῇ κωμῶν ἄρχοντα, παρὰ βασιλέα πρεσβευσόμενον, ἄλλως τε καὶ αὐτόν, οἷα δὴ πρέσβιν, [δῶρα] παρὰ Ῥωμαίων δέξασθαι [βουλόμενος]. ποιουμένων δὲ ἡμῶν τὴν πορείαν καὶ πρὸς κώμῃ καταλυσάντων τινί, ἥλω Σκύθης ἀνὴρ κατασκοπῆς ἕνεκα ἐκ τῆς Ῥωμαίων ἐς τὴν βάρβαρον διαβεβηκὼς χώραν· καὶ αὐτὸν Ἀττίλας ἀνασκολοπισθῆναι παρεκελεύσατο.

τῇ δὲ ἐπιούσῃ δι' ἑτέρων κωμῶν πορευομένων ἡμῶν, ἄνδρες δύο τῶν παρὰ Σκύθαις δουλευόντων ἤγοντο ὀπίσω τὼ χεῖρε δεδεμένω, ὡς τοὺς κατὰ πόλεμον ἀνελόντες δεσπότας· καὶ ἐπὶ ξύλων δύο κεραίας ἐχόντων ἀμφοῖν τὰς κεφαλὰς ἐμβαλόντες ἀνεσταύρωσαν. ἐφ' ὅσον δὲ τὴν Σκυθικὴν διεξήειμεν, ὁ Βέριχος ἐκοινώνει τε ἡμῖν τῆς ὁδοῦ καὶ ἥσυχός τις καὶ ἐπιτήδειος ἐνομίζετο. ὡς δὲ τὸν Ἴστρον ἐπεραιώθημεν, ἐν ἐχθροῦ ἡμῖν ἐγένετο μοίρᾳ διά τινας ἑώλους προφάσεις ἐκ τῶν θεραπόντων συνενεχθείσας. καὶ πρότερον μὲν τὸν ἵππον ἀφείλετο, ᾧ τὸν Μαξιμῖνον δωρησάμενος ἦν. ὁ γὰρ Ἀττίλας πάντας τοὺς ἀμφ' αὐτὸν λογάδας παρεκελεύσατο δώροις τὸν Μαξιμῖνον φιλοφρονήσασθαι, καὶ ἕκαστος ἐπεπόμφει ἵππον αὐτῷ, μεθ' ὧν καὶ ὁ Βέριχος. ὀλίγους δὲ λαβὼν τοὺς ἄλλους ἀπέπεμπε, τὸ σῶφρον δηλῶσαι ἐκ τῆς μετριότητος ἐσπουδακώς. τοῦτον οὖν ἀφείλετο τὸν ἵππον, καὶ οὔτε συνοδοιπορεῖν οὔτε συνεστιᾶσθαι ἠνέσχετο· ὥστε ἡμῖν ἐν τῇ βαρβάρων χώρᾳ γενομένου συμβόλου ἐς τοῦτο προελθεῖν. καὶ ἐντεῦθεν διὰ τῆς Φιλίππου ἐπὶ τὴν Ἀδριανούπολιν τὴν πορείαν ἐποιησάμεθα. ἐν ᾗ διαναπαυσάμενοι ἐς λόγους ἤλθομεν τῷ Βερίχῳ, καὶ αὐτὸν τῆς πρὸς ἡμᾶς σιωπῆς κατεμεμψάμεθα, ὅτι γε δὴ ὀργίζεται οὐκ ἀδικοῦσιν οὐδέν. θεραπεύσαντες οὖν αὐτὸν καὶ ἐπὶ ἑστίασιν καλέσαντες ἐξωρμήσαμεν. καὶ τῷ Βιγίλᾳ ἐν τῇ ὁδῷ ἀπαντήσαντες ἐπὶ τὴν Σκυθικὴν ἐπαναζευγνύντι, καὶ τὰ παρὰ Ἀττίλα ἡμῖν τῆς ἐπὶ τῇ πρεσβείᾳ ἀποκρίσεως εἰρημένα ἀφηγησάμενοι, τῆς ἐπανόδου εἰχόμεθα. ὡς δὲ ἐς τὴν Κωνσταντίνου παρεγενόμεθα, μεταβεβλῆσθαι μὲν ᾠόμεθα τὸν Βέριχον τῆς ὀργῆς· ὃς δὲ τῆς ἀγρίας οὐκ ἐπελέληστο φύσεως, ἀλλ' ἐς διαφορὰς

ἐχώρει, καὶ ἐν κατηγορίᾳ ἐποιεῖτο τὸν Μαξιμῖνον ὡς ἔφησεν ἐς τὴν Σκυθικὴν διαβὰς τὸν Ἀρεόβινδον καὶ τὸν Ἄσπαρα, ἄνδρας στρατηγούς, μηδεμίαν παρὰ βασιλεῖ ἔχειν μοῖραν, καὶ ὡς ἐν ὀλιγωρίᾳ τὰ κατ' αὐτοὺς ἐποιήσατο, τὴν βαρβαρικὴν ἐλέγξας κουφότητα.

ΛΟΓΟΣ Δ'.

Ἀναζεύξαντα δὲ τὸν Βιγίλαν καὶ ἐν οἷς τὸν Ἀττίλαν τόποις διατρίβειν συνέβαινεν ἀφικόμενον περιστάντες εἶχον οἱ πρὸς τοῦτο παρεσκευασμένοι βάρβαροι, καὶ τὰ χρήματα, ἅπερ τῷ Ἐδέκωνι ἐκόμιζεν, ἀφείλοντο. ὡς δὲ καὶ αὐτὸν παρὰ τὸν Ἀττίλαν ἦγον, καὶ ἀνηρωτᾶτο ὅτου χάριν τοσοῦτον φέροι χρυσίον, ἔφη οἰκείας τε καὶ τῶν παρεπομένων προνοίας ἕνεκα, ὥστε μὴ ἐνδείᾳ τροφῶν ἢ ἵππων σπάνει ἢ καὶ τῶν φορτηγῶν ὑποζυγίων ὑπὸ τῆς μακρᾶς ἐκδαπανηθέντων ὁδοῦ διαμαρτεῖν τῆς περὶ τῆς πρεσβείας σπουδῆς· παρεσκευάσθαι δὲ αὐτῷ καὶ ἐς αἰχμαλώτων ὠνήν, πολλῶν κατὰ τὴν Ῥωμαίων δεηθέντων αὐτοῦ τοὺς σφίσι προσήκοντας λύσασθαι· καὶ ὁ Ἀττίλας "ἀλλ' οὔτι," ἔφη, "σὺ πονηρὸν θηρίον," τὸν Βιγίλαν λέγων, "τὴν δίκην σοφιζόμενος λήσεις, οὐδὲ ἔσται σοι πρόφασις ἱκανὴ ἐς τὸ τὴν κόλασιν διαφυγεῖν, μείζονος μὲν τῆς σῆς δαπάνης παρασκευῆς σοι χρημάτων ὑπαρχούσης, καὶ τῶν ὑπὸ σοῦ ἵππων καὶ ὑποζυγίων ὠνηθησομένων, καὶ τῆς τῶν αἰχμαλώτων λύσεως, ἣν σὺν Μαξιμίνῳ παρ' ἐμὲ ἀφικομένῳ ποιεῖν ἀπηγόρευσα." ταῦτα εἰπὼν τὸν υἱόν· ἦν δὲ καὶ τῷ Βιγίλᾳ τότε πρῶτον ἐς τὴν βαρβάρων ἠκολουθηκὼς χώραν· ξίφει καταβληθῆναι παρεκελεύσατο, εἰ μὴ φθάσας εἴποι ὅτῳ τὰ χρήματα καὶ δι' ἣν αἰτίαν κομίζει. ὁ δὲ ὡς ἐθεά-

σατο τὸν παῖδα ἐπὶ θάνατον στείχοντα, ἐς δάκρυά τε καὶ ὀλοφυρμοὺς ἐτράπη, καὶ ἀνεβόα τὴν δίκην ἐπ' αὐτὸν φέρειν τὸ ξίφος, οὐκ ἐπὶ τὸν νέον τὸν ἀδικοῦντα οὐδέν. καὶ μηδὲν μελλήσας τά τε αὐτῷ καὶ Ἐδέκωνι καὶ τῷ εὐνούχῳ καὶ τῷ βασιλεῖ μελετηθέντα ἔλεγε, συνεχῶς δὲ ἐς ἱκεσίαν τρεπόμενος, ὥστε αὐτὸν μὲν ἀναιρεθῆναι, διαφεθῆναι δὲ τὸν παῖδα. γνοὺς δὲ ὁ Ἀττίλας ἀπὸ τῶν Ἐδέκωνι εἰρημένων μηδὲν διεψεῦσθαι τὸν Βιγίλαν, ἐν δεσμοῖς εἶναι προσέταττεν, οὐ πρότερον λύσειν ἀπειλήσας πρὶν ἢ τὸν παῖδα ἐκπέμψας ἑτέρας αὐτῷ πεντήκοντα χρυσίου λίτρας ὑπὲρ τῶν σφετέρων κομίσοι λύτρων. καὶ ὁ μὲν ἐδέδετο, ὁ δὲ ἐς τὴν Ῥωμαίων ἐπανῄει. ἔπεμπε δὲ καὶ Ὀρέστην καὶ Ἦσλαν ὁ Ἀττίλας ἐς τὴν Κωνσταντίνου. [Exc. de legat. p. 48—71 Par., 169—212 Niebuhr.]

Ad quem [Attilam] in legationem remissus a Theo- 9
dosio iuniore Priscus tali voce inter alia refert. ingentia siquidem flumina, id est Tysiam Tibisiamque et Driccam transeuntes, venimus in locum illum, ubi dudum Vidicula, Gothorum fortissimus, Sarmatum dolo occubuit. indeque non longe ad vicum in quo rex Attila morabatur accessimus: vicum, inquam, ad instar civitatis amplissimae, in quo lignea moenia ex tabulis nitentibus fabricata reperimus, quarum compago ita solidum mentiebatur ut vix ab intento posset iunctura tabularum comprehendi. videres triclinia ambitu prolixiore distenta porticusque in omni decore dispositas. area vero curtis ingenti ambitu cingebatur, ut amplitudo ipsa regiam aulam ostenderet. hae sedes erant Attilae regis barbariam totam tenentis: haec captis civitatibus habitacula praeponebat. [Iordanes De reb. Get. c. 34. Haec iungenda iis quae sunt fr. 8, p. 303, 14.]

10 Qui [Attila] quamvis huius esset naturae ut semper magna confideret, addebat ei tamen confidentiam gladius Martis inventus, sacer apud Scytharum reges semper habitus. quem Priscus historicus tali refert occasione detectum. cum pastor, inquiens, quidam gregis unam buculam conspiceret claudicantem, nec causam tanti vulneris inveniret, sollicitus vestigia cruoris insequitur: tandemque venit ad gladium, quem depascens herbas bucula incaute calcaverat, effossumque protinus ad Attilam defert. quo ille munere gratulatus, ut erat magnanimus, arbitratur se totius mundi principem constitutum et per Martis gladium potestatem sibi concessam esse bellorum. [Idem ib c. 35. Paucis haec indicata in fr. 8, p. 314, 16. Adde alterum de Hunnis locum, ubi Priscus laudatur, apud Iordanem c. 24: „Tali ergo Hunni stirpe creati Gothorum finibus advenere. quorum natio saeva, ut Priscus historicus refert, in Maeotide palude ulteriorem ripam insedit, venatione tantum, nec alio labore experta, nisi quod, postquam crevisset in populos fraudibus et rapinis vicinam gentem conturbavit.“]

11 *[Ζέρκων, Σκύθης οὕτω καλούμενος, Μαυρούσιος τὸ γένος. διὰ δὲ κακοφυΐαν σώματος καὶ τὸ γέλωτα ἐκ τῆς τραυλότητος τῆς φωνῆς καὶ ὄψεως παρέχειν· βραχὺς γάρ τις ἦν, κυρτός, διάστροφος τοῖς ποσί, τὴν ῥῖνα τοῖς μυκτῆρσι παραφαίνων διὰ σιμότητος ὑπερβολήν· Ἄσπαρι τῷ Ἀρδαβουρίου ἐδεδώρητο, καθ᾽ ὃν ἐν Λιβύῃ διέτριβε χρόνον. ἥλω δὲ τῶν βαρβάρων ἐς τὴν Θρᾳκῶν ἐμβαλόντων καὶ παρὰ τοὺς βασιλείους ἤχθη Σκύθας. καὶ Ἀττίλας μὲν οὐδὲ τὴν αὐτοῦ ἤνεγκεν ὄψιν· ὁ δὲ Βλήδας ἥσθη λίαν αὐτῷ φθεγγομένῳ οὐ μόνον γέλωτος ἄξια, εἰ μή γε καὶ*

βαδίζοντι καὶ περιττῶς κινοῦντι τὸ σῶμα· συνῆν δὲ αὐτῷ εὐωχουμένῳ καὶ ἐκστρατεύοντι, πεποιημένην πρὸς τὸ γελοιότερον ἀναλαμβάνων ἐν ταῖς ἐξόδοις πανοπλίαν. διὸ δὴ περισπούδαστον αὐτὸν ὁ Βλήδας ποιούμενος μετὰ αἰχμαλώτων ἀποδράντα Ῥωμαίων, τῶν μὲν ἄλλων κατωλιγώρησεν, αὐτὸν δὲ μετὰ πάσης φροντίδος ἀναζητεῖσθαι προσέταξεν. καὶ ἁλόντα καὶ παρ' αὐτὸν ἀχθέντα ἐν δεσμοῖς ἰδὼν ἐγέλασεν, καὶ καθυφεὶς τῆς ὀργῆς ἐπυνθάνετο τὴν αἰτίαν τῆς φυγῆς καὶ ὅτου χάριν νομίζοι τὰ Ῥωμαίων τῶν παρὰ σφίσιν ἀμείνονα. ὁ δὲ ἀπεκρίνατο ἁμάρτημα μὲν τὴν φυγὴν εἶναι, ἔχειν δὲ τοῦ ἁμαρτήματος λόγον τὸ μὴ γαμετὴν αὐτῷ δεδόσθαι. τῷ δὲ γέλωτι μᾶλλον ὁ Βλήδας ὑπαχθεὶς δίδωσιν αὐτῷ γυναῖκα τῶν μὲν εὖ γεγονότων καὶ τῇ βασιλίδι διακονησαμένων, ἀτόπου δέ τινος πράξεως ἕνεκα οὐκέτι παρ' ἐκείνην φοιτῶσαν. καὶ οὕτω διετέλει ἅπαντα τὸν χρόνον τῷ Βλήδᾳ συνών. μετὰ δὲ τὴν αὐτοῦ τελευτὴν Ἀττίλας Ἀετίῳ τῷ στρατηγῷ τῶν ἑσπερίων Ῥωμαίων δῶρον τὸν Ζέρκωνα δίδωσιν, ὃς αὐτὸν παρὰ τὸν Ἄσπαρα ἀπέπεμψεν. [Suidas. Haec si recte Prisco vindicavit Valesius, iungenda cum fr. 8, p. 317, 23, ubi de Zercone isto iam vidimus. Pro *Ἄσπαρι τῷ Ἀρδαβουρίῳ* recte Niebuhrius emendat *Ἄ. τῷ Ἀρδαβουρίου*; sed non erat cur verteret, patri Ardaburii (quae vocis *πατρὶ* omissio insolens, adeo ut vulgatam intactam reliquerit Bernhardyus); nam duo sunt Ardaburii, alter pater, alter filius Asparis. V. Tillemont. VI, p. 105 et passim. MÜLLERUS.]

Ὅτι φωραθέντα τὸν Βιγίλαν ἐπιβουλευόμενον 12
τῷ Ἀττίλᾳ, καὶ τοῦ χρυσίου τὰς ἑκατὸν λίτρας τὰς παρὰ τοῦ Χρυσαφίου τοῦ εὐνούχου σταλείσας ἀφελομένου (ἀφελόμενος Class.), *παρευθὺς ἔπεμπεν Ὀρέστην*

καὶ Ἥσλαν ὁ Ἀττίλας ἐς τὴν Κωνσταντίνου, ἐντειλάμενος τὸν μὲν Ὀρέστην τὸ βαλλάντιον, ἐν ᾧπερ ἐβεβλήκει Βιγίλας τὸ χρυσίον τὸ Ἐδέκωνι δοθησόμενον, τῷ σφετέρῳ περιθέντα τραχήλῳ ἐλθεῖν τε παρὰ βασιλέα καὶ αὐτῷ ἐπιδείξαντα καὶ τῷ εὐνούχῳ ἀνερωτᾶν εἴ γε αὐτὸ ἐπιγιγνώσκοιεν; τὸν δὲ Ἥσλαν λέγειν ἀπὸ στόματος εὖ μὲν γεγονότος εἶναι πατρὸς τὸν Θεοδόσιον παῖδα, εὖ δὲ καὶ αὐτὸν φύντα καὶ τὸν πατέρα Μουνδίουχον διαδεξάμενον διαφυλάξαι τὴν εὐγένειαν· ταύτης δὲ τὸν Θεοδόσιον ἐκπεπτωκότα δουλεύειν αὐτῷ τὴν τοῦ φόρου ἀπαγωγὴν ὑφιστάμενον. οὐ δίκαιον οὖν ποιεῖ τῷ βελτίονι καὶ ὃν αὐτῷ ἡ τύχη δεσπότην ἀνέδειξεν, ὡς πονηρὸς οἰκέτης λαθριδίως ἐπιτιθέμενος. οὐ λύσειν οὖν τὴν αἰτίαν ἔφη τῶν ἐς αὐτὸν ἡμαρτημένων, εἰ μή γε τὸν εὐνοῦχον ἐκπέμψοι πρὸς κόλασιν. καὶ οὗτοι μὲν ἐπὶ τοῖσδε ἐς τὴν Κωνσταντίνου παρεγένοντο· συνηνέχθη δὲ τὸν Χρυσάφιον ἐξαιτεῖσθαι καὶ παρὰ Ζήνωνος. Μαξιμίνου γὰρ εἰρηκέναι τὸν Ἀττίλαν ἀπαγγείλαντος χρῆναι βασιλέα πληροῦν τὴν ὑπόσχεσιν, καὶ τῷ Κωνσταντίῳ τὴν γυναῖκα διδόναι, ἣν οὐδαμῶς παρὰ τὴν ἐκείνου βουλὴν ἑτέρῳ κατεγγυηθῆναι οἷόντε ἦν (εἶναι Bekk.)· ἢ γὰρ ὁ τολμήσας ἐκδεδώκει (ἐκδοῦναι δώσει Bekk.) δίκας ἢ τοιαῦτα τὰ βασιλέως ἐστὶν ὥστε μηδὲ τῶν σφετέρων κρατεῖν οἰκετῶν, καθ' ὧν συμμαχίαν, εἴ γε βούλοιτο, ἕτοιμον εἶναι παρασχεῖν. ἐδήχθη τε ὁ Θεοδόσιος τὸν θυμὸν καὶ δημοσίαν τὴν τῆς κόρης οὐσίαν ποιεῖ. [Exc. de legat. p. 39 Par., 150—151 Niebuhr.]

13 Ὅτι ὑπ' ἀμφοτέρων, Ἀττίλα τε καὶ Ζήνωνος, αἰτούμενος ὁ Χρυσάφιος ἐν ἀγωνίᾳ καθειστήκει. πάντων δὲ αὐτῷ εὔνοιάν τε καὶ σπουδὴν συνεσφερόντων,

ἐδόκει παρὰ τὸν Ἀττίλαν πρεσβεύεσθαι Ἀνατόλιον καὶ Νόμον, τὸν μὲν Ἀνατόλιον τῶν ἀμφὶ βασιλέα ἄρχοντα τελῶν καὶ τὰς συνθήκας τῆς ἐκείνου εἰρήνης προθέμενον, τὸν δὲ Νόμον τὴν τοῦ μαγίστρου τιμὴν (ἀρχὴν margo Hoesch.) ἄρξαντα καὶ ἐν τοῖς πατρικίοις σὺν ἐκείνῳ καταλεγόμενον, οἳ δὴ τὰς ἀρχὰς ἀναβεβήκασι πάσας. συνεπέμπετο δὲ Ἀνατολίῳ Νόμος οὐ διὰ μέγεθος τῆς τύχης μόνον, ἀλλὰ ὡς καὶ τῷ Χρυσαφίῳ εὔνους ὢν καὶ φιλοτιμίᾳ τοῦ βαρβάρου περιεσόμενος· ὅτι γὰρ μάλιστα προσῆν αὐτῷ τὸ μὴ φείδεσθαι χρημάτων, τὸ παρὸν διαθεῖναι ἐσπουδακότι. καὶ οὗτοι μὲν ἐστέλλοντο τὸν Ἀττίλαν ἀπάξοντες τῆς ὀργῆς καὶ τὴν εἰρήνην ἐπὶ ταῖς συντάξεσι διαφυλάττειν πείσοντες, λέξοντες δὲ καὶ ὡς τῷ Κωνσταντίῳ κατεγγυηθήσεται γυνὴ οὐ μείων τῆς Σατορνίλου γένει τε καὶ περιουσίᾳ· ἐκείνην γὰρ μὴ βεβουλῆσθαι, ἀλλ' ἑτέρῳ κατὰ νόμον γήμασθαι· οὐ γὰρ θέμις παρὰ Ῥωμαίοις ἄκουσαν γυναῖκα κατεγγυᾶσθαι ἀνδρί. ἔπεμπε δὲ καὶ ὁ εὐνοῦχος τῷ βαρβάρῳ χρυσίον, ὥστε αὐτὸν μειλιχθέντα ἀπαχθῆναι τοῦ θυμοῦ. [Exc. de legat. p. 71—72 Par., 212—213 Niebuhr.]

Ὅτι οἱ ἀμφὶ τὸν Ἀνατόλιον καὶ Νόμον τὸν Ἴστρον 14
περαιωθέντες ἄχρι τοῦ Δρέγκωνος λεγομένου ποταμοῦ ἐς τὴν Σκυθικὴν διέβησαν· αἰδοῖ γὰρ τῶν ἀνδρῶν ὁ Ἀττίλας, ὥστε μὴ τῷ τῆς ὁδοῦ ἐπιτρίβεσθαι διαστήματι, ἐν ἐκείνῳ τῷ χωρίῳ πρὸς αὐτοὺς ἐποιήσατο ἔντευξιν. καὶ πρῶτον μὲν ὑπερηφάνως διαλεχθεὶς ὑπήχθη τῷ πλήθει τῶν δώρων, καὶ λόγοις προσηνέσι μαλαχθεὶς φυλάττειν τὴν εἰρήνην ἐπὶ ταῖς αὐταῖς ἐπώμνυτο συνθήκαις, ἀναχωρεῖν δὲ καὶ τῆς τῷ Ἴστρῳ ὁριζομένης Ῥωμαίων γῆς καὶ τοῦ πράγματα ἔτι παρέχειν περὶ φυγάδων βασιλεῖ, εἰ μή γε Ῥω-

μαῖοι αὖθις ἑτέρους καταφεύγοντας παρ' αὐτοῦ δέξοιντο. ἠφίει δὲ καὶ Βιγίλαν, τὰς πεντήκοντα τοῦ χρυσοῦ λίτρας δεξάμενος· ταύτας γὰρ αὐτῷ ἐκεκομίκει ὁ παῖς σὺν τοῖς πρέσβεσιν ἐς τὴν Σκυθικὴν διαβάς· καὶ αἰχμαλώτους ἄνευ λύτρων ἀφῆκε πλείστους, Ἀνατολίῳ καὶ Νόμῳ χαριζόμενος. δωρησάμενος δὲ καὶ ἵππους αὐτοῖς καὶ θηρίων δοράς, αἷς οἱ βασίλειοι κοσμοῦνται Σκύθαι, ἀπέπεμπε, συμπέμψας καὶ τὸν Κωνστάντιον ὥστε αὐτῷ βασιλέα ἐς ἔργον ἀγαγεῖν τὴν ὑπόσχεσιν. ὡς δὲ ἐπανῆλθον οἱ πρέσβεις, καὶ ἅπαντα τά τε παρ' αὐτῶν τά τε παρὰ τοῦ βαρβάρου διεξῆλθον, κατεγγυᾶται τῷ Κωνσταντίῳ γυνὴ γαμετὴ Ἀρματίου γενομένη, παιδὸς Πλίνθου τοῦ παρὰ Ῥωμαίοις στρατηγήσαντος καὶ τὴν ὕπατον ἀρχὴν ἄρξαντος. συνεβεβήκει δὲ τὸν Ἀρμάτον ἐς τὴν Λιβύων διαβάντα ἐπὶ τῇ πρὸς Αὐσοριανοὺς μάχῃ εὐημερῆσαι μὲν ἐν τῷ πρὸς ἐκείνους πολέμῳ, νοσήσαντα δὲ τελευτῆσαι τὸν βίον. οὗ δὴ τὴν γαμετήν, καὶ γένει καὶ περιουσίᾳ διαπρέπουσαν, ἔπεισεν ὁ βασιλεὺς τῷ Κωνσταντίῳ γήμασθαι. οὕτω καὶ τῶν πρὸς Ἀττίλαν λυθέντων διαφόρων, ὁ Θεοδόσιος ἐδεδίει μήποτε καὶ Ζήνων τυραννίδι ἐπιθήσεται. [Exc. de legat. p. 72 Par., 213—215 Niebuhr.]

[Accedimus in seqq. ad tempora Marciani imp. De his conf. Euagrius Hist. eccl. II, 1: *Μαρκιανὸς τοίνυν καὶ ἄλλοις τε πολλοῖς καὶ Πρίσκῳ ἱστόρηται τῷ ῥήτορι.*]

15 *Ὅτι ὡς ἠγγέλθη τῷ Ἀττίλᾳ τὸν Μαρκιανὸν ἐς τὰ κατὰ τὴν ἕω Ῥωμαϊκὰ παρεληλυθέναι βασίλεια μετὰ τὴν Θεοδοσίου τελευτήν, ἠγγέλθη δὲ αὐτῷ καὶ τὰ τῆς Ὀνωρίας πέρι γεγενημένα, πρὸς μὲν τὸν κρατοῦντα τῶν ἑσπερίων Ῥωμαίων ἔστελλε τοὺς διαλεξομένους μηδὲν*

Ὀνωρίαν πλημμελεῖσθαι, ἣν ἑαυτῷ πρὸς γάμον κατηγγύησε· τιμωρήσειν γὰρ αὐτῇ, εἰ μὴ καὶ τὰ τῆς βασιλείας ἀπολάβῃ σκῆπτρα. ἔπεμπε δὲ καὶ πρὸς τοὺς ἑῴους Ῥωμαίους τῶν ταχθέντων φόρων ἕνεκα. ἀπράκτων δὲ ἐξ ἀμφοτέρων τῶν αὐτοῦ ἐπανελθόντων πρέσβεων· οἱ μὲν γὰρ δὴ τῆς Ἑσπερίας ἀπεκρίναντο Ὀνωρίαν αὐτῷ ἐς γάμον ἐλθεῖν μηδὲ δύνασθαι, ἐκδεδομένην ἀνδρί· σκῆπτρον δὲ αὐτῇ μὴ ὀφείλεσθαι· οὐ γὰρ θηλειῶν, ἀλλὰ ἀρρένων ἡ τῆς Ῥωμαϊκῆς βασιλείας ἀρχή· οἱ δὲ τῆς ἕω ἔφασαν οὐχ ὑποστήσεσθαι τὴν τοῦ φόρου ἀπαγωγήν, ἣν ὁ Θεοδόσιος ἔταξε· καὶ ἡσυχάζοντι μὲν δῶρα δώσειν, πόλεμον δὲ ἀπειλοῦντι ὅπλα καὶ ἄνδρας ἐπάξειν τῆς αὐτοῦ μὴ λειπομένους δυνάμεως· ἐμερίζετο οὖν τὴν γνώμην, καὶ διηπόρει ποίοις πρότερον ἐπιθήσεται, καὶ ἔχειν αὐτῷ ἐδόκει καλῶς τέως ἐπὶ τὸν μείζονα τρέπεσθαι πόλεμον καὶ ἐς τὴν ἑσπέραν στρατεύεσθαι, τῆς μάχης αὐτῷ μὴ μόνον πρὸς Ἰταλιώτας, ἀλλὰ καὶ πρὸς Γότθους καὶ Φράγγους ἐσομένης, πρὸς μὲν Ἰταλιώτας ὥστε τὴν Ὀνωρίαν μετὰ τῶν χρημάτων λαβεῖν, πρὸς δὲ Γότθους χάριν Γεζερίχῳ κατατιθέμενον. [Exc. de legat. p. 39—40 Par., 151—152 Niebuhr.]

Ὅτι τῷ Ἀττίλᾳ ἦν τοῦ πρὸς Φράγγους πολέμου 16
πρόφασις ἡ τοῦ σφῶν βασιλέως τελευτὴ καὶ ἡ τῆς ἀρχῆς τῶν ἐκείνου παίδων διαφορά, τοῦ πρεσβυτέρου μὲν Ἀττίλαν, τοῦ δὲ νεωτέρου Ἀέτιον ἐπὶ συμμαχίᾳ ἐπάγεσθαι ἐγνωκότος· ὃν κατὰ τὴν Ῥώμην εἴδομεν πρεσβευόμενον (πρεσβευόμενοι Nieb.) *μήπω ἰούλου ἀρχόμενον, ξανθὸν τὴν κόμην τοῖς αὐτοῦ περικεχυμένην διὰ μέγεθος ὤμοις. θετὸν δὲ αὐτὸν ὁ Ἀέτιος ποιησάμενος παῖδα καὶ πλεῖστα δῶρα δοὺς ἅμα τῷ βασιλεύοντι ἐπὶ φιλίᾳ τε καὶ ὁμαιχμίᾳ ἀπέ-*

πεμψε. τούτων ἕνεκα ὁ Ἀττίλας τὴν ἐκστρατείαν ποιούμενος αὖθις τῶν ἀμφ' αὐτὸν ἄνδρας ἐς τὴν Ἰταλίαν ἔπεμπεν ὥστε τὴν Ὀνωρίαν ἐκδιδόναι· εἶναι γὰρ αὐτῷ ἡρμοσμένην πρὸς γάμον, τεκμήριον ποιούμενος τὸν παρ' αὐτῆς πεμφθέντα δακτύλιον, ὃν καὶ ἐπιδειχθησόμενον ἐστάλκει· παραχωρεῖν δὲ αὐτῷ τὸν Βαλεντινιανὸν καὶ τοῦ ἡμίσεως τῆς βασιλείας μέρους, ὡς καὶ τῆς Ὀνωρίας διαδεξαμένης μὲν παρὰ πατρὸς τὴν ἀρχήν, ταύτης δὲ τῇ τοῦ ἀδελφοῦ ἀφαιρεθεῖσαν πλεονεξίᾳ. ὡς δὲ οἱ ἑσπέριοι Ῥωμαῖοι τῆς προτέρας ἐχόμενοι γνώμης πρὸς οὐδὲν τῶν αὐτῷ δεδογμένων ὑπήκουον, εἴχετο μᾶλλον τῆς τοῦ πολέμου παρασκευῆς, πᾶν τὸ τῶν μαχίμων ἀγείρων πλῆθος. [Exc. de legat. p. 40 Par., 152—153 Niebuhr.]

17 Cum ad Romam animus fuisset eius [Attilae] attentus accedere, sui eum, ut Priscus refert historicus, removere, non urbi, cui inimici erant, consulentes, sed Alarici quondam Vesegotharum regis obiicientes exemplum, veriti regis sui fortunam, quia ille post fractam Romam diu non supervixerat, sed protinus rebus excessit humanis. [Iordanes c. 42. Chron. Pasch. p. 588, 4 et Malalas p. 359, 4: Περὶ οὗ πολέμου (sc. Attilae) συνεγράψατο ὁ σοφώτατος Πρίσκος ὁ Θρᾷξ. V. fr. 3.]

18 Ὅτι τοῦ Ἀττίλα τὸν παρὰ Θεοδοσίου τεταγμένον φόρον ζητοῦντος ἢ πόλεμον ἀπειλοῦντος, τῶν Ῥωμαίων στέλλειν παρ' αὐτὸν πρέσβεις ἀποκριναμένων, Ἀπολλώνιος ἐπέμπετο, οὗπερ ὁ ἀδελφὸς τὴν Σατορνίλου ἐγεγαμήκει θυγατέρα, ἣν ὁ Θεοδόσιος ἐβούλετο Κωνσταντίῳ κατεγγυᾶν, Ζήνων δὲ Ῥούφῳ ἐδεδώκει πρὸς γάμον· τότε δὲ ἐξ ἀνθρώπων ἐγεγόνει. τοῦ Ζήνωνος οὖν τῶν ἐπιτηδείων ὁ Ἀπολλώνιος γεγονὼς καὶ τὴν στρατηγίδα λαχὼν ἀρχήν, παρὰ τὸν

Ἀττίλαν ἐπέμπετο πρεσβευσόμενος. καὶ τὸν μὲν Ἴστρον ἐπεραιοῦτο, οὐκ ἔτυχε δὲ τῆς πρὸς τὸν βάρβαρον προσόδου. ἐν ὀργῇ γὰρ ἐκεῖνος ποιούμενος τὸ μὴ κεκομίσθαι τοὺς φόρους, οὓς ἔλεγεν αὐτῷ παρὰ τῶν βελτιόνων καὶ βασιλικωτέρων τετάχθαι, οὐδὲ τὸν πρεσβευσάμενον ἐδέχετο, τοῦ πέμψαντος κατολιγωρῶν. ὁ δὲ Ἀπολλώνιος ἀνδρὸς ἔργον κατὰ τοῦτον τὸν καιρὸν φαίνεται διαπραξάμενος. τοῦ γὰρ Ἀττίλα μὴ προσιεμένου τὴν αὐτοῦ πρεσβείαν μηδὲ ἐς λόγους αὐτῷ ἐλθεῖν βουλομένου, παρακελευομένου δὲ πέμπειν ἅπερ αὐτῷ ἐκ βασιλέως δῶρα ἐκόμιζε, καὶ θάνατον ἀπειλοῦντος, εἰ μὴ δοίη, ἔφησεν, "οὐκ αἰτεῖν προσῆκε Σκύθαις ἅπερ αὐτοῖς ἔξεστιν ἢ δῶρα ἢ σκῦλα λαβεῖν", παραδηλῶν δῶρα μὲν αὐτοῖς δοθήσεσθαι, εἰ αὐτὸν προσδέξοιντο πρεσβευόμενον, σκῦλα δέ, εἰ ἀνελόντες ἀφέλοιντο. οὕτω μὲν οὖν ἄπρακτος ἐπανῄει. [Exc. de legat. p. 72—73 Par., 215—216 Niebuhr.]

Ὅτι ὁ Ἀττίλας μετὰ τὸ τὴν Ἰταλίαν ἀνδραποδί- 19
σασθαι ἐπὶ τὰ σφέτερα ἀναζεύξας τοῖς κρατοῦσι τῶν ἑῴων Ῥωμαίων πόλεμον καὶ ἀνδραποδισμὸν τῆς χώρας κατήγγελλεν, ὡς μὴ ἐκπεμφθέντος τοῦ παρὰ Θεοδοσίου τεταγμένου φόρου. [Exc. de legat. p. 40 Par., 153 Niebuhr.]

Ὅτι Ἀρδαβούριος ὁ τοῦ Ἄσπαρος Σαρακηνοῖς 20
ἐπολέμει κατὰ τὴν Δαμασκόν· καὶ ἐκεῖσε παραγενομένου Μαξιμίνου τοῦ στρατηγοῦ καὶ Πρίσκου τοῦ συγγραφέως, εὗρον αὐτὸν τοῖς Σαρακηνῶν πρέσβεσι περὶ εἰρήνης διαλεγόμενον. [Ib. p. 40 Par., 153 Niebuhr.]

[De Ardaburio locus, quem Prisco Niebuhrius vindicat, legitur apud Suidam: Ἀρδαβούριος, υἱὸς Ἄσπαρος, γενναῖος τὸν θυμὸν καὶ τοὺς τὴν Θρᾴκην πολλάκις καταδραμόντας βαρβάρους εὐρώστως ἀποκρου-

σάμενος. τούτῳ οὖν γέρα ἀριστειῶν ὁ βασιλεὺς Μαρκιανὸς παρέσχετο τὴν ἑῴαν στρατοπεδαρχίαν. καταλαβὼν δὲ ἐν εἰρήνῃ ταύτην ὁ στρατηγὸς πρὸς ἄνεσιν ἐτράπη καὶ ῥᾳστώνην θηλυδριῶτιν. ἔχαιρε γὰρ μίμοις καὶ θαυματοποιοῖς καὶ πᾶσι σκηνικοῖς ἀθύρμασι, καὶ τοῖς τοιούτοις διημερεύων αἰσχροῖς ἠλόγει πάμπαν τῶν πρὸς εὔκλειαν τεινόντων. — Μαρκιανοῦ δὲ τοῦ βασιλέως χρηστοῦ μὲν γεγονότος, θᾶττον δὲ ἐκβεβιωκότος, αὐτοκελεύστῳ γνώμῃ Ἄσπαρ Λέοντα διάδοχον αὐτοῦ γενέσθαι παρεσκεύασεν. Prisco haec tribui possunt, si ex iis quae Priscus per plures libros de Ardaburio narrasse debet, pauca delibasse Suidae auctorem statueris. MÜLLERUS.]

21 Ὅτι Βλέμμυες καὶ Νουβάδες ἡττηθέντες ὑπὸ Ῥωμαίων πρέσβεις παρὰ τὸν Μαξιμῖνον ἔπεμπον ἐξ ἀμφοτέρων ἐθνῶν, εἰρήνης πέρι βουλόμενοι σπένδεσθαι. καὶ ταύτην διατηρῆσαι ἔφασαν, ἐφ᾽ ὅσον ὁ Μαξιμῖνος τῇ Θηβαίων ἐγκαταμένοι χώρᾳ. τοῦ δὲ μὴ προσδεξαμένου ἐπὶ χρόνῳ σπένδεσθαι τοσούτῳ, ἔλεγον ἄχρι τῆς αὐτοῦ ζωῆς μὴ κινήσειν ὅπλα. ὡς δὲ οὐδὲ τοὺς δευτέρους τῆς πρεσβείας προσίετο λόγους, ἑκατοντούτεις ἔθεντο σπονδάς· ἐν αἷς ἐδόκει Ῥωμαίων μὲν αἰχμαλώτους ἄνευ λύτρων ἀφεῖσθαι, εἴτε κατὰ ἐκείνην εἴτε κατὰ ἑτέραν ἔφοδον ἥλωσαν, τὰ δὲ τότε ἀπαχθέντα ἀποδοθῆναι βοσκήματα, καὶ τῶν δαπανηθέντων κατατίθεσθαι τὴν ἀποτίμησιν· ὁμήρους δὲ τοὺς (τριακοσίους Nieb.) εὖ γεγονότας παρὰ σφίσι δίδοσθαι πίστεως ἕνεκα τῶν σπονδῶν. εἶναι δὲ αὐτοῖς κατὰ τὸν παλαιὸν νόμον ἀκώλυτον τὴν ἐς τὸ ἱερὸν τῆς Ἴσιδος διάβασιν, τοῦ ποταμίου σκάφους Αἰγυπτίων ἐχόντων τὴν ἐπιμέλειαν, ἐν ᾧπερ τὸ ἄγαλμα τῆς θεοῦ ἐντιθέμενον διαπορθμεύεται. ἐν

ῥητῷ γὰρ οἱ βάρβαροι χρόνῳ ἐς τὴν οἰκείαν διακομίζοντες τὸ ξόανον, πάλιν αὐτῷ χρηστηριασάμενοι ἐς τὴν νῆσον ἀποσώζουσιν. ἐμπεδωθῆναι τοίνυν ἐν τῷ ἐν Φίλαις ἱερῷ τὰς συνθήκας ἐδόκει τῷ Μαξιμίνῳ ἐπιτήδειον ὄν. ἐπέμποντο μετεξέτεροι. παρεγίγνοντο δὲ καὶ τῶν Βλεμμύων καὶ Νουβάδων οἱ τὰς σπονδὰς ἐν τῇ νήσῳ τιθέμενοι. ἐγγραφέντων δὲ τῶν συνδοξάντων καὶ τῶν ὁμήρων παραδοθέντων· ἦσαν δὲ τῶν τε τυραννησάντων καὶ ὑπὸ τυράννων γεγονότων, ὅπερ οὐδεπώποτε ἐν τῷδε τῷ πολέμῳ ἐγένετο· οὔποτε γὰρ Νουβάδων καὶ Βλεμμύων παρὰ Ῥωμαίοις ὡμήρευσαν παῖδες· συνηνέχθη δὲ τὸν Μαξιμῖνον ἀνωμάλως διατεθῆναι τὸ σῶμα καὶ ἀποθανεῖν. τὴν δὲ τοῦ Μαξιμίνου τελευτὴν μαθόντες οἱ βάρβαροι τούς τε ὁμήρους ἀφείλοντο βιασάμενοι καὶ τὴν χώραν κατέδραμον. [Exc. de legat. p. 40—41 Par., 153—154 Niebuhr.]

Ἐπὶ τούτοις Διόσκορος μὲν τὴν Γαγγρηνῶν τῶν 22
Παφλαγόνων οἰκεῖν κατακρίνεται, Προτέριος δὲ τὴν ἐπισκοπὴν ψήφῳ κοινῇ τῆς συνόδου τῆς Ἀλεξανδρέων κληροῦται· ὃς ἐπειδὴ τὸν οἰκεῖον κατειλήφει θρόνον, μέγιστος καὶ ἀνύποιστος τάραχος τῷ δήμῳ διανέστη πρὸς διαφόρους κυμαινομένῳ γνώμας. οἱ μὲν γὰρ Διόσκορον ἐπεζήτουν, οἷάπερ εἰκὸς ἐν τοῖς τοιούτοις γίγνεσθαι, οἱ δὲ Προτερίου μάλα γεννικῶς ἀντείχοντο, ὡς καὶ πολλὰ καὶ ἀνήκεστα προελθεῖν. ἱστορεῖ δ' οὖν Πρίσκος ὁ ῥήτωρ φθῆναι τηνικαῦτα ἐς τὴν Ἀλεξάνδρου ἐκ τῆς Θηβαίων ἐπαρχίας, ἰδεῖν τε τὸν δῆμον ὁμόσε κατὰ τῶν ἀρχόντων χωροῦντα, τῆς τε στρατιωτικῆς δυνάμεως τὴν στάσιν διακωλύειν βουλομένης λίθων βολαῖς αὐτοὺς χρήσασθαι· τρέψασθαί τε τούτους καὶ ἀνὰ τὸ ἱερὸν τὸ πάλαι Σαράπιδος

ἀναδραμόντας ἐκπολιορκῆσαι καὶ πυρὶ ζῶντας παραδοῦναι. ταῦτά τε τὸν βασιλέα μαθόντα δισχιλίους νεολέκτους ἐκπέμψαι, καὶ τοῦ πνεύματος ἐπιτυχόντας οὐριοδρομῆσαι, ὡς ἀνὰ τὴν ἕκτην τῶν ἡμερῶν τῇ μεγάλῃ τῶν Ἀλεξανδρέων προσχεῖν πόλει. κἀντεῦθεν τῶν στρατιωτῶν παροινούντων ἔς τε τὰς γαμετὰς καὶ θυγατέρας τῶν Ἀλεξανδρέων, τῶν προτέρων πολλῷ δεινότερα προελθεῖν. ὕστερόν τε δεηθῆναι τὸν δῆμον τοῦ Φλώρου τῶν στρατιωτικῶν ταγμάτων ἡγουμένου, ὁμοῦ δὲ καὶ τὴν πολιτικὴν διέποντος ἀρχήν, ἀνὰ τὴν ἱπποδρομίαν ἁλισθέντα ὥστε καταπράξασθαι αὐτοῖς τὴν τοῦ σιτηρεσίου χορηγίαν, ἣν παρ' αὐτῶν ἀφῄρητο, τά τε βαλανεῖα καὶ τὴν θέαν καὶ ὅσα διὰ τὴν γενομένην παρ' αὐτῶν ἀταξίαν ἀπεκόπησαν. καὶ οὕτως τὸν Φλῶρον ἐσηγήσει τῇ αὐτοῦ φανέντα τῷ δήμῳ ὑποσχέσθαι τ' αὐτῷ καὶ τὴν στάσιν πρὸς βραχὺ διαλῦσαι. [Euagrius Hist. eccl. II, 5.]

[Nicephorus VIII, 15 quae his addit de Serapidis templo, item Prisci, quem spectat αὐτοῦ v. 15, putat Valesius.]

23 Attila, ut Priscus historicus refert, exstinctionis suae tempore puellam Ildico nomine, decoram valde, sibi in matrimonium post innumerabiles uxores, ut mos erat gentis illius, socians, eiusque in nuptiis magna (al. nimia) hilaritate resolutus, vino somnoque gravatus, resupinus iacebat, redundansque sanguis, qui ei solite de naribus effluebat, dum consuetis meatibus impeditur, itinere ferali faucibus illapsus eum exstinxit. ita glorioso per bella regi temulentia pudendum exitum dedit. sequenti vero luce, cum magna pars diei fuisset exempta, ministri regii triste aliquid suspicantes, post clamores maximos fores effringunt, inveniuntque Attilae sine vulnere

necem sanguinis effusione peractam, puellamque demisso vultu sub velamine lacrymantem. tunc, ut illius gentis mos est, crinium parte truncata, informes facies cavis turpavere vulneribus, ut proeliator eximius non foemineis lamentationibus et lacrymis, sed sanguine lugeretur virili. de quo id accessit mirabile ut Marciano, principi Orientis, de tam feroci hoste sollicito in somnis divinitas adsistens arcum Attilae in eadem nocte fractum ostenderet, quasi quod gens ipsa eo telo multa praesumat. hoc Priscus historicus vera se dicit attestatione probare. nam in tantum magnis imperiis Attila terribilis habitus est ut eius mortem in locum muneris superna regnantibus indicarent. cuius manes quibus modis a sua gente honorati sint pauca de multis dicere non omittamus“ etc., quae et ipsa fortasse sunt Prisci, quem post Attilae necem memorant etiam ad fr. 17 citati. [Iordanes c. 49.]

Ὅτι Γεζερίχου τὴν Ῥώμην πορθήσαντος, καὶ βα- 24
σιλεύοντος Ἀβίτου, Μαρκιανὸς ὁ τῶν τῆς ἕω Ῥωμαίων βασιλεὺς παρὰ τὸν Γεζέριχον τὸν τῶν Βανδίλων ἄρχοντα πρέσβεις ἔστελλεν, ὥστε τῆς Ἰταλῶν ἀπέχεσθαι γῆς καὶ τὰς βασιλείους ἐκπέμπειν γυναῖκας αἰχμαλώτους ἀγομένας, τήν τε Βαλεντινιανοῦ γαμετὴν καὶ τὰς αὐτῆς θυγατέρας. καὶ οἱ πρέσβεις ἐς τὴν ἕω ἄπρακτοι ἐπανήεσαν· οὐδενὶ γὰρ τῶν ἐπεσταλμένων παρὰ τοῦ Μαρκιανοῦ ὁ Γεζέριχος ὑπήκουσεν, οὐδὲ μὴν λύειν τὰς γυναῖκας ἐβούλετο. ὁ δὲ Μαρκιανὸς ἕτερα πρὸς αὐτὸν διέπεμπε γράμματα καὶ τὸν πρεσβευσόμενον Βλήδαν· ἦν δὲ τῆς τοῦ Γεζερίχου αἱρέσεως ἐπίσκοπος· τῆς γὰρ τῶν Χριστιανῶν θρησκείας καὶ τοὺς Βανδίλους εἶναι συμβαίνει. ὃς ἐπειδὴ παρ' αὐτὸν ἀφίκετο καὶ ἔγνω τῇ αὐτοῦ μὴ ὑπακούοντα πρεσβείᾳ, αὐθαδεστέρων λόγων ἥπτετο,

καὶ ἔφη μὴ συνοίσειν αὐτῷ, εἴπερ ὑπὸ τῆς παρούσης εὐημερίας ἀρθεὶς καὶ τῶν κατὰ τὴν ἕω Ῥωμαίων βασιλέα πρὸς πόλεμον αὐτῷ ἀναστῆναι παρασκευάσοι, τὰς βασιλείους μὴ λύων γυναῖκας. ἀλλ᾽ οὔτε ἡ τῶν προηγησαμένων ἐπὶ τῇ πρεσβείᾳ ῥημάτων ἐπιείκεια οὔτε ὁ ἀπειληθεὶς φόβος μέτρια τὸν Γεζέριχον φρονεῖν ἠνάγκασεν· ἄπρακτον γὰρ καὶ τὸν Βλήδαν ἀπέπεμπε, καὶ ἐς τὴν Σικελίαν αὖθις καὶ ἐς τὴν πρόσοικον αὐτῇ Ἰταλίαν δύναμιν διαπεμψάμενος πᾶσαν ἐδῄου. ὁ δὲ Ἄβιτος ὁ τῶν ἑσπερίων Ῥωμαίων βασιλεὺς ἐπρεσβεύετο καὶ αὐτὸς παρὰ τὸν Γεζέριχον, τῶν πάλαι αὐτὸν ὑπομιμνήσκων σπονδῶν, ἃς εἰ μὴ φυλάττειν ἕλοιτο, καὶ αὐτὸν παρασκευάσασθαι, πλήθει τε οἰκείῳ πίσυνον καὶ τῇ τῶν συμμάχων ἐπικουρίᾳ. ἔπεμπε δὲ καὶ τὸν Ῥεκίμερ ἐς τὴν Σικελίαν σὺν στρατῷ. [Exc. de legat. p. 73 Par., 216—217 Niebuhr.]

Ex narratione de Vandalis Italiam et Siciliam diripientibus sumptus etiam fuerit locus Suidae v. *Χάρυβδις: Πρίσκος λέγει περὶ Χαρύβδεως. "παραπλέουσι δὲ τὴν Σικελίαν πρὸς τῇ Μεσσήνῃ κατὰ τὸν πορθμὸν τῆς Ἰταλίας, ἐν ᾧπερ ἡ Χάρυβδις, πνευμάτων ἐπιλαβόντων δυσαῶν, αὐτοῖς ἀνδράσι κατέδυσαν."*

25 *Ὅτι τῶν Ῥωμαίων ἐς Κόλχους ἐλθόντων καὶ συμβαλόντων πόλεμον πρὸς Λαζούς, ὁ μὲν Ῥωμαϊκὸς στρατὸς ἐς τὰ σφέτερα ἐπανέζευξεν, καὶ οἱ ἀμφὶ τὰ βασίλεια πρὸς τὴν ἑτέραν μάχην παρεσκευάζοντο, βουλευόμενοι πότερον τὴν αὐτὴν ἢ τὴν δι᾽ Ἀρμενίας τῆς Περσῶν χώρας προσοίκου πορευθέντες ὁδὸν τὸν πόλεμον ἐπάξουσι, πρότερον πρεσβείᾳ τὸν μόναρχον τῶν Παρθυαίων πείσαντες· κατὰ γὰρ θάλατταν ἄπορος αὐτοῖς πᾶν (ἄπορον αὐτοῖς εἶναι* Nieb.) *ἐνομίζετο*

τὰς δυσχωρίας παραπλεῖν, ἀλιμένου τῆς Κόλχου τυγχανούσης. ὁ δὲ Γωβάζης ἐπρεσβεύετο μὲν καὶ αὐτὸς παρὰ τοὺς Παρθυαίους, ἐπρεσβεύετο δὲ καὶ παρὰ τὸν βασιλέα Ῥωμαίων. καὶ ὁ μὲν τῶν Πάρθων μόναρχος, ὡς πολέμου αὐτῷ συνισταμένου πρὸς Οὔννους τοὺς Κιδαρίτας καλουμένους, ἀπεσείσατο παρ' αὐτὸν τοὺς Λαζοὺς καταφεύγοντας. [Exc. de legat. p. 73—74 Par., 217 Niebuhr.]

Ὅτι Γωβάζης πρεσβεύεται παρὰ Ῥωμαίους. Ῥω- 26
μαῖοι δὲ ἀπεκρίναντο τοῖς παρὰ Γωβάζου σταλεῖσι πρέσβεσιν ὡς ἀφέξονται τοῦ πολέμου, εἴ γε ἢ αὐτὸς Γωβάζης ἀπόθοιτο τὴν ἀρχὴν ἢ τὸν παῖδα τῆς βασιλείας ἀφέλοιτο· οὐ γὰρ θέμις τῆς χώρας ἀμφοτέρους ἡγεμονεύειν παρὰ τὸν παλαιὸν θεσμόν. ὥστε δὲ θάτερον βασιλεύειν, Γωβάζην ἢ τὸν αὐτοῦ παῖδα, τῆς Κολχίδος, καὶ τῇδε λυθῆναι τὸν πόλεμον Εὐφήμιος ἐσηγήσατο, τὴν τοῦ μαγίστρου διέπων ἀρχήν· ὃς ἐπὶ συνέσει καὶ λόγων ἀρετῇ δόξαν ἔχων Μαρκιανοῦ τοῦ βασιλέως τὴν τῶν πραγμάτων ἔλαχεν ἐπιτροπήν, καὶ πλείστων τῶν εὖ βουλευθέντων ἐκείνῳ καθηγητὴς ἐγένετο· ὃς καὶ Πρίσκον τὸν συγγραφέα τῶν τῆς ἀρχῆς φροντίδων ἐδέξατο κοινωνόν. τῆς δὲ αἱρέσεως [τῆς] αὐτῷ δοθείσης, ὁ Γωβάζης εἵλετο τῆς βασιλείας παραχωρῆσαι τῷ παιδί, αὐτὸς τὰ σύμβολα ἀποθέμενος τῆς ἀρχῆς. καὶ παρὰ τὸν κρατοῦντα Ῥωμαίων τοὺς δεησομένους ἔπεμπεν, ὡς ἑνὸς Κόλχου (Κόλχων Nieb.) ἡγεμονεύοντος οὐκέτι δι' αὐτὸν χαλεπαίνοντα ἐπὶ τὰ ὅπλα χωρεῖν. βασιλεὺς δὲ διαβαίνειν αὐτὸν ἐς τὴν Ῥωμαίων ἐκέλευε καὶ τῶν αὐτῷ δεδογμένων διδόναι λόγον. ὃς δὲ τὴν μὲν ἄφιξιν οὐκ ἠρνήσατο, Διονύσιον δὲ τὸν ἐς τὴν Κολχίδα πάλαι διαπεμφθέντα τῆς τε αὐτοῦ Γωβάζου διαφορᾶς

ἕνεκα πίστιν δώσοντα ᾔτησεν, ὡς οὐδὲν ὑποσταίη ἀνήκεστον. διὸ δὴ ἐς τὴν Κολχίδα Διονύσιος ἐστέλλετο, καὶ περὶ τῶν διαφόρων συνέβησαν. [Exc. de legat. p. 41 Par., 155—156 Niebuhr.]

27 Ὅτι ὁ Μαιοριανὸς ὁ τῶν ἑσπερίων Ῥωμαίων βασιλεύς, ὡς αὐτῷ οἱ ἐν Γαλατίᾳ Γότθοι σύμμαχοι κατέστησαν, καὶ τὰ παροικοῦντα τὴν αὐτοῦ ἐπικράτειαν ἔθνη τὰ μὲν ὅπλοις, τὰ δὲ λόγοις παρεστήσατο, καὶ ἐπὶ τὴν Λιβύην σὺν πολλῇ διαβαίνειν ἐπειρᾶτο δυνάμει, νεῶν ἀμφὶ τὰς τριακοσίας ἠθροισμένων αὐτῷ. πρέσβεις μὲν πρότερον παρ' αὐτὸν ὁ τῶν Βανδίλων ἡγούμενος ἔπεμπε, λύειν τὰ διάφορα λόγοις βουλόμενος· ὡς δὲ οὐκ ἔπειθε, τὴν Μαυρουσίων γῆν, ἐς ἣν τοὺς ἀμφὶ τὸν Μαιοριανὸν ἀπὸ τῆς Ἰβηρίας ἀποβαίνειν ἐχρῆν, πᾶσαν ἐδῄωσε καὶ ἐκάκωσε καὶ τὰ ὕδατα. [Exc. de legat. p. 41 Par., 156 Niebuhr. Prima huius fragmenti repetit Ioannes Antiochenus fr. 203.]

28 Ὅτι τοῦ Βαλάμερος τοῦ Σκύθου παρασπονδήσαντος καὶ πολλὰς πόλεις δῃωσαμένου καὶ χώρας Ῥωμαϊκάς, ἔπεμπον παρ' αὐτὸν οἱ Ῥωμαῖοι πρέσβεις, οἳ αὐτῷ τοῦ νεωτερισμοῦ κατεμέμφοντο, καὶ ὥστε μὴ αὖθις τὴν χώραν καταδραμεῖν τριακοσίας λίτρας φέρειν αὐτῷ ἑκάστου ἔτους ἔταξαν· σπάνει γὰρ τῶν ἀναγκαίων ἔφραξε πρὸς πόλεμον τὸ οἰκεῖον διαναστῆναι πλῆθος. [Exc. de legat. p. 74 Par., 217—218 Niebuhr.]

29 Ὅτι ὁ Γεζέριχος οὐκέτι ταῖς πρὸς Μαιοριανὸν τεθείσαις σπονδαῖς ἐμμένων Βανδίλων καὶ Μαυρουσίων πλῆθος ἐπὶ δῃώσει τῆς Ἰταλίας καὶ Σικελίας ἔπεμπε, Μαρκελλίνου ἤδη πρότερον τῆς νήσου ἀναχωρήσαντος διὰ τὸ Ῥεκίμερα παρελέσθαι αὐτὸν τῆς

δυνάμεως ἐθελήσαντα τοὺς παρεπομένους αὐτῷ Σκύθας, ἦσαν δὲ ἐν πλείστοις ἀνδράσι, παραπείθειν χρήμασιν ὥστε ἐκεῖνον μὲν ἀπολιπεῖν, ἀφικέσθαι . . . [*δὲ πρὸς αὐτόν. τοῦτ' ἐποίησε τὸν Μαρκελλῖνον* supplet Nieb.] *εὐλαβηθέντα τὴν ἐπιβουλήν, οὐ γὰρ ἀντιφιλοτιμεῖσθαι τῷ Ῥεκίμερος ἐδύνατο πλούτῳ, τῆς Σικελίας ὑπονοστῆσαι. ἐστέλλετο οὖν καὶ παρὰ τὸν Γεζέριχον πρεσβεία, τοῦτο μὲν παρὰ τοῦ Ῥεκίμερος, ὡς οὐ δεῖ κατολιγωρεῖν αὐτὸν τῶν σπονδῶν, τοῦτο δὲ καὶ παρὰ τοῦ κρατοῦντος τῶν ἐν τῇ ἕῳ Ῥωμαίων, ἐφ' ᾧ τῆς Σικελίας καὶ τῆς Ἰταλίας ἀπέχεσθαι καὶ τὰς βασιλείους ἐκπέμπειν γυναῖκας. Γεζέριχος δέ, πολλῶν πρὸς αὐτὸν πρεσβευτῶν κατὰ διαφόρους σταλέντων χρόνους, τὰς γυναῖκας οὐ πρότερον διαφῆκε πρὶν ἢ τὴν πρεσβυτέραν τῶν Βαλεντινιανοῦ θυγατέρων, Εὐδοκία δὲ ἦν ὄνομα αὐτῇ, Ὀνωρίχῳ τῷ ἑαυτοῦ παιδὶ κατηγγύησε. τότε γὰρ καὶ τὴν Εὐδοξίαν τὴν Θεοδοσίου θυγατέρα ἀπέπεμπε σὺν Πλακιδίᾳ τῇ ἑτέρᾳ αὐτῆς θυγατρί, ἣν ἐγεγαμήκει Ὀλύβριος. τοῦ δὲ τὰς Ἰταλίας καὶ Σικελίαν δῃοῦν ὁ Γεζέριχος οὐκ ἀπέστη, ἀλλὰ μᾶλλον αὐτὰς ἐξεπόρθει, μετὰ τὸν Μαιοριανὸν βουληθεὶς βασιλεύειν τῶν ἐν τῇ ἑσπέρᾳ Ῥωμαίων Ὀλύβριον διὰ τὴν ἐξ ἐπιγαμίας συγγένειαν.* [Exc. de legat. p. 74 Par., 218—219 Niebuhr. Postrema huius fragmenti repetit Ioannes Antiochenus fr. 204.]

Ὅτι οἱ ἑσπέριοι Ῥωμαῖοι ἐς δέος ἐλθόντες περὶ 30
Μαρκελλίνου μήποτε αὐξανομένης αὐτῷ τῆς δυνάμεως καὶ ἐπ' αὐτοὺς ἀγάγοι τὸν πόλεμον, διαφόρως ταραττομένων αὐτοῖς τῶν πραγμάτων, τοῦτο μὲν ἐκ Βανδίλων, τοῦτο δὲ καὶ Αἰγιδίου, ἀνδρὸς ἐκ Γαλατῶν μὲν τῶν πρὸς τῇ ἑσπέρᾳ ὁρμωμένου, τῷ δὲ

22*

Μαιοριανῷ συστρατευσαμένου καὶ πλείστην ἀμφ' αὑτὸν ἔχοντος δύναμιν καὶ χαλεπαίνοντος διὰ τὴν τοῦ βασιλέως ἀναίρεσιν· ὃν τοῦ πρὸς Ἰταλιώτας τέως ἀπήγαγε πολέμου ἡ πρὸς Γότθους τοὺς ἐν Γαλατίᾳ διαφορά. περὶ γὰρ τῆς ὁμόρου πρὸς ἐκείνους διαφιλονεικῶν γῆς καρτερῶς ἐμάχετο, καὶ ἀνδρὸς ἔργα μέγιστα ἐν ἐκείνῳ ἐπεδείξατο τῷ πολέμῳ. τούτων δὴ ἕνεκα οἱ ἑσπέριοι Ῥωμαῖοι παρὰ τοὺς ἑῴους πρέσβεις ἔστειλαν, ὥστε αὐτοῖς καὶ τὸν Μαρκελλῖνον καὶ τοὺς Βανδίλους διαλλάξαι. πρὸς μὲν τὸν Μαρκελλῖνον Φύλαρχος σταλεὶς ἔπεισε κατὰ Ῥωμαίων ὅπλα μὴ κινεῖν. ὁ δὲ παρὰ τοὺς Βανδίλους διαβὰς ἄπρακτος ἀνεχώρει, τοῦ Γεζερίχου μὴ ἄλλως τὸν πόλεμον καταθήσειν ἀπειλοῦντος, εἰ μή γε αὐτῷ ἡ τοῦ Βαλεντινιανοῦ καὶ Ἀετίου περιουσία δοθῇ. καὶ γὰρ καὶ παρὰ τῶν ἑῴων Ῥωμαίων ἐκεκόμιστο μοῖραν τῆς Βαλεντινιανοῦ περιουσίας ὀνόματι Εὐδοκίας τῆς τῷ Ὀνωρίχῳ γεγαμημένης. διὸ δὴ ἔτους ἑκάστου ταύτην τοῦ πολέμου πρόφασιν ποιούμενος, εὐθὺς ἦρος ἀρχομένου σὺν στόλῳ τὴν ἐκστρατείαν ἐποιεῖτο ἐπί τε Σικελίαν καὶ τὰς Ἰταλίας· καὶ ταῖς μὲν πόλεσιν, ἐν αἷς μάχιμον δύναμιν τῶν Ἰταλιωτῶν εἶναι συνέβαινεν, οὐ ῥαδίως προσεφέρετο· καταλαμβάνων δὲ χωρία, ἐν οἷς μὴ ἔτυχεν οὖσα ἀντίπαλος δύναμις, ἐδῄου τε καὶ ἠνδραποδίζετο. οὐ γὰρ πρὸς πάντα τὰ προσβάσιμα τοῖς Βανδίλοις μέρη οἱ Ἰταλιῶται ἀρκεῖν ἐδύναντο, πλήθει τῶν πολεμίων βιαζόμενοι καὶ τῷ μὴ παρεῖναι σφίσι ναυτικὴν δύναμιν, ἣν παρὰ τῶν ἑῴων αἰτοῦντες οὐκ ἐτύγχανον διὰ τὰς πρὸς Γεζέριχον ἐκείνοις τεθείσας σπονδάς· ὅπερ ἔτι μάλιστα ἐκάκωσε τὰ ἐν τῇ ἑσπέρᾳ Ῥωμαίων πράγματα διὰ τὸ διῃρῆσθαι τὴν βασιλείαν.

Ἐπρεσβεύσαντο δὲ κατ' ἐκεῖνον τὸν χρόνον κατὰ τοὺς ἑῴους Ῥωμαίους Σαράγουροι καὶ Οὔρωγοι καὶ Ὀνόγουροι, ἔθνη ἐξαναστάντα τῶν οἰκείων ἠθῶν, Σαβίρων ἐς μάχην σφίσιν ἐληλυθότων, οὓς ἐξήλασαν Ἄβαροι, μετανάσται γενόμενοι ὑπὸ ἐθνῶν οἰκούντων μὲν τὴν παρωκεανῖτιν ἀκτήν, [τὴν δὲ χώραν ἀπολιπόντων διὰ τὸ ἐξ ἀναχύσεως τοῦ ὠκεανοῦ ὁμιχλῶδες γιγνόμενον καὶ γρυπῶν (γυπῶν Hemst.: v. Steph. Thes.) δὲ πλῆθος ἀναφανέν· ὅπερ ἦν λόγος μὴ πρότερον παύσεσθαι πρὶν ἢ βορὰν ποιήσασθαι τὸ τῶν ἀνθρώπων γένος· διὸ δὴ ὑπὸ τῶνδε ἐλαυνόμενοι τῶν δεινῶν τοῖς πλησιοχώροις ἐνέβαλον, καὶ τῶν ἐπιόντων δυνατωτέρων ὄντων οἱ τὴν ἔφοδον μὴ ὑφιστάμενοι μετανίσταντο·] ὥσπερ καὶ οἱ Σαράγουροι ἐλαθέντες κατὰ ζήτησιν γῆς πρὸς τοῖς Ἀκατίροις Οὔννοις ἐγένοντο, καὶ μάχας πρὸς ἐκείνους πολλὰς συστησάμενοι τό τε φῦλον κατηγωνίσαντο καὶ πρὸς Ῥωμαίους ἀφίκοντο, τυχεῖν τῆς αὐτῶν βουλόμενοι ἐπιτηδειότητος. βασιλεὺς οὖν καὶ οἱ ἀμφ' αὐτὸν φιλοφρονησάμενοι καὶ δῶρα δόντες αὐτοὺς ἀπέπεμψαν.

[Quae hic leguntur de Saraguris etc., eorum plurima habet etiam Suidas v. *Ἄβαρις*. Hinc Classenus supplevit verba uncis distincta *τὴν δὲ χώραν* usque ad *μετανίσταντο*. Nonnulla huius loci repetit Suidas v. *Ἀκατίροι* et *Σαράγουροι*.

Marcellinus his temporibus in Dalmatia suum sibi quasi regnum habere coepit. Nescio an ex hac narrationis parte petita sit Salones urbis mentio ap. Stephanum Byz.: *Σαλῶναι, πόλις Δελματίας, ὧν Σαλωνεὺς τὸ ἐθνικόν, ὡς Πρίσκος ἐν ἕκτῳ.* MÜLLER.]

Ὅτι στασιασάντων τῶν φυγάδων ἐθνῶν κατὰ 31
τοὺς κατὰ τὴν ἕω Ῥωμαίους, παρὰ τῶν Ἰταλῶν πρεσ-

βεία ἀφίκετο λέγουσα ὡς οὐχ ὑποστήσονται, εἰ μή γε σφίσι τοὺς Βανδίλους διαλλάξοιεν. ἀφίκετο δὲ καὶ παρὰ τοῦ Περσῶν μονάρχου, τῶν τε παρ' αὐτοὺς καταφευγόντων ἐκ τοῦ σφετέρου ἔθνους αἰτίαν ἔχουσα καὶ τῶν Μάγων τῶν ἐν τῇ Ῥωμαίων γῇ ἐκ παλαιῶν οἰκούντων χρόνων, ὡς ἀπάγειν αὐτοὺς τῶν πατρίων ἐθῶν καὶ νόμων ἐθέλοντες καὶ τῆς περὶ τὸ θεῖον ἁγιστείας παρενοχλοῦσί τε ἐς ἀεὶ καὶ ἀνακαίεσθαι κατὰ τὸν θεσμὸν οὐ συγχωροῦσι τὸ παρ' αὐτοῖς ἄσβεστον καλούμενον πῦρ, καὶ ὡς χρὴ τοῦ Ἰουροειπαὰχ φρουρίου ἐπὶ τῶν Κασπίων κειμένου πυλῶν χρήματα χορηγοῦντας Ῥωμαίους ποιεῖσθαι ἐπιμέλειαν ἢ γοῦν τοὺς φρουρήσοντας αὐτὸ στρατιώτας στέλλειν, καὶ μὴ μόνους [σφᾶς] δαπάνῃ καὶ φυλακῇ τοῦ χωρίου βαρύνεσθαι· εἰ γὰρ ἐνδοῖεν, οὐκ ἐς Πέρσας μόνους, ἀλλὰ καὶ ἐς Ῥωμαίους τὰ ἐκ τῶν παροικούντων ἐθνῶν κακὰ ῥαδίως ἀφίξεσθαι. χρῆναι δὲ αὐτοὺς ἔλεγον καὶ χρήμασιν ἐπικουρεῖν ἐπὶ τῷ πρὸς Οὔννους πολέμῳ τοὺς Κιδαρίτας λεγομένους· ἔσεσθαι γὰρ σφίσιν αὐτῶν νικώντων ὄνησιν, μὴ συγχωρουμένου τοῦ ἔθνους καὶ ἐς τὴν Ῥωμαϊκὴν διαβαίνειν ἐπικράτειαν. πάντων δὲ ἕνεκα Ῥωμαίων ἀποκριναμένων στέλλειν τὸν διαλεξόμενον τῷ Παρθυαίῳ μονάρχῃ· μήτε γὰρ φυγάδας εἶναι παρὰ σφίσι μήτε παρενοχλεῖσθαι τοὺς Μάγους τῆς θρησκείας πέρι· τὴν φυλακὴν δὲ τοῦ Ἰουροειπαὰχ φρουρίου καὶ πόλεμον τὸν πρὸς τοὺς Οὔννους ὑπὲρ σφῶν αὐτῶν ἀναδεδεγμένους μὴ δικαίως χρήματα αἰτεῖν παρ' αὐτῶν. — ἐπρεσβεύσατο δὲ παρὰ μὲν Βανδίλους ὑπὲρ Ἰταλῶν Τατιανὸς ἐν τῇ τῶν πατρικίων ἀξίᾳ καταλεγόμενος, παρὰ δὲ Πέρσας Κωνστάντιος (Κωνσταντῖνος hic et p. 343, 8 cod.), *τρίτον*

μὲν τὴν ὕπαρχον (ὕπατον p. 328, 14, et infra v. 8) λαχὼν ἀρχήν, πρὸς δὲ τῇ ὑπατικῇ ἀξίᾳ καὶ τῆς πατρικιότητος τυχών. [Exc. de legat. p. 42—43 Par., 156—160 Niebuhr.]

Ὅτι ἐπὶ Λέοντος βασιλέως Ῥωμαίων ἐπρεσβεύ- 32
ετο παρὰ μὲν Βανδίλους ὑπὲρ Ἰταλῶν Τατιανός, ἐν τῇ τῶν πατρικίων ἀξίᾳ καταλεγόμενος, παρὰ δὲ Πέρσας Κωνστάντιος, τρίτον μὲν τὴν ὕπατον λαχὼν ἀρχήν, πρὸς δὲ τῇ ὑπατικῇ ἀξίᾳ καὶ τῆς πατρικιότητος τυχών. καὶ Τατιανὸς μὲν ἐκ Βανδίλων εὐθὺς ἄπρακτος ἀνεχώρησε, τῶν αὐτοῦ ὑπὸ τοῦ Γεζερίχου μὴ παραδεχθέντων λόγων· ὁ δὲ Κωνστάντιος τῇ Ἐδέσσῃ, Ῥωμαϊκῇ μὲν πόλει, προσοίκῳ δὲ τῆς Περσῶν χώρας, ἐγκατέμεινεν, ἐσδέξασθαι αὐτὸν ἐπὶ πολὺ διαναβαλλομένου τοῦ Παρθυαίου μονάρχου. [Exc. de legat. p. 74—75 Par., 219 Niebuhr.]

Ὅτι τὸν Κωνστάντιον τὸν πρεσβευτὴν ἐν τῇ 33
Ἐδέσσῃ χρόνον ἐπιμείναντα, ὡς εἴρηταί μοι, τῆς πρεσβείας πέρι, τότε ἐδέξατο ὁ Περσῶν μόναρχος ἐς τὴν σφετέραν, καὶ παρ' αὐτὸν ἀφικέσθαι προσέταξεν, οὐκ ἐν ταῖς πόλεσιν, ἀλλὰ γὰρ ἐν τοῖς μεθορίοις αὐτῶν τε καὶ Οὔννων τῶν Κιδαριτῶν τὰς διατριβὰς ποιούμενος . . . [πρὸς οὓς πόλεμος addit Nieb.] αὐτῷ συνίστατο αἰτίαν ἔχων ὡς τοὺς φόρους τῶν Οὔννων μὴ κομιζομένων, οὓς οἱ πάλαι μὲν τῶν Περσῶν καὶ Πάρθων βασιλεύοντες ἔθεντο. ὧν ὁ πατὴρ [τὴν τοῦ φόρου] ἀπαρνησάμενος ἀπαγωγὴν τὸν πόλεμον ὑπεδέξατο, καὶ τοῦτον μετὰ τῆς βασιλείας παρέπεμψε τῷ παιδί, ὥστε ταῖς μάχαις ἐπιτριβομένους τοὺς Πέρσας ἀπάτῃ ἐθελῆσαι τὴν τῶν Οὔννων λῦσαι διαφοράν, καὶ δῆτα διαπέμψασθαι τὸν Πειρώζην, τοῦτο γὰρ ἦν ὄνομα τῷ τότε Περσῶν βασιλεύοντι, πρὸς

τὸν Κούγχαν τὸν Οὔννων ἡγούμενον, ὡς τὴν πρὸς αὐτὸν ἀσμενίζων εἰρήνην ἐπί τε συμμαχίᾳ σπένδεσθαι βούλοιτο καὶ τὴν αὐτοῦ κατεγγυᾷ ἀδελφήν. νεώτατον γὰρ αὐτὸν εἶναι συνέβαινε καὶ μηδέπω παίδων εἶναι πατέρα. τὸν δὲ προσδεξάμενον τοὺς λόγους γήμασθαι οὐ τοῦ Πειρώζου ἀδελφήν, ἀλλ' ἑτέραν γυναῖκα βασιλικῶς διακοσμηθεῖσαν, ἣν ὁ Περσῶν μόναρχος ἐξέπεμψε, παρεγγυήσας ὡς οὐδὲν μὲν ἀνακαλύπτουσα τῶν ἐσχηματισμένων βασιλείας καὶ εὐδαιμονίας μεθέξει, ἐκλέγουσα δὲ τὴν ὑπόκρισιν θάνατον ἕξει ζημίαν· οὐ γὰρ ἀνέξεσθαι τὸν Κιδαριτῶν ἄρχοντα θεράπαιναν ἔχειν γαμετὴν ἀντὶ τῆς εὖ γενομένης. τούτου χάριν σπεισάμενος ὁ Πειρώζης πρὸς τὸν τῶν Οὔννων ἡγούμενον οὐκ ἐπὶ πολὺ τῆς ἀπάτης ἀπώνατο· εὐλαβηθεῖσα γὰρ ἡ γυνὴ μήποτε ὁ ἄρχων τοῦ ἔθνους ὑπὸ ἑτέρων πυθόμενος τὴν αὐτῆς τύχην χαλεπῷ αὐτὴν ὑφέξει θανάτῳ, μηνύει τὸ μελετηθέν. ὁ δὲ Κούγχας ἐπαινέσας τὴν γυναῖκα τῆς ἀληθείας αὐτὴν μὲν ἔμεινεν ἔχων γαμετήν, τίσασθαι δὲ τοῦ δόλου Πειρώζην ἐθέλων πόλεμον πρὸς τοὺς ὁμόρους ἔχειν ὑπεκρίνετο, δεῖσθαί τε ἀνδρῶν οὐ τῶν πρὸς μάχην ἐπιτηδείων, μυρίον γὰρ αὐτῷ παρεῖναι πλῆθος, ἀλλὰ τῶν στρατηγησόντων αὐτῷ τὸν πόλεμον. ὁ δὲ τριακοσίους αὐτῷ ἄνδρας τῶν λογάδων ἐξέπεμψε. καὶ τοὺς μὲν ὁ τῶν Κιδαριτῶν ἄρχων ἀπέκτεινε, τοὺς δὲ λωβησάμενος παρὰ τὸν Πειρώζην ἀπέπεμψεν ἀπαγγελοῦντας ὡς τῆς ἀπάτης ταύτην ἔδωκε δίκην. οὕτως αὖθις αὐτοῖς ὁ πόλεμος ἀνεζωπυρήθη, καὶ ἐμάχοντο καρτερῶς. ἐν Γόργᾳ τοίνυν, τοῦτο γὰρ ὄνομα τῷ χωρίῳ, ἐν ᾧπερ συνέβαινε τοὺς Πέρσας στρατοπεδεύεσθαι, τὸν Κωνστάντιον ὁ Πειρώζης ἐδέχετο, καί τινας ἡμέρας φιλοφρονησάμενος

διαφῆκε, δεξιὸν οὐδὲν περὶ τῆς πρεσβείας ἀποκρινάμενος. [Exc. de legat. p. 75—76 Par., 219—221 Niebuhr.]

Ὅτι μετὰ τὸν ἐμπρησμὸν τῆς πόλεως τὸν ἐπὶ 34
Λέοντος ἧκεν ὁ Γωβάζης σὺν Διονυσίῳ ἐς τὴν Κωνσταντίνου, Περσικὴν ἔχων στολὴν καὶ τῷ Μηδικῷ δορυφορούμενος τρόπῳ. ὃν οἱ ἀμφὶ τὰ βασίλεια δεξάμενοι πρότερον μὲν τοῦ νεωτερισμοῦ κατεμέμψαντο, ἔπειτα δὲ φιλοφρονησάμενοι ἀπέπεμψαν· εἷλε γὰρ αὐτοὺς τῇ τε θωπείᾳ τῶν λόγων καὶ τὰ τῶν Χριστιανῶν ἐπιφερόμενος σύμβολα. [Exc. de legat. p. 43—44 Par., 160 Niebuhr.]

Ὅτι Σκίροι καὶ Γότθοι ἐς πόλεμον συνελθόντες 35
καὶ διαχωρισθέντες ἀμφότεροι πρὸς συμμάχων μετάκλησιν παρεσκευάζοντο· ἐν οἷς καὶ παρὰ τοὺς ἑῴους ἦλθον. καὶ Ἄσπαρ μὲν ἡγεῖτο μηδετέροις συμμαχεῖν, ὁ δὲ αὐτοκράτωρ Λέων ἐβούλετο Σκίροις ἐπικουρεῖν. καὶ δὴ γράμματα πρὸς τὸν ἐν Ἰλλυριοῖς στρατηγὸν ἔπεμπεν, ἐντελλόμενος σφίσι κατὰ τῶν Γότθων βοήθειαν τὴν προσήκουσαν πέμπειν. [Ibid. p. 44 Par., 160 Niebuhr.]

Ὅτι ἧκε κατὰ τοῦτον τὸν χρόνον παρὰ τῶν Ἀτ- 36
τίλα παίδων ὡς τὸν βασιλέα Λέοντα πρεσβεία, τὰς αἰτίας διαλύουσα τῆς προϋπαρξάσης διαφορᾶς, καὶ ὡς χρὴ αὐτοὺς ἐπὶ εἰρήνῃ σπένδεσθαι, καὶ κατὰ τὸ παλαιὸν ἔθος παρὰ τὸν Ἴστρον ἐς ταὐτὸν ἰόντας Ῥωμαίοις προτιθέναι ἀγορὰν καὶ ἀντιλαμβάνειν ὧν ἂν δεόμενοι τύχοιεν. καὶ ἡ μὲν σφῶν αὐτῶν πρεσβεία ἐν τοῖσδε οὖσα ἄπρακτος ἐπανῄει· οὐ γὰρ ἐδόκει τῷ βασιλεύοντι Οὔννους τῶν Ῥωμαϊκῶν συμβολαίων μετέχειν πολλὰ τὴν αὐτοῦ κακώσαντας γῆν· οἱ δὲ τοῦ Ἀττίλα παῖδες τὴν ἐπὶ τῇ πρεσβείᾳ ἀπόκρισιν

δεξάμενοι πρὸς σφᾶς διεφέροντο· ὁ μὲν γὰρ Δεγγιζίχ, ἀπράκτως ἐπανελθόντων τῶν πρέσβεων, πόλεμον Ῥωμαίοις ἐπάγειν ἐβούλετο, ὁ δὲ Ἡρνὰχ πρὸς ταύτην ἀπηγόρευε τὴν παρασκευήν, ὡς τῶν κατὰ χώραν ἀπαγόντων αὐτὸν πολέμων. [Exc. de legat. p. 44 Par., 160—161 Niebuhr.]

37 Ὅτι Σαράγουροι Ἀκατίροις καὶ ἄλλοις ἔθνεσιν ἐπιθέμενοι ἐπὶ Πέρσας ἐστράτευον. καὶ πρότερον μὲν ἐπὶ Κασπίας παρεγένοντο πύλας· καὶ φρουρὰν Περσικὴν ἐν αὐταῖς ἐγκαθεστῶσαν εὑρόντες ἑτέραν ὁδὸν ἐτράποντο, δι' ἧς ἐπὶ τοὺς Ἴβηρας ἐλθόντες τήν τε αὐτῶν ἐδῄουν καὶ τὰ Ἀρμενίων χωρία κατέτρεχον, ὥστε Πέρσας πρὸς τῷ πολέμῳ τῶν Κιδαριτῶν τῷ πάλαι αὐτοῖς συστάντι καὶ ταύτην εὐλαβουμένους τὴν ἔφοδον παρὰ Ῥωμαίους πρεσβεύσασθαι καὶ αἰτεῖν χρήματα σφίσιν αὐτοῖς δίδοσθαι ἢ ἄνδρας πρὸς φυλακὴν τοῦ Ἰουροειπαὰχ φρουρίου, καὶ λέγειν ἅπερ αὐτοῖς πολλάκις εἴρητο πρεσβευομένοις, ὡς αὐτῶν ὑφισταμένων τὰς μάχας καὶ μὴ συγχωρούντων τὰ ἐπιόντα ἔθνη βάρβαρα πάροδον ἔχειν ἡ τῶν Ῥωμαίων ἀδῄωτος διαμένει χώρα. τῶν δὲ ἀποκριναμένων ὡς ἕκαστον ἀνάγκη τῆς οἰκείας ὑπερμαχοῦντα γῆς τῆς σφετέρας φρουρᾶς ἐπιμελεῖσθαι, πάλιν ἄπρακτοι ἐπανέζευξαν. [Exc. de legat. p. 44 Par., 161—162 Niebuhr.]

38 Ὅτι Δεγγιζὶχ πόλεμον ἐπὶ Ῥωμαίους ἐπενεγκόντος καὶ τῇ τοῦ Ἴστρου ὄχθῃ προσκαρτεροῦντος, τοῦτο μαθὼν ὁ Ὀρνιγίσκλου (Ἀρνεγίσκλου Iordani, Ἀνεγίσκλου Ioanni Ant. fr. 206)· αὐτὸς γὰρ εἶχε τὴν πρὸς τῷ Θρᾳκίῳ μέρει τοῦ ποταμοῦ φυλακήν· ἐκ τῶν ἀμφ' αὐτὸν ἐκπέμψας ἐπυνθάνετο ὅ,τι βουλόμενοι πρὸς μάχην παρασκευάζονται. ὁ δὲ

Δεγγιζὶχ τοῦ Ἀναγάστου κατολιγωρήσας τοὺς ὑπ' αὐτοῦ πεμφθέντας ἀπράκτους ἠφίει, παρὰ δὲ τὸν βασιλέα τοὺς διαλεξομένους ἔστελλεν, ὡς εἰ μὴ γῆν καὶ χρήματα αὐτῷ [καὶ τῷ] ἑπομένῳ δοίη στρατῷ, πόλεμον ἐπάξει. τῶν δὲ παρ' ἐκείνου πρέσβεων ἐς τὰ βασίλεια ἀφικομένων καὶ τὰ αὐτοῖς ἐνταλθέντα ἀπαγγειλάντων, ἀπεκρίνατο βασιλεὺς ἑτοίμως ἔχειν πάντα ποιεῖν, εἴ γε ὑπακουσόμενοι αὐτῷ παραγένωνται· χαίρειν γὰρ τοῖς ἀπὸ τῶν ἐχθρῶν ἐπὶ συμμαχίᾳ ἀφικνουμένοις. [Exc. de legat. p. 44—45 Par., 162 Niebuhr.]

Ὅτι Ἀναγάστου καὶ Βασιλίσκου καὶ Ὀστρύου καὶ 39
ἄλλων τινῶν στρατηγῶν Ῥωμαίων τοὺς Γότθους ἔς τινα κοῖλον χῶρον συγκλεισάντων καὶ πολιορκούντων, λιμῷ τε πιεζομένων τῶν Σκυθῶν σπάνει τῶν ἐπιτηδείων, πρεσβείαν παρὰ τοὺς Ῥωμαίους ποιήσασθαι, ὥστε αὐτοὺς ἐνδιδόασι νεμομένους γῆν ὑπακούειν αὐτῶν ἐς ὅ,τι ἂν θέλοιεν. τῶν δὲ ἐπὶ βασιλέα τὴν ἐκείνων φέρειν ἀποκριναμένων πρεσβείαν, καὶ τῶν βαρβάρων τοῦ λιμοῦ πέρι σφᾶς θέσθαι ἐθέλειν τὰς συμβάσεις φαμένων, καὶ μὴ οἵους τε εἶναι μακρὰς ποιεῖσθαι ἀνακωχάς, βουλευόμενοι οἱ τὰς Ῥωμαϊκὰς τάξεις διέποντες, τροφὰς χορηγήσειν αὐτοῖς ὑπέσχοντο ἄχρι τῆς βασιλέως ἐπιτροπῆς, εἴ γε σφᾶς αὐτοὺς διέλοιεν ὥσπερ καὶ τὸ Ῥωμαϊκὸν διακέκριται πλῆθος· ἔσεσθαι γὰρ αὐτῶν ῥᾳδίως οὕτως ἐπιμέλειαν, ἐς τοὺς κληρουμένους καὶ οὐκ ἐς πάντας ἀποβλεπόντων τῶν στρατηγῶν, οἵπερ ἐς φιλοτιμίαν ὁρῶντες πρὸς τὴν αὐτῶν πάντως ἁμιλληθήσονται κομιδήν. τῶν δὲ Σκυθῶν τοὺς ἀπαγγελθέντας διὰ τῶν πρέσβεων προσδεξαμένων λόγους καὶ ἐς τοσαύτας σφᾶς αὐτοὺς ταξάντων μοίρας, ἐς ὅσασπερ καὶ

οἱ Ῥωμαῖοι διεκέκριντο, Χελχάλ, τοῦ Οὔννων γένους ἀνὴρ καὶ ὑποστράτηγος τῶν διεπόντων τὰ Ἄσπαρος τάγματα, παρὰ τὴν ἐπιλαχοῦσαν αὐτοῖς βαρβαρικὴν μοῖραν ἐλθών, καὶ τῶν Γότθων, πλείονες δὲ τῶν ἄλλων ὑπῆρχον, μεταπεμψάμενος τοὺς λογάδας τοιῶνδε ἐποιήσατο λόγων ἀρχήν, ὡς δώσει μὲν αὐτοῖς γῆν ὁ βασιλεύς, οὐκ ἐς σφετέραν δὲ αὐτῶν ὄνησιν, ἀλλὰ τοῖς ἐν σφίσιν Οὔννοις. τούτους γὰρ ὀλιγώρως γεηπονίας ἔχοντας δίκην λύκων τὰς αὐτῶν ἐπιόντας διαρπάζεσθαι τροφάς, ὥστε θεραπόντων τάξιν ἐπέχοντας τῆς ἐκείνων ἕνεκα ταλαιπωρεῖσθαι τροφῆς, καίπερ ἐς ἀεί ποτε τοῖς Οὔννοις τοῦ Γότθων γένους ἀσπόνδου διαμείναντος, καὶ ἐκ προγόνων τὴν αὐτῶν ἀποφυγεῖν ὁμαιχμίαν ὁμοσαμένων, ἐφ᾽ ᾧ καὶ ὅρκων πατρίων πρὸς τῇ τῶν οἰκείων στερήσει καταφρονεῖν. αὐτὸν δέ, εἰ καὶ τὸ Οὔννων αὐχεῖ γένος, δικαιοσύνης πόθῳ τάδε πρὸς αὐτοὺς εἰπόντα δεδωκέναι περὶ τοῦ πρακτέου βουλήν. ἐπὶ τούτοις οἱ Γότθοι διαταραχθέντες, καὶ εὐνοίᾳ τῇ πρὸς αὐτοὺς ταῦτα τὸν Χελχὰλ εἰρηκέναι νομίσαντες, τοὺς ἐν αὐτοῖς Οὔννους συστάντες διεχειρίζοντο· καὶ μάχη καρτερὰ ἀμφοτέρων συνίστατο τῶν ἐθνῶν ἐκ συνθήματος. ὁ Ἄσπαρ πυθόμενος, ἀλλὰ γὰρ καὶ οἱ τῶν λοιπῶν στρατοπέδων ἡγεμόνες μετὰ τῶν οἰκείων παραταξάμενοι τὸν ἐπιτυχόντα τῶν βαρβάρων ἀνῄρουν. τοῦ δὲ δόλου καὶ τῆς ἀπάτης οἱ Σκύθαι λαβόντες ἔννοιαν σφᾶς τε ἀνεκαλοῦντο καὶ ἐς χεῖρας τοῖς Ῥωμαίοις ἐχώρουν. ἀλλ᾽ οἱ μὲν Ἄσπαρος τὴν σφίσιν ἐπιλαχοῦσαν ἔφθασαν ἀναλώσαντες μοῖραν· τοῖς δὲ λοιποῖς στρατηγοῖς οὐκ ἀκίνδυνος ἡ μάχη ἐγένετο, τῶν βαρβάρων καρτερῶς ἀγωνισαμένων, ὥστε τοὺς ἐξ αὐτῶν ὑπολειφθέντας τάς τε Ῥωμαϊκὰς τάξεις

διώσασθαι καὶ τῇδε τὴν πολιορκίαν διαφυγεῖν. [Exc. de legat. p. 45—46 Par., 162—164 Niebuhr.]

Ὅτι Λέων ὁ βασιλεὺς στέλλει πρὸς τὸν Γεζέριχον 40
Φύλαρχον τὴν τοῦ Ἀνθεμίου βασιλείαν μηνύσων καὶ πόλεμον ἀπειλήσων, εἰ μή γε τῆς Ἰταλίας καὶ Σικελίας ἀφέξοιτο. ἐπανῆκε δὲ ἀγγέλλων μὴ ἐθέλειν αὐτὸν τοὺς τοῦ βασιλέως προσίεσθαι λόγους, ἀλλὰ ἐν πολέμου εἶναι παρασκευῇ, ὡς ὑπὸ τῶν ἑῴων Ῥωμαίων παρασπονδούμενον. [Exc. de legat. p. 76 Par., 221 Niebuhr.]

Ὅτι μεγίστης πρὸς τὸ Σουάννων ἔθνος Ῥωμαίοις 41
τε καὶ Λαζοῖς ὑπαρχούσης διαφορᾶς, καὶ σφόδρα ἐς τὴν τοῦ σήματος * τῶν Σουάννων συνισταμένων μάχην *. καὶ Περσῶν δὲ ἐθελόντων αὐτῷ πολεμεῖν διὰ τὰ φρούρια, ἅπερ [ὑπὸ] τῶν Σουάννων ἀφῄρηντο, πρεσβείαν ἔστελλεν, ἐπικούρους αὐτῷ διαπεμφθῆναι παρὰ βασιλέως αἰτῶν ἐκ τῶν παραφυλαττόντων στρατιωτῶν τὰ Ἀρμενίων ὅρια τῶν Ῥωμαίοις ὑποτελῶν, ἐφ' ᾧ προσχώρων ὄντων ἑτοίμην ἔχειν βοήθειαν, καὶ μὴ κινδυνεύειν τοὺς πόρρωθεν ἀπεκδεχόμενον, ἢ παραγενομένων ἐπιτρίβεσθαι δαπάνῃ, τοῦ πολέμου, ἂν οὕτω τύχῃ, διαναβαλλομένου, καθάπερ ἤδη πρότερον ἐγεγόνει. τῆς γὰρ σὺν Ἡρακλείῳ ἀπεσταλμένης βοηθείας, καὶ Περσῶν καὶ Ἰβήρων τῶν αὐτῷ ἐπαγόντων τὸν πόλεμον πρὸς ἑτέρων ἐθνῶν τότε ἀπασχοληθέντων, μάχην * τὴν συμμαχίαν ἀπέπεμψεν ἀσχάλλων ἐπὶ τῇ τῶν τροφῶν χορηγίᾳ, ὥστε αὖθις τῶν Πάρθων ἐπ' αὐτὸν ἀναζευξάντων Ῥωμαίους ἐπικαλέσασθαι. τῶν δὲ στεῖλαι τὴν βοήθειαν ἐπαγγειλαμένων καὶ ἄνδρα τὸν αὐτῆς ἡγησόμενον, παρεγένετο καὶ Περσῶν πρεσβεία ἀγγέλλουσα τοὺς Κιδαρίτας Οὔννους ὑπ' αὐτῶν κατηγωνίσθαι καὶ Βα-

λαὰμ πόλιν αὐτῶν ἐκπεπολιορκηκέναι. ἐμήνυον δὲ τὴν νίκην καὶ βαρβαρικῶς ἐπεκόμπαζον, τὴν παροῦσαν αὐτοῖς μεγίστην δύναμιν ἀποφαίνειν ἐθέλοντες. ἀλλὰ αὐτοὺς παραυτίκα τῶν ἀγγελθέντων ἀπέπεμπε βασιλεύς, ἐν μείζονι φροντίδι τὰ ἐν Σικελίᾳ συνενεχθέντα ποιούμενος. [Exc. de legat. p. 46 Par., 164—165 Niebuhr.]

Classenus voce *μάχην* in locis corruptis p. 349, 13 et 26 indicari censet nomen proprium ducis Suannorum. Tillemontius VI, p. 401, suspicabatur legendum esse *ἐς τὴν κατὰ τοῦ Σήματος* (sc. ducis Lazorum) . . . *μάχην*. MÜLLERUS.

42 Τούτῳ τῷ ἔτει Λέων ὁ βασιλεὺς κατὰ Γιζερίχου τοῦ τῶν Ἄφρων κρατοῦντος στόλον μέγαν ἐξοπλίσας ἀπέστειλεν. ὁ γὰρ Γιζέριχος μετὰ τὴν τελευτὴν Μαρκιανοῦ πολλὰ δεινὰ ἐνεδείξατο ἐν ταῖς ὑπὸ τὴν τῶν Ῥωμαίων βασιλείαν χώραις ληιζόμενος καὶ αἰχμαλωτίζων πολλοὺς καὶ τὰς πόλεις κατασκάπτων· ὅθεν ζήλῳ κινηθεὶς ὁ βασιλεὺς ἐκ πάσης τῆς ἀνατολικῆς θαλάσσης ἑκατὸν χιλιάδας (l. ἑκατὸν καὶ χιλιάδα: 1113 naves sec. Cedren.) πλοίων ἀθροίσας, καὶ στρατῶν καὶ ὅπλων ταῦτα πληρώσας, κατὰ Γιζερίχου ἀπέστειλεν. φασὶ γὰρ αὐτὸν ͵ατʹ κεντηνάρια δεδαπανηκέναι χρυσίου ἐν τούτῳ τῷ στόλῳ. στρατηγὸν δὲ καὶ ἔξαρχον τοῦ στόλου κατέστησεν Βασιλίσκον τὸν Βηρίνης τῆς Αὐγούστης ἀδελφόν, τῆς ὑπάτου τιμῆς ἤδη μετασχόντα καὶ Σκύθας πολλάκις νικήσαντα ἐν τῇ Θρᾴκῃ. ὃς δὴ καὶ συνδραμούσης αὐτῷ ἐκ τῆς ἑσπερίου οὐκ ὀλίγης δυνάμεως, συμπλακεὶς εἰς ναυμαχίας πολλάκις τῇ Γιζερίχου μετὰ (τμʹ Classenus) τῶν νηῶν τῷ βυθῷ παραδούς, εἶτα καὶ αὐτὴν ἠδυνήθη Καρχηδόνα κρατῆσαι. ὕστερον δὲ

δώροις ὑπὸ Γιζερίχου καὶ πλείστοις χρήμασι δελεασθείς, ἐνέδωκεν καὶ ἡττήθη ἑκών, ὡς Πρίσκος (*ὥσπερ σικὸς* et *ὡς Περσικὸς* codd.) *ἱστόρησεν ὁ Θρᾷξ.* [Theophanes Chron. p. 178—179 ed. Bonn.]

43 *Ὑπὸ τοῖς αὐτοῖς χρόνοις τοῦ Σκυθικοῦ πολέμου συνισταμένου πρὸς τοὺς ἐῴους Ῥωμαίους, ἥ τε Θρᾳκία γῆ καὶ ὁ Ἑλλήσποντος ἐσείσθη καὶ Ἰωνία καὶ αἱ καλούμεναι Κυκλάδες νῆσοι, ὡς Κνίδου καὶ τῆς Κῶ τῶν νήσων τὰ πολλὰ κατενεχθῆναι. καὶ ὄμβρους δὲ ἐξαισίους ὁ Πρίσκος ἱστορεῖ γενέσθαι ἀνὰ τὴν Κωνσταντινούπολιν καὶ τὴν Βιθυνῶν χώραν, ἐπὶ τρεῖς καὶ τέσσαρας ἡμέρας ποταμηδὸν τῶν ὑδάτων ἐξ οὐρανοῦ φερομένων· καὶ ὄρη μὲν ἐς πεδία κατενεχθῆναι, κατακλυσθείσας δὲ κώμας παραπολέσθαι· γενέσθαι δὲ καὶ νήσους ἐν τῇ Βοάνῃ λίμνῃ, οὐ μακρὰν τῆς Νικομηδείας ἀφεστώσῃ, ἐκ τῶν συνενεχθέντων ἐς αὐτὴν παμπόλλων φορυτῶν. ἀλλὰ ταῦτα μὲν ὕστερον ἐπράχθη.* [Euagrius Hist. eccles. II, 14.]

Capita nonnulla eorum, quae deinceps Priscus tractavit, recenset Euagrius Hist. eccles. II, 16. Vide supra p. 270, 14. MÜLLERUS.

Prisci fragmentis incerta coniectura annumerata sunt haec Suidae:

1. *Θλαδίας, εὐνοῦχος.* "*ὑποβάλλει τοίνυν* (*ὁ θλαδίας* addendum ex Zonara p. 1046) *τοὺς Οὐάλεντος μυστικούς, τὴν γυναικωνῖτιν λέγω φάλαγγα* (postrema haec ponit etiam in *γυναικωνῖτις*), *οἵπερ εἰσὶν ἀεὶ τῶν φαύλων πράξεων ἐμπύρευμα, κατηγορῆσαι τοῦ Ἀετίου κατὰ βασιλέως ἐμμελετᾶν, ὡς ἂν ἐπιβατεύσῃ τῆς ἐξουσίας.* [deinde excidit aliquid.] *ἀγωνίζονται πεῖσαι τὸν βασιλέα. ἦν γὰρ βαρὺς ὁ σταθμὸς τοῦ ὑποσχεθέντος χρυσίου, ὁ ὑποσμήχων* (— *σμύχων*

Kusterus) *αὐτῶν τὰ ἔντοσθεν. δεινοὶ γὰρ εἰς τὸ συρράψαι βλάβας προκειμένης χρυσίου ὑποσχέσεως. ἄπληστον γὰρ τὸ γένος καὶ πρὸς πλεονεξίαν ἀεὶ κέχηνε, καὶ οὐκ ἔστι τι τῶν φαύλων ἄνευ τῆς αὐτῶν δυστροπίας ἐν τοῖς βασιλείοις τελούμενον. πείθεται ταῖς συκοφαντίαις ὁ βασιλεὺς καὶ λόγου ταχύτερον πρὸς τὸν φόνον Ἀετίου κινηθεὶς τοῦτον ἀναιρεῖ, καὶ ὡς ἕρμαιον αὐτῷ τὸ πραχθὲν λογισάμενός φησι πρός τινα τὸν στοχάζεσθαι τὰ ἀπόρρητα δυνάμενον* (*τῶν — δυναμένων* Porsonus), *Οὐ καλῶς μοι πέπρακται ἡ τοῦ Ἀετίου, ὦ οὗτος, ἀναίρεσις; ὁ δέ φησιν, Εἰ καλῶς ἢ μὴ οὐκ οἶδα· γίνωσκε δὲ ὅτι τῇ λαιᾷ χειρὶ τὴν δεξιάν σου ἀπέκοψας.* Quae Prisco tribuit Reinesius, probante Müllero ad Ioannem Antioch. p. 614, fr. 200. Hemsterhusii Eunapio tribuentis errorem redarguit Tittmannus. Ad *Οὐάλεντος*, bis apud Suidam positum, Kusterus: „Aetius non ab imperatore Valente, sed Valentiniano occisus est, ut ex historiis constat. Quare scribendum *Οὐαλεντινιανοῦ*."

2. *Ταρσοὶ καλάμων. "οἱ δὲ Λαζοὶ βόθρους ὀρύξαντες καὶ δόρατα τοῖς βόθροις ἐγκαταπήξαντες ταρσοῖς καλάμων καὶ ὕλῃ μὴ βεβαίαν ἐχούσῃ βάσιν, ἀλλὰ πρὸς τὸ ἐπιφερόμενον ἄχθος ὀλισθαινούσῃ* (*— θανούσῃ*), *τὰ στόματα τῶν ὀρυγμάτων ἐκάλυψαν· καὶ χοῦν ἐπιβαλόντες, τά τε παρ' ἑκάτερα χωρία γεωργήσαντες καὶ πυροὺς σπείραντες, ἐτροπώσαντο τοὺς Ῥωμαίους."*

Prisco locum tribuit Bernhardy et ab Suida contractum suspicatur. Idem eidem hunc apud eundem:

3. *Τιμωρὸς ὁ ἐκδικητής. "οἱ δὲ ᾤοντο αὐτὸν τιμωρὸν ἀφῖχθαι τοῦ Ἀετίου φόνου."*

EUSTATHII EPIPHANIENSIS FRAGMENTA.

Prisco adieci quem illum pariter atque Dexippum in compendium redegisse testatur Euagrius Eustathium Epiphaniensem, quum fieri possit ut Prisci sint quae quatenus illius historiae fines non excedunt, sunt apud Eustathium, de quo ita Müllerus p. 138: „Eustathius ex Epiphania Syriae urbe oriundus historiae epitomen condidit, in qua, sumpto inde ab antiquissimis temporibus exordio, usque ad Anastasii imp. annum duodecimum (502) narrationem deduxit. Opus hoc ex uno fere novimus Euagrio, qui iis locis quibus historiae profanae summa capita rebus ecclesiasticis interponit, saepius ac summa cum laude Eustathii facit mentionem. Neque dubito quin Euagrius historiae civilis breviaria sua usque ad a. 502 longe plurima hauserit ex Eustathii epitome, adeo ut etiam historici, qui maiorum operum conditores passim ab eo citantur, ex Eustathio commemorentur.*) Idem lib. V, 24 divisionem operis indicat. Etenim postquam historiae profanae scriptores recensuit Characem, Theopompum, Ephorum, Dionysium Halicarnassensem,

*) Eustathium inter fontes Euagrii recenset etiam Nicephorus Callist. H. eccl. prooem.

Polybium, Appianum, Diodorum, Dionem Cassium, Herodianum, Nicostratum, Dexippum, Arrianum, Asinium Quadratum, Zosimum, Priscum, subiicit haec: *Ἅπερ ἅπαντα Εὐσταθίῳ τῷ Ἐπιφανεῖ ἐπιτέτμηται πανάριστα ἐν δύο τεύχεσιν, ἑνὶ μὲν ἕως ἁλώσεως Ἰλίου, τῷ δὲ ἑτέρῳ ἕως δωδεκάτου ἔτους τῆς Ἀναστασίου βασιλείας.* In his verba *ἐν δύο τεύχεσιν* intelligenda sunt de duobus operis partibus, quarum utramque complures libros continuisse consentaneum est. In priore parte, quae mythica continebat, prae ceteris secutus erit Characem, quem per multos libros argumentum illud tractasse scimus, atque primo loco inter auctores, quos Eustathius excerpserit, ab Euagrio memorari videmus. De altera parte, quae a Troianis temporibus initium cepit, Suidas loquitur in hisce: *Εὐστάθιος*, ait, *Ἐπιφανεύς. χρονικὴν ἐπιτομὴν* (*ὡραιοτάτην* add. Eudocia) *τῶν ἀπὸ Αἰνείου* (*τοῦ Τρωὸς* add. Eud.) *μέχρι Ἀναστασίου βασιλέως ἐν τόμοις θ′, καὶ ἄλλα τινά.* Eudocia pro *ἐν τόμοις θ′* habet *ἐν τόμοις εἴκοσι.* Kusterus scribi voluit *ἐν τόμοις β′*, ex Euagrio scilicet. Verum Euagrius duas historiarum partes, uti dixi, non vero duos libros significare voluisse mihi videtur. — Inter *ἄλλα τινά* (*χρονικὰ συνεγράψατο* addit Eudocia) fortasse fuit historia belli Persici, quod contra Cabadem Anastasius (502—505) gessit. Eam vero historiam ne ultra primum belli annum, qui Amidae urbis expugnatione clarus erat, deduceret fato impeditus est. Euagrius I, 19 (fr. 1, ubi de Theodosii II temporibus sermo est): *Ἅπερ ἱστόρηται μὲν καὶ ἄλλοις, ἐπιτέτμηται δὲ εὖ μάλα κομψῶς καὶ Εὐσταθίῳ τῷ ἐξ Ἐπιφανείας τῷ Σύρῳ, ὃς καὶ τὴν ἅλωσιν Ἀμίδης συνεγράψατο.* Idem III, 37 (fr. 6, ubi inter belli Per-

sici initia Theodosiopolis et Amidae expugnatio commemoratur): *Εἴ τῳ δὲ φίλον λεπτῶς τὰ περὶ τούτων εἰδέναι καὶ τῇ ἀκριβείᾳ πάντων ἐπεξελθεῖν, Εὐσταθίῳ εὖ μάλα σοφῶς μετὰ πολλοῦ τοῦ πόνου καὶ τῆς ἐς ἄγαν κομψείας ἱστόρηταί τε καὶ συγγέγραπται· ὃς μέχρι τῆς γραφῆς ταύτης ἱστορήσας τοῖς ἀπελθοῦσι συναριθμεῖται, δωδέκατον ἔτος τῆς Ἀναστασίου καταλελοιπὼς βασιλείας.* Malalas p. 399, 3 (fr. 7): *Περὶ οὗ πολέμου Εὐστάθιος . . . συνεγράψατο· ὅστις καὶ εὐθέως ἐτελεύτησε, μηδὲ εἰς τέλειον τὴν ἔκθεσιν αὐτοῦ συντάξας.*”

Ἐν τοῖς αὐτοῖς χρόνοις Θεοδοσίου ἐπαναστάσεις 1
συχναὶ κατὰ τὴν Εὐρώπην γεγόνασιν, Οὐαλεντινιανοῦ Ῥώμης βασιλεύοντος· ἃς καὶ καθεῖλε Θεοδόσιος, μεγάλας δυνάμεις ἐκπέμψας κατά τε γῆν καὶ θάλασσαν, πεζικῷ τε καὶ νηίτῃ στρατῷ. οὕτω δὲ καὶ Περσῶν παροινησάντων κεκράτηκε, βασιλεύοντος αὐτῶν Ἰσδιγέρδου πατρὸς) τοῦ Οὐαραράνου, ἢ ὡς Σωκράτει δοκεῖ, αὐτοῦ Οὐαραράνου βασιλεύοντος, ὡς καὶ πρεσβευσαμένοις αὐτοῖς εἰρήνην χαρίσασθαι, ἣ καὶ διήρκεσε μέχρις δυοκαίδεκα ἐτῶν τῆς Ἀναστασίου βασιλείας. ἅπερ ἱστόρηται μὲν καὶ ἄλλοις, ἐπιτέτμηται δὲ εὖ μάλα κομψῶς καὶ Εὐσταθίῳ τῷ ἐξ Ἐπιφανείας τῷ Σύρῳ, ὃς καὶ τὴν ἅλωσιν Ἀμίδης συνεγράψατο.* [Euagrius Hist. eccl. I, 19. Euagrium exscripsit Nicephorus Callist. Hist. eccl. XIV, 57, p. 579 ed. Paris.]

*) *Ἰσδιγέρδου πατρὸς τοῦ Οὐαραράνου*] His menda subest, quae in errorem induxit diligentissimum Tillemontium *Hist. des emp.* VI, p. 44, 45, 610. Etenim Isdigerdem I (398—419), patrem Vararanis, omnino nullum contra Romanos suscepisse bellum diserte te-

statur Agathias IV, 27. Filius vero eius Vararanes V (419—439 vel 440) bellum intulit Theodosio II, qui etsi armis superior esset, ipse tamen primus legatos de pace ineunda ad Persas misit (Socrates VII, 18, p. 364, 9 ed. Read., Theophanes p. 134 ed. Bonn.). Pax illa facta est a. 422 in annos centum (Sozom. IX, 4, p. 369, 28). At duodeviginti fere annis post foedera rupta bellumque instauratum, sive eodem adhuc regnante Vararane (ut Procopius De bell. Pers. I, 2, et Agathias IV, 27 tradunt), sive sub initio regni Isdigerdis filii, ut Eustathius dicit (probabilius utique, v. Tillemont. p. 611), ac statuisse videtur Chron. Marcellini, ubi res ponitur in a. 441. Hinc deinceps usque ad Anastasii annum duodecimum de bellis inter Romanos Persasque gestis nihil innotuit, ac revera eousque pacem fuisse testatur Eustathius. Patet igitur apud Euagrium non de bello anni 422, sed de bello anni 441 cogitandum esse; idque vel inde colligas, quod in antecedente capite Euagrius de Attila Hunnorum rege (ab a. 433) verba facit. Consequitur pro *Ἰσδιγέρδου πατρὸς* legendum esse *Ἰσδιγ. υἱοῦ*, nisi forte ipsius Euagrii errorem esse mavelis. Denique pro *παροινησάντων* leg. propono *παρασπονδησάντων*. MÜLLERUS. Sic infra p. 362, 15.

2 *Λέων δὲ γαμβρὸν ἐπὶ θυγατρὶ Ἀριάδνῃ προσλαμβάνεται Ζήνωνα, Ἀρικμήσιον μὲν ἐκ σπαργάνων καλούμενον, μετὰ δὲ τοῦ γάμου καὶ τὴν προσηγορίαν προσκτησάμενον ἔκ τινος παρὰ τοῖς Ἰσαύροις ἐς μέγα κλέος ἐληλυθότος, οὕτω προσαγορευόμενον. ὅθεν δὲ προήχθη οὗτος ὁ Ζήνων, τίνος τε χάριν πάντων παρὰ τοῦ Λέοντος προυκρίθη, Εὐσταθίῳ ἐκτέθειται τῷ Σύρῳ.* [Euagrius II, 15.]

Ἀρικμήσιον cod. Florent. et Nicephorus pro *Ἀρι-*

κμῆσον. Nomen corruptum. Apud Candidum Isaurum (cuius v. fr.) vocatur Ταρασικοδίσσας. Apud Agathiam IV, 29: Ζήνων .. ὃς δὴ πρῴην Ταρασισκωδίσεος ante Niebuhrium, qui Ταρακωδισαῖος e cod. Rhedig., ubi Τάρασις Κωδιαῖος, in Chronico Pasch. p. 599, 12 Ζήνων ὁ Κοδισσεὺς ὁ Ἴσαυρος (Κοδισσέος apud Malalam p. 375, 15; 376, 13). In epistola Verinae Aug. apud Theophanem p. 200, 11 Τρασκαλισσαῖον τὸν μετακληθέντα Ζήνωνα. — ἔκ τινος] Intellige Flavium Zenonem, consulem a. 448 et magistrum militum in Oriente. V. Priscus fr. 8 extr., 12, 14, 15. Tillemont. VI, p. 109, 114, 229. MÜLLERUS.

Ἐπανίσταται δὲ τῷ Ζήνωνι καὶ Θευδέριχος Σκύ- 3
θης ὢν γένος, καὶ τὰς οἰκείας δυνάμεις ἀνὰ τὴν Θρᾳκῶν ἀθροίσας ἐπιστρατεύει κατὰ τοῦ Ζήνωνος, καὶ μέχρι στόματος τοῦ Πόντου δῃώσας τὰ ἐν ποσὶ χωρία μικροῦ τὴν βασίλειον εἷλε πόλιν, εἴ γε μή τινες τῶν ἐς τὰ μάλιστα αὐτῷ ἐπιτηδείων ὑπαχθέντες ἐβουλεύσαντο αὐτὸν ἀνελεῖν. ὃς ἐθελοκακοῦντας τοὺς οἰκείους ἐγνωκώς, ἐς τοὐπίσω μὲν ἀποχωρεῖ· οὐ πολλῷ δὲ ὕστερον τοῖς ἀπελθοῦσι συναριθμεῖται. λέξω δὲ καὶ τὸν τῆς τελευτῆς τρόπον, ὧδε γενόμενον. δόρυ διηγκυλημένον πρὸ τῆς σκηνῆς αὐτῷ μετῃώρητο σχῆμα βαρβαρικόν. εἶτα διακινῆσαι τὸ σῶμα βουληθεὶς ἵππον ἀχθῆναι προστέταχεν· ἀναβολεῖ δὲ οὐκ εἰωθὼς χρῆσθαι τῷ ἵππῳ προσήλατο. ὁ δέ, ἀγελαῖός τις ὢν καὶ ὑβριστής, οὔπω περιβάδην Θευδερίχου καθίσαντος, μετεωρίζει τὼ πρόσθε πόδε, τῷ ὀπισθίῳ μόνῳ ἀκροβατῶν, ὡς διαφιλονεικοῦντα τὸν Θευδέριχον καὶ μήτε τῷ χαλινῷ ἀνασειράζειν τὸν ἵππον τολμῶντα, ὡς ἂν μὴ ἐμπέσοι γε αὐτῷ, μήτε τῆς ἕδρας βεβαίως ἀντεχόμενον, [ἐν τῷ] τῇδε

κἀκεῖσε περιδονεῖσθαι διασεῖσαι τὴν αἰχμήν, ταύτην τε ἐπ' αὐτὸν ἐνεχθῆναι πλαγίαν καὶ τὴν πλευρὰν κατατρῶσαι· ἔνθεν τε κλινήρη γενόμενον καὶ βραχείας ἡμέρας ἀρκέσαντα τὸν βίον ἐκ τοῦδε τοῦ τραύματος καταστρέψαι. [Euagrius III, 25. Conf. Marcellin. Chron. ad a. 481 (Placidio solo cons.): Theodorichus, Triarii f., rex Gothorum, adscitis suis usque ad Anaplum, quarto urbis milliario advenit; nulli tamen Romanorum noxius continuo reversus est. Porro in Illyricum properans, dum inter suorum moventia plaustra progreditur, iacentis super carpentum teli acumine et pavescentis equi sui impulsione fixus transverberatusque interiit.]

Μετὰ ταῦτα διενεχθεὶς πρὸς Ζήνωνα Μαρκιανός, παῖς μὲν Ἀνθεμίου τοῦ Ῥώμης βασιλεύσαντος, κῆδος δὲ πρὸς Λέοντα τὸν βεβασιλευκότα πρότερον ἐσχηκώς, ἐπεὶ τὴν νεωτέραν αὐτοῦ θυγατέρα Λεοντίαν ἐσῳκίσατο, τυραννεῖν ἐπειρᾶτο· καὶ μάχης ἰσχυρᾶς περὶ τὰ βασίλεια συρραγείσης καὶ πολλῶν ἑκατέρωθεν πεπτωκότων, τρέπει τοὺς ἐναντίους ὁ Μαρκιανός, καὶ τῶν βασιλείων ἐγκρατὴς γέγονεν ἄν, εἰ μὴ τὸν καιρὸν παρῆκεν, ἐς αὔριον τὴν πρᾶξιν ἀναβαλλόμενος· ὀξυπετὴς γὰρ ὁ καιρὸς καὶ παρὰ πόδας μὲν ἰὼν ἴσως ἁλίσκεται· ἐπὰν δὲ τὴν λαβὴν διαδράσῃ, μετεωροπορεῖ, γελᾷ τε τοὺς διώκοντας, ἐφικτὸς αὐτοῖς λοιπὸν οὐκ ἀνεχόμενος εἶναι· ὅθεν ἀμέλει οἱ πλάσται καὶ ζωγράφοι κόμην ἔμπροσθεν καθέντες αὐτῷ τὴν κεφαλὴν ὄπισθεν ἐν χρῷ ξυρῶσιν, εὖ μάλα σοφῶς αἰνιττόμενοι ὡς ὀπισθόπους μὲν τυγχάνων τῷ καθειμένῳ τῆς κόμης ἴσως κρατεῖται, ἐμπροσθόπους δὲ γενόμενος τέλεον διαφεύγει, οὐκ ἔχων ὅτῳ κρατηθείη τῷ διώκοντι. ὅπερ καὶ ἐπὶ Μαρκιανῷ γέγονε, τὸν μὲν εὔθετον αὐτῷ καιρὸν ἀπολέσαντι,

ἐξευρεῖν δὲ τοῦτον λοιπὸν οὐ δυνηθέντι. ἀνὰ γὰρ τὴν ἑξῆς πρὸς τῶν οἰκείων καταπροδοθεὶς καὶ μόνος ἀποληφθεὶς πέφευγεν ἀνὰ τὸ τέμενος τῶν θεσπεσίων ἀποστόλων· ἐκεῖθέν τε πρὸς βίας ἀφελκυσθεὶς ἐς Καισάρειαν πόλιν (εἰς τὸ Παπουρίου καστέλλιν Theoph.) *τῆς Καππαδοκῶν ἐξοικίζεται. καί τισι μοναχοῖς συναγελαζόμενος ὕστερον ἐφωράθη λαθεῖν ἐθέλων. καὶ πρὸς τοῦ βασιλέως ἐς Ταρσὸν τῆς Κιλικίας ἐκπεμφθεὶς καὶ τὴν κόμην ἀποθέμενος πρεσβύτερος χειροτονεῖται. γέγραπται ταῦτα κομψῶς Εὐσταθίῳ τῷ Σύρῳ.* [Euagrius III, 26. Conf. Theophanes p. 196 seq., qui eodem modo haec narrat post memoratam necem Theoderichi.]

4 *Ὁ αὐτὸς γράφει τὸν Ζήνωνα καὶ Βηρίνῃ τῇ πενθερᾷ μυρίας ἐπιβουλὰς ῥάψαι· μετὰ δὲ ταῦτα καὶ πρὸς τὴν Κιλίκων ἐκπέμψαι χώραν. ὕστερον δὲ μεταβῆναι ταύτην πρὸς τὸ Παπιρίου λεγόμενον φρούριον, Ἰλλοῦ τυραννήσαντος, αὐτόθι τε τὸν βίον ἐκλιπεῖν. καὶ τὰ κατὰ Ἰλλοῦν δὲ γράφει μάλα λογίως ὁ Εὐστάθιος, ὅπως πρὸς τοῦ Ζήνωνος ἐπιβουλευθεὶς διέφυγε, καὶ ὅπως ὁ Ζήνων τὸν ἀποσφάξαι τοῦτον προσταχθέντα ἐς θάνατον ἐκδέδωκε, μισθὸν τῆς ἀποτυχίας τὴν τῆς κεφαλῆς ἐκτομὴν αὐτῷ παρασχών· ὃν καὶ στρατηγὸν ὁ Ζήνων τῶν ἑῴων ἀποδείκνυσι δυνάμεων, τὸ λαθεῖν πραγματευόμενος· ὁ δὲ Λεόντιον προσεταιρισάμενος, Μάρσον τε οὖν, ἄνδρα δόκιμον, καὶ Παμπρέπιον, ἀνὰ τὰ τῆς ἑῴας γέγονε μέρη· εἶτα τὴν Λεοντίου ἀνάρρησιν τὴν ἐς Ταρσὸν τῆς Κιλικίας γενομένην· ὅπως τε καὶ οὗτοι τῆς τυραννίδος ἀπώναντο, Θευδερίχου κατ' αὐτῶν ἐκπεμφθέντος, ἀνδρὸς Γότθου τὸ γένος ὑπάρχοντος, παρὰ Ῥωμαίοις τε αὖ ἐπισήμου, μετὰ ἡμεδαπῆς τε*

καὶ ἀλλοδαποῦς δυνάμεως. ἀναγράφει μάλα σοφῶς ὁ αὐτὸς Εὐστάθιος καὶ τοὺς δειλαίως ἀνῃρημένους πρὸς Ζήνωνος ἀντὶ τῆς ἐς αὐτὸν εὐνοίας· καὶ ὅτι γε ὁ Θευδέριχος τῆς ἐπιβουλῆς Ζήνωνος αἰσθόμενος, ἐπὶ τὴν πρεσβυτέραν Ῥώμην ἀναχωρεῖ· τινὲς δέ φασιν ὡς καὶ ὑποθήκῃ Ζήνωνος. καὶ Ὀδόακρον μάχῃ κρατήσας ὑφ' ἑαυτὸν τὴν Ῥώμην ποιεῖται, ῥῆγα προσονομάσας ἑαυτόν. [Euagrius III, 27. Conf. Theophanes p. 197 seqq.]

5 *Τοῦ Ζήνωνος τοίνυν ἄπαιδος τελευτήσαντος ἐπιληψίας νόσῳ μετὰ ἕβδομον καὶ δέκατον ἔτος τῆς αὐτοῦ βασιλείας ἤλπισε μὲν Λογγῖνος ὁ τούτου ἀδελφός, ἐς μέγα δυνάμεως προκεχωρηκώς, τὴν βασιλείαν ἑαυτῷ περιθήσειν· οὐ μὴν τῶν δοκηθέντων ἔτυχεν. ἡ γὰρ Ἀριάδνη Ἀναστασίῳ τὸν στέφανον περιτίθησιν, οὔπω μὲν ἥκοντι ἐς γερουσίαν, ἐν δὲ τῇ λεγομένῃ τῶν σιλεντιαρίων σχολῇ καταλεγομένῳ. ἱστορεῖ δ' οὖν ὁ Εὐστάθιος μετὰ τὴν ἀρχὴν τῆς Διοκλητιανοῦ βασιλείας ἐς τὴν Ζήνωνος τελευτὴν καὶ τὴν ἀνάρρησιν Ἀναστασίου ἔτη διελθεῖν ἑπτὰ καὶ διακόσια· ἀπὸ δὲ τῆς Αὐγούστου μοναρχίας ἔτη δύο καὶ τριάκοντα καὶ πεντακόσια πρὸς μησὶν ἑπτά· ἀπὸ δὲ τῆς Ἀλεξάνδρου τοῦ Μακεδόνος ἀρχῆς ἔτη δύο καὶ τριάκοντα καὶ ὀκτακόσια ὁμοίως πρὸς μησὶν ἑπτά· ἐκ δὲ τῆς τῶν Ῥωμαίων καὶ Ῥωμύλου βασιλείας ἔτη δύο καὶ πεντήκοντα* [add. *καὶ διακόσια*] *καὶ χίλια καὶ πρός γε μῆνας ἑπτά· ἀπὸ δὲ ἁλώσεως Τροίας ἔτη ἓξ καὶ ὀγδοήκοντα καὶ ἑξακόσια καὶ χίλια πρὸς μησὶν ἑπτά. οὗτος ὁ Ἀναστάσιος πατρίδα τὴν Ἐπίδαμνον ἔχων, Δυρράχιον νῦν προσηγόρευται, τήν τε Ζήνωνος βασιλείαν καὶ γαμετὴν τοῦ αὐτοῦ Ζήνωνος τὴν Ἀριάδνην ἐσοικίζεται· καὶ πρῶτα μὲν Λογγῖνον Ζή-*

νωνος ἀδελφόν, τὴν τοῦ μαγίστρου ἀρχὴν διέποντα, ὃν ἡγεμόνα τῶν ἐν τῇ αὐλῇ τάξεων οἱ πρόσθεν ἐκάλουν, ἀνὰ τὴν ἐνεγκαμένην ἐκπέμπει· εἶτα δὲ καὶ πολλοὺς ἑτέρους Ἰσαύρους, τοῦτο δῆθεν αἰτήσαντας.
[Euagrius III, 29. Zeno mortuus est a. 491. Anni epocharum, quas Euagrius affert, parum accurate notati. De Longino etc. v. Theophan. p. 210 seq. MÜLLERUS.]

Οὐκ ἀπὸ δὲ τρόπου καθ' ἣν ἐτύχομεν προκατα- 6
βεβληκότες ὑπόσχεσιν καὶ τὰ ἕτερα λόγου ἄξια ὑπὸ τοῖς Ἀναστασίου χρόνοις γεγενημένα συνάψαι τῇ ἱστορίᾳ. Λογγῖνος ὁ Ζήνωνος ὅμαιμος τὴν ἐνεγκαμένην, ὡς προδεδιήγηται, κατειληφώς, τὸν πρὸς τὸν αὐτοκράτορα πόλεμον ἀναφανδὸν ἀναζώννυται. καὶ πολλῶν ἔνθεν τε κἀκεῖθεν συναθροισθέντων δυνάμεων, μεθ' ὧν καὶ Κόνων ἐτύγχανεν ὤν, ἐπίσκοπος τῆς ἐν Ἀπαμείᾳ τῶν Σύρων ἐπαρχίας γεγονώς, τοῖς Ἰσαύροις ὡς Ἴσαυρος συνεστράτευσε, τέλος ἐπιτίθεται τῷ πολέμῳ, τῶν μὲν Ἰσαύρων τῶν συστρατευσάντων τῷ Λογγίνῳ πανωλεθρίᾳ φθαρέντων, τῶν δὲ κεφαλῶν Λογγίνου καὶ Θεοδώρου πρὸς Ἰωάννου τοῦ Σκύθου σταλεισῶν ἀνὰ τὴν βασιλέως πόλιν· ἃς καὶ ἐν κοντοῖς περιαρτήσας ὁ βασιλεὺς ἐν ταῖς καλουμέναις Συκαῖς ἀντιπέραν τῆς Κωνσταντίνου κειμέναις ἐπῃώρησεν, ἡδὺ θέαμα τοῖς Βυζαντίοις ἀνθ' ὧν κακῶς πρὸς Ζήνωνος καὶ τῶν Ἰσαύρων ἐπεπόνθεσαν. καὶ ὁ ἕτερος δὲ Λογγῖνος τὸ πολὺ τῆς τυραννίδος συνέχων, ὁ ἐπίκλην Σελινούντιος, καὶ Ἴνδης σὺν αὐτῷ, πρὸς Ἰωάννου τοῦ ἐπίκλην κυρτοῦ στέλλονται τῷ Ἀναστασίῳ ζωγρίαι· ὃ μάλιστα τόν τε βασιλέα τούς τε Βυζαντίους τεθεράπευκε, θριάμβου δίκην ἀνὰ τὰς λεωφόρους τῆς πόλεως ἀνά τε τὴν ἱπποδρομίαν Λογγίνου τε καὶ Ἴνδου περιενεχθέντων καὶ τῶν ἐκ

σιδήρου πεποιημένων ἁλύσεων ἀνὰ τοὺς αὐχένας καὶ τὰς χεῖρας περιβεβλημένων. ἐντεῦθεν καὶ τὰ καλούμενα πρῴην Ἰσαυρικὰ τοῖς βασιλικοῖς ἐσηνέχθη θησαυροῖς· ἦν δὲ ἄρα τοῦτο χρυσίον ἐς ἕκαστον ἔτος βαρβάροις χορηγούμενον, πεντακισχιλίας ἕλκον λίτρας. [Euagrius III, 35. Conf. Theophan. p. 216, 224.]

Ἐπεκώμασαν οὐκ εἰς τὸ συνοῖσον σφίσι κατὰ τῆς Ῥωμαϊκῆς ἐπικρατείας καὶ οἱ Σκηνῖται βάρβαροι, τά τε τῆς μέσης τῶν ποταμῶν τά τε τῆς Φοινίκης ἑκατέρας καὶ τὰ Παλαιστίνων ληισάμενοι πράγματα. οἵπερ κακῶς παρὰ τῶν ἑκασταχοῦ στρατηγούντων παθόντες, ὕστερον τὴν ἡσυχίαν ἤγαγον, πρὸς Ῥωμαίους πασσυδεὶ σπεισάμενοι. [Ib. c. 36. Conf. Theophan. p. 217 seq., Nonnosi Exc. ap. Photium.]

Ἀλλὰ καὶ Πέρσαι παρασπονδήσαντες ὑπὸ Καβάδῃ τῷ βασιλεῖ, καὶ τὰ οἰκεῖα καταλελοιπότες ἤθη, πρῶτα μὲν Ἀρμενίαις ἐπεστράτευσαν, καὶ πολίχνιον ἐπίκλην Θεοδοσιούπολιν ἑλόντες ἐς Ἄμιδαν πόλιν ὀχυρὰν τῆς μέσης τῶν ποταμῶν ἀφικνοῦνται, καὶ ταύτην ἐκπολιορκήσαντες εἷλον. ἣν αὖθις ὁ Ῥωμαίων βασιλεὺς πολλοῖς ἀνενεώσατο πόνοις. εἴ τῳ δὲ φίλον λεπτῶς τὰ περὶ τούτων εἰδέναι καὶ τῇ ἀκριβείᾳ πάντων ἐπεξελθεῖν, Εὐσταθίῳ εὖ μάλα σοφῶς μετὰ πολλοῦ τοῦ πόνου καὶ τῆς ἐς ἄγαν κομψείας ἱστόρηταί τε καὶ συγγέγραπται· ὃς μέχρι τῆς γραφῆς ταύτης ἱστορήσας τοῖς ἀπελθοῦσι συναριθμεῖται, δωδέκατον ἔτος τῆς Ἀναστασίου καταλελοιπὼς βασιλείας. [Ib. c. 37. Conf. Theophan. p. 222 seq., Procop. Bell. Pers. I, 7; De aedif. III, 5, Marcellin. Chron. ad a. 502 (Probo et Avieno coss.)]

7 Ἐπὶ δὲ τῆς αὐτοῦ (Ἀναστασίου) βασιλείας παρελήφθη Ἄμιδα, μητρόπολις ὀχυρὰ πάνυ τῆς Μεσοπο-

ταμίας, καὶ Θεοδοσιούπολις, πολέμῳ ληφθεῖσα ὑπὸ Κωάδου βασιλέως Περσῶν, ἐπελθόντος τοῦ βασιλέως μετὰ δυνάμεως πολλῆς. ἔλαβε δὲ παραλήπτους ὁ αὐτὸς βασιλεὺς Περσῶν Κωνσταντῖνον, στρατηγὸν Ῥωμαίων δυνατόν, φυλάττοντα τὴν αὐτὴν Θεοδοσιούπολιν, καὶ ἄλλους δὲ πολλούς· οἵτινες καὶ ἐτελεύτησαν ἐν τοῖς Περσικοῖς μέρεσι. καὶ ἐπεστράτευσε κατὰ Περσῶν ὁ αὐτὸς Ἀναστάσιος βασιλεύς, πέμψας Ἀρεόβινδον τὸν Δαγαλαΐφου υἱόν, στρατηλάτην ἀνατολῆς, τὸν ἄνδρα Ἰουλιάνας, καὶ Πατρίκιν, στρατηλάτην τοῦ μεγάλου πραισέντου, καὶ Ὑπάτην, στρατηλάτην πραισέντου, τὸν υἱὸν Σεκουνδίνου τοῦ πατρικίου, καὶ τὸν πατρίκιον Ἀππίωνα, ποιήσας αὐτὸν ἔπαρχον πραιτωρίων ἀνατολῆς, καὶ πλῆθος ἄπειρον στρατιᾶς μετ' αὐτῶν πεζικῆς καὶ ἱππικῆς δυνάμεως. καὶ συνέβαλον μετ' ἀλλήλων τὰ ἀμφότερα τάγματα, καὶ ἐσφάγησαν πολλοὶ καὶ ἔπεσαν ἐξ ἀμφοτέρων τῶν μερῶν. περὶ οὗ πολέμου Εὐστάθιος ὁ σοφώτατος χρονογράφος συνεγράψατο· ὅστις καὶ εὐθέως ἐτελεύτησε, μηδὲ εἰς τέλειον τὴν ἔκθεσιν αὐτοῦ συντάξας*). [Ioannes Malalas p. 398, 11.]

*) Dubium an eiusdem Epiphanii sit quae in codice Parisino 1555 A. chartaceo sec. 14 exeuntis exstat inscripta Εὐσταθίου Ἐπιφανέως Συρίας ἐπιτομὴ τῆς ἀρχαιολογίας Ἰωσήπου, cum fragmento quod secundum Müllerum p. 670 nonnisi summa capita historiae Iudaicae paucis verbis repetit.

NESTORIANI FRAGMENTA.

Ex eodem Malala, qui solus praeter Euagrium Eustathii Epiphaniensis fecit mentionem, aliorum trium aliunde non cognitorum historicorum hic inserui fragmenta, ex quibus fieri potest ut plura etiam apud Malalam sint repetita quam nunc illis licet ascribere.

1 *Μετὰ δὲ ὀλίγον καιρὸν ἐτελεύτησεν ὁ αὐτὸς βασιλεὺς Κωνσταντῖνος ἐν Νικομηδείᾳ τῆς Βιθυνίας, ὡς ἔστιν ἐν προκέσσῳ, ἐν προαστείῳ τινὶ λεγομένῳ Ἀχυρῶνι πρὸ ὀλίγου διαστήματος τῆς πόλεως, ἀρρωστήσας ἡμέρας ἕξ, πρὸ τοῦ πληρωθῆναι τὸ κτίσμα ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ τῆς Συρίας τὸ τῆς μεγάλης ἐκκλησίας, τὸ μέγιστον καὶ ἓν ὂν τῶν θεαμάτων. τελευτᾷ δὲ ὢν ἐνιαυτῶν ξ′ καὶ μηνῶν γ′, ὡς ταῦτα συνεγράψατο καὶ τοὺς χρόνους πάντας τῶν προγεγραμμένων βασιλέων ὁ σοφώτατος Νεστοριανὸς ὁ χρονογράφος* [p. 324, 5. Ergo eiusdem sunt *τὰ προγεγραμμένα.*]

2 *Μετὰ δὲ τὴν βασιλείαν Λέοντος τοῦ μεγάλου ἐβασίλευσε Λέων ὁ μικρὸς ἔτος α′ καὶ ἡμέρας εἰκοσιτρεῖς· ἦν δὲ παιδίον μικρόν. ὑπεβλήθη δὲ ὑπὸ τῆς ἰδίας αὐτοῦ μητρὸς τῆς ἐπιφανεστάτης Ἀριάδνης· καὶ ὡς προσκυνεῖ αὐτὸν ὡς βασιλέα Ζήνων ὁ στρατηλάτης ὁ πατρίκιος ὁ αὐτοῦ πατήρ, ἐπέθηκε στέφανον βασιλικὸν ἐπὶ*

τὴν κεφαλὴν αὐτοῦ, τῇ ἐνάτῃ τοῦ περιτίου μηνὸς τῆς δωδεκάτης ἐπινεμήσεως· καὶ ἐβασίλευσαν ἅμα. ἐβασίλευσε δὲ ὁ αὐτὸς βασιλεὺς Ζήνων ὁ Κοδισσέος [sic etiam p. 375, 15 Ζήνωνα τὸν Ἴσαυρον τὸν Κοδισσέον: v. supra p. 357, 1] ὁ Ἴσαυρος μετὰ τοῦ ἰδίου αὐτοῦ υἱοῦ Λέοντος ὀλίγον χρόνον. καὶ προῆλθεν ὕπατος ὁ θειότατος Λέων ὁ μικρὸς ἔτους κατὰ Ἀντιόχειαν φκβ′ ἰνδικτιῶνος δωδεκάτης. καὶ τῷ ἑνδεκάτῳ μηνὶ τῆς αὐτοῦ ὑπατείας ἠρρώστησε καὶ τελευτᾷ ὁ θειότατος Λέων ὁ μικρὸς μηνὶ νοεμβρίῳ ἰνδικτιῶνος ιγ′, ἔτους χρηματίζοντος κατὰ Ἀντιόχειαν φκγ′, ὢν ἐνιαυτῶν ζ′, καθὼς συνεγράψατο Νεστοριανὸς ὁ σοφώτατος χρονογράφος ἕως Λέοντος τοῦ μικροῦ. [p. 376, 13. Eadem fere Chron. Pasch. p. 599, 8, ubi Κοδισσεύς, ex eodem Nestoriano, licet priori loco, ubi de Constantino, p. 532, 10, eundem non sequatur aut memoret.]

MAGNI ET EUTYCHIANI FRAGMENTA.

DE IULIANI BELLO PERSICO.

Ioannes Malalas p. 328, 20: *Καὶ κατιὼν ὁ αὐτὸς βασιλεὺς Ἰουλιανὸς κατὰ Σαββουραρσάκου βασιλέως Περσῶν κατέφθασεν ἐν Ἱεραπόλει, καὶ πέμψας κατεσκεύασε πλοῖα ἐν Σαμοσάτοις, πόλεως τῆς Εὐφρατησίας, τὰ μὲν διὰ ξύλων, τὰ δὲ διὰ βυρσῶν, ὡς ὁ σοφώτατος Μάγνος*) ὁ χρονογράφος ὁ Καρρηνός, ὁ συνὼν αὐτῷ Ἰουλιανῷ βασιλεῖ, συνεγράψατο. ἀπὸ δὲ Ἱεραπόλεως ἐξελθὼν ἦλθεν ἐν Κάρραις τῇ πόλει· κἀκεῖθεν εὗρε δύο ὁδούς, μίαν ἀπάγουσαν εἰς τὴν Νίσιβιν πόλιν, οὖσάν ποτε Ῥωμαίων, καὶ ἄλλην ἐπὶ τὸ Ῥωμαϊκὸν κάστρον τὸ λεγόμενον Κιρκήσιον, κείμενον εἰς τὸ μέσον τῶν δύο ποταμῶν τοῦ Εὐφράτου καὶ τοῦ Ἀβόρρα· ὅπερ ἔκτισε Διοκλητιανὸς βασιλεὺς Ῥωμαίων. καὶ μερίσας τὸν στρατὸν ὁ αὐτὸς βασιλεὺς πέμπει ἐπὶ τὴν Νίσιβιν ὁπλίτας ἄνδρας μυρίους ἑξακισχιλίους μετὰ δύο ἐξάρχων Σεβαστιανοῦ καὶ Προκοπίου. καὶ κατέφθασεν ὁ αὐτὸς*

---

*) Eundem esse Magnum tribunum apud Zosimum 3, 22, 8 et Ammianum Marc. 24, 4, 23 in Ctesiphonte urbe oppugnata memoratum coniicit Müllerus. Correxit autem Chilmeadus vitia *Καρηνὸς* et *Κάραι*, quae duplici ρ scribenda, et *Ἀββορᾶ*, quod simplici β et duplici ρ, ut infra p. 379, 26.

Ἰουλιανὸς τὸ Κιρκήσιον κάστρον· καὶ ἐάσας καὶ ἐν τῷ Κιρκησίῳ κάστρῳ ὅσους εὗρεν ἐγκαθέτους στρατιώτας ἑξακισχιλίους, προσθεὶς αὐτοῖς καὶ ἄλλους ὁπλίτας ἄνδρας τετρακισχιλίους μετὰ ἐξάρχων δύο Ἀκκαμέου [*Μακαμαίου* Zosimus 3, 26, 8] *καὶ Μαύρου. καὶ ἐξῆλθεν ἐκεῖθεν, καὶ παρῆλθε τὸν Ἀβόρραν ποταμὸν διὰ τῆς γεφύρης, τῶν πλοίων φθασάντων εἰς τὸν Εὐφράτην ποταμόν· ὧντινων πλοίων ὑπῆρχεν ὁ ἀριθμὸς χιλίων διακοσίων πεντήκοντα. καὶ συναθροίσας τὸν ἴδιον αὐτοῦ στρατόν, ἔχων μεθ' ἑαυτοῦ Ἀνατόλιον μάγιστρον καὶ Σαλούστιον ἔπαρχον πραιτωρίων καὶ τοὺς στρατηλάτας αὐτοῦ, ἀνελθὼν ἐν ὑψηλῷ βήματι δι' ἑαυτοῦ προσεφώνησε τῷ στρατῷ, ἐπαινῶν αὐτοὺς καὶ προτρεπόμενος προθύμως καὶ σωφρόνως ἀγωνίσασθαι κατὰ Περσῶν. καὶ εὐθέως ἐμβαίνειν εἰς τὰ πλοῖα ἐπέτρεψεν, εἰσελθὼν καὶ αὐτὸς ὁ βασιλεὺς εἰς τὸ εὐτρεπισθὲν αὐτῷ πλοῖον, καὶ προηγεῖσθαι αὐτῶν προσκουλκάτορας προσέταξεν ἄνδρας γενναίους ἐκ τοῦ ἀριθμοῦ τῶν λαγκιαρίων καὶ ματτιαρίων χιλίους πεντακοσίους, κελεύσας βαστάζεσθαι καὶ τὰ σίγνα αὐτοῦ καὶ τὸν κόμητα Λουκιανόν* [sic etiam Zosimus 3, 13, 5. *Λουκιλλιανὸν* 3, 8, 4; 14, 3, ubi v. Heyn.], *ἄνδρα πολεμικώτατον, εἶναι σὺν αὐτῷ. ὅστις καὶ πολλὰ κάστρα Περσικὰ παρὰ τὸν Εὐφράτην κείμενα καὶ ἐν μέσῳ τῶν ὑδάτων ἐν νήσοις ὄντα ἐπόρθησε καὶ τοὺς ἐν αὐτοῖς ὄντας Πέρσας ἀνεῖλε. Βίκτορα δὲ καὶ Δαγαλάϊφον κατέταξεν ὄπισθεν τῶν λοιπῶν πλοίων εἶναι καὶ φυλάττειν τὰ πλήθη. καὶ κατῆλθεν ὁ βασιλεὺς μετὰ τοῦ στρατοῦ παντὸς διὰ τῆς μεγάλης διώρυγος τοῦ Εὐφράτου τῆς μισγούσης τῷ Τίγρητι ποταμῷ· καὶ εἰσῆλθεν εἰς τὸν αὐτὸν Τίγρητα ποταμόν, ὅπου μίγνυνται οἱ*

δύο ποταμοὶ καὶ ἀποτελοῦσι λίμνην μεγάλην. καὶ παρέβαλεν εἰς τὰ Περσικὰ ἐν τῇ χώρᾳ τῶν λεγομένων Μαυζανιτῶν πλησίον Κτησιφῶντος πόλεως, ἔνθα ὑπῆρχε τὸ Περσικὸν βασίλειον· καὶ ἐπικρατὴς γενόμενος Ἰουλιανὸς ὁ βασιλεὺς ἐσκήνωσεν ἐν τῇ πεδιάδι τῆς αὐτῆς πόλεως Κτησιφῶντος, βουλόμενος μετὰ τῆς ἰδίας συγκλήτου καὶ ἕως Βαβυλῶνος εἰσελθεῖν καὶ παραλαβεῖν τὰ ἐκεῖσε. ὁ δὲ βασιλεὺς Σαββουραρσάκιος ὑπονοήσας ὅτι διὰ τῆς Νισίβεως ἤρχετο ὁ βασιλεὺς Ῥωμαίων Ἰουλιανός, ὥρμησε κατ' αὐτοῦ μετὰ τοῦ πλήθους αὐτοῦ παντός. ἀπαγγελθέντος δὲ αὐτῷ ὅτι ὄπισθεν αὐτοῦ ἐστιν ὁ βασιλεὺς Ῥωμαίων Ἰουλιανὸς παραλαβὼν τὰ Περσικὰ μέρη καὶ ὅτι ἔμπροσθεν αὐτῷ ἀπαντῶσιν οἱ στρατηγοὶ τῶν Ῥωμαίων καὶ πλήθη πολλά, καὶ γνοὺς ὅτι ἐμεσάσθη, φεύγει ἐπὶ τὴν Περσαρμενίαν, δόλῳ πέμψας δύο συγκλητικοὺς αὐτοῦ καὶ αὐτοὺς κατὰ ἰδίαν βούλησιν ῥινοτομήσας πρὸς Ἰουλιανὸν τὸν βασιλέα Ῥωμαίων, ἵνα πλανήσωσιν αὐτόν, πρὸς τὸ μὴ καταδιωχθέντα αὐτὸν φθασθῆναι. οἱ δὲ ῥινοτομηθέντες Πέρσες (sic) ἦλθον πρὸς τὸν βασιλέα Ῥωμαίων προδοῦναι, φησίν, θέλοντες τὸν βασιλέα Περσῶν, ὡς τιμωρησάμενον αὐτούς. ἀπατηθεὶς δὲ παρ' αὐτῶν ἐπομνυμένων ὁ αὐτὸς βασιλεὺς Ἰουλιανὸς ἠκολούθησεν αὐτοῖς μετὰ τοῦ ἰδίου στρατεύματος· καὶ ἀπήγαγον αὐτὸν εἰς τὴν ἔρημον καὶ ἄνυδρον ἐπὶ μίλια ρν', πλανήσαντες αὐτούς, τῇ εἰκάδι πέμπτῃ τοῦ δαισίου τοῦ καὶ ἰουνίου μηνός. καὶ εὑρὼν (εὗρον?) ἐκεῖ τείχη παλαιὰ πεπτωκότα πόλεως λεγομένης Βουβίων, καὶ ἄλλο δὲ χωρίον, ἑστώτων μὲν τῶν οἰκημάτων, ἔρημον δὲ ἦν, ὅπερ ἐλέγετο Ἀσία· ἔνθα ἐλθὼν ὁ βασιλεὺς Ἰουλιανὸς καὶ ὁ πᾶς στρατὸς τῶν Ῥωμαίων ἐκεῖ ἐσκήνωσεν.

ἐν αὐτοῖς δὲ τοῖς τόποις γενόμενοι ἐλείποντο τροφῶν καὶ οὐδὲ τοῖς ἀλόγοις ὑπῆρχε βοτάνη· ἦν γὰρ ἐρημία· καὶ γνοὺς ὁ πᾶς στρατὸς Ῥωμαίων ὅτι ἀπατηθεὶς ὁ βασιλεὺς ἐπλάνησεν αὐτοὺς καὶ εἰς ἐρήμους ἤγαγε τόπους, εἰς πολλὴν ἀταξίαν ἐτράπησαν. τῇ δὲ ἑξῆς ἡμέρᾳ μηνὶ ἰουνίῳ κς´ ἀγαγὼν τοὺς πλανήσαντας αὐτὸν Πέρσας ἐξήτασεν αὐτούς· καὶ ὡμολόγησαν λέγοντες ὅτι ὑπὲρ πατρίδος καὶ τοῦ βασιλέως ἡμῶν, ἵνα σωθῇ, ἐδώκαμεν ἡμᾶς ἑαυτοὺς εἰς θάνατον, καὶ ἐπλανήσαμεν ὑμᾶς· ἰδοὺ οἱ δοῦλοί σου ἀπεθάνομεν. καὶ ἀπεδέξατο αὐτούς, μὴ φονεύσας αὐτούς, ἀλλὰ δοὺς λόγον αὐτοῖς, ἵνα ἐκβάλωσι τὸν στρατὸν ἐκ τῆς ἐρήμου χώρας. καὶ περὶ ὥραν δευτέραν τῆς αὐτῆς ἡμέρας ὁ βασιλεὺς Ἰουλιανὸς παριὼν τὸ στράτευμα καὶ δυσωπῶν αὐτοὺς μὴ ἀτάκτως φέρεσθαι ἐτρώθη ἀδήλως· καὶ εἰσελθὼν εἰς τὸν ἴδιον παπυλεῶνα διὰ τῆς νυκτὸς τελευτᾷ, ὡς ὁ προγεγραμμένος Μάγνος ἐξέθετο.

Εὐτυχιανὸς δὲ ὁ χρονογράφος ὁ Καππάδοξ*), στρατιώτης ὢν καὶ βικάριος τοῦ ἰδίου ἀριθμοῦ τῶν Πριμοαρμενιακῶν, παρὼν καὶ αὐτὸς ἐν τῷ πολέμῳ, συνεγράψατο ὅτι κατελθὼν ὁ αὐτὸς βασιλεὺς Ἰουλιανὸς μονὰς ιε´ ἐπὶ τὰ Περσικὰ μέρη διὰ τοῦ Εὐφράτου εἰσῆλθε καὶ ἐπικρατὴς γενόμενος καὶ νικήσας πάντας παρέλαβεν ἕως πόλεως λεγομένης Κτησιφῶντος, ἔνθα ὁ βασιλεὺς Περσῶν ἐκάθητο, ἐκείνου φυγόντος ἐπὶ τὰ μέρη τῶν Περσαρμενίων, καὶ βουλομένου μετὰ τῆς ἰδίας συγκλήτου καὶ τοῦ στρατοῦ

*) Idem sit an diversus apud Codinum De orig. Cpol. p. 9, A, ed. Paris., ubi de Cpolis muris Constantinianis et encaeniis agens addit καθὼς ἱστοροῦσιν Εὐτυχιανὸς πρωτοασηκρήτης ὁ γραμματικὸς καὶ Εὐτρόπιος ὁ σοφιστὴς κ. τ. λ. in medio relinquit Müllerus.

αὐτοῦ ἄχρι τῆς Βαβυλῶνος τῇ ἑξῆς ὁρμῆσαι καὶ ταύτην παραλαβεῖν διὰ τῆς νυκτός. καὶ ὡς καθεύδει, εἶδεν ἐν ὁράματί τινα τέλειον ἄνδρα ἐνδεδυμένον ζάβαν καὶ εἰσελθόντα πρὸς αὐτὸν εἰς τὸν παπυλεῶνα αὐτοῦ πλησίον τῆς πόλεως Κτησιφῶντος ἐν πόλει λεγομένῃ Ἀσίᾳ καὶ κρούσαντα αὐτὸν λόγχῃ· καὶ πτοηθεὶς ἐξυπνίσθη κράξας· καὶ ἐξανέστησαν οἱ κουβικουλάριοι εὐνοῦχοι καὶ σπαθάριοι καὶ ὁ στρατὸς ὁ φυλάττων τὸν παπυλεῶνα, καὶ εἰσελθόντες πρὸς αὐτὸν μετὰ λαμπάδων βασιλικῶν· καὶ προσεσχηκὼς Ἰουλιανὸς ὁ βασιλεὺς ἑαυτὸν σφαγέντα κατὰ τῆς μασχάλης ἐπηρώτησεν αὐτούς "πῶς λέγεται ἡ κώμη ὅπου ἐστὶν ὁ παπυλεών μου;" καὶ εἶπον αὐτῷ ὅτι Ἀσία λέγεται. καὶ εὐθέως ἔκραξεν "ὦ ἥλιε, ἀπώλεσας Ἰουλιανόν." καὶ ἐκχυθεὶς τὸ αἷμα παρέδωκε τὴν ψυχὴν ὥραν νυκτερινὴν πέμπτην ἔτους κατὰ Ἀντιόχειαν τὴν μεγάλην χρηματίζοντος υια´.

IOANNIS EPIPHANIENSIS FRAGMENTUM.

Eustathio Epiphaniensi adiunxi fragmentum Ioannis Epiphaniensis, de quo Euagrius Hist. eccl. V, 24 extr.: *Προκοπίῳ δὲ τῷ ῥήτορι πεποίηται τὰ ἐξ ἐκείνου* (*'Αναστασίου*) *ἕως τῶν 'Ιουστινιανοῦ χρόνων· καὶ τὰ ἐχόμενα δὲ τούτων 'Αγαθίῳ* (sic) *τῷ ῥήτορι καὶ 'Ιωάννῃ ἐμῷ τε πολίτῃ καὶ συγγενεῖ καθ' εἱρμὸν ἱστόρηται μέχρι τῆς Χοσρόου τοῦ νέου πρὸς 'Ρωμαίους φυγῆς* (a. 590 p. C.) *καὶ τῆς εἰς τὴν αὐτοῦ βασιλείαν ἀποκαταστάσεως, Μαυρικίου μηδαμῶς πρὸς τὴν πρᾶξιν ἐλινύσαντος, ὑποδεξαμένου δὲ βασιλικῶς, καὶ μάλιστα τάχιστα ἐς τὴν βασιλείαν χρήμασί τε μεγάλοις καὶ στρατεύμασι καταγαγόντος* (v. Euagr. VI, 17—21)· *εἰ καὶ μήπω ἔτυχον ἐκδεδωκότες.*

Fragmentum eius, quod unum superest, ex codice Vaticano edidit Hasius, primum usque ad finem s. 1, *Notices et Extr.* vol. 8, part. 2, p. 259—260, deinde integrum post Leonem Diaconum editionis Parisinae p. 173. Idem de codice ipsoque Ioanne p. XIII seq.: „Fragmentum Ioannis Epiphaniensis reperi in cod. Vaticano 1065, constante foll. bombycinis C, initio et fine mutilo. Ubi post Theophylacti Simocattae Dialogos de quaestionibus physicis, Constantinum Porphyrogenetam De thematibus, Procopium De aedificiis, alia, habetur

24*

fol. 94 verso — 100 verso exordium Historiae Ioanneae, inscriptum: *Ἰωάννου, σχολαστικοῦ καὶ ἀπὸ ἐπάρχων, περὶ τῆς τοῦ νέου Χοσρόου προσχωρήσεως πρὸς Μαυρίκιον, τὸν Ῥωμαίων αὐτοκράτορα, ἱστοριῶν τόμος α΄*. Sed ne is quidem tomus integer ad nos pervenit, abiuncta omissaque post fol. 100 versum maxima parte codicis. — An opus absolverit Ioannes incertum; absolvisse tamen colligas ex testimonio Euagrii (supra p. 371); unde patet, tunc cum haec scriberet Euagrius (circ. a. 593), Agathiam et Ioannem non edidisse quidem eorum scripta, absolvisse tamen. Sed, quantumvis licet ediderit Ioannes, ad miram paucitatem redigi exemplaria Historiae eius necesse fuit, cum effervescentes in Asiam atque erumpentes Arabes Syriam omnem Aegyptumque armis tenuerunt, litteris Graecis per has partes obsolescentibus; liberque Ioannis adeo iam evanuerat saec. XII ineunte, ut Anna Comnena, cum praefationem Alexiadis pangens ab Ioanne nostro complures locutiones compilarit (vide quae dixi Prolegomen. ad Ioann. Lydum De magistrat. Roman. XVIII. C et Notitt. mss. Bibl. Reg. VIII, 261. D*), propter raritatem exemplarium Ioanneorum latiturum furtum ipsius sperasse videatur. Histo-

---

*) Priori loco Hasius: „A en juger d'après le fragment qui suit cette exposition (§ 1), Jean d'Épiphanie avoit composé son ouvrage avec assez de bonne foi et de soin. Mais je soupçonne que Théophylacte Simocatta s'en est servi dans le IVe et le Ve livre de son Histoire, et qu'il l'a copié en beaucoup d'endroits. En ce cas, nous aurions moins à regretter la perte d'un écrivain qui nous apprendroit peut-être peu de nouveaux détails. Au reste, Anne Comnène paroît avoir eu connaissance du fragment qu'on vient de lire, et peut-être de l'ouvrage entier; car dans la préface de l'Alexiade non seulement elle répète les idées de Jean, mais elle s'est permis de transcrire mot à mot quelques-uns de ses lieux communs. Dans la phrase, *ὡς ἂν μὴ πρᾶγμα τηλικοῦτον τοῖς ἔπειτα γενησομένοις κα-*

riae autem sic deperditae desiderium quo tolerabilius feramus, ita reputemus superesse apud Theophylactum Simocattam libb. IV et V 90. D. 139. D. de Chosrois fuga atque per Narsem in regnum reductione narrationem admodum diligentem, quales oculatorum testium esse soleant. Ac nisi omnia me fallunt, quaecunque habet de expeditione illa Theophylactus, habet ex scriptore nostro, ut adeo velut excerptor aliquis praecipuorum capitum Historiae Ioanneae sit putandus. Sed turgidis et quasi anhelatis gravius verbis fudit quae vix XXX annis ante (tam subita fuit litterarum in imperio Orientali saec. VII ineunte ruina) congruenter exposuerat Ioannes. Is enim in his certe quae nunc prodeunt, studiosum se osten-

---

ταλειφθείη ἀμάρτυρον (praef. p. 2) elle change du moins le dernier mot, mais elle a pris dans Jean toute la ligne suivante: *ἐπεὶ καὶ τὰ μέγιστα τῶν ἔργων, εἰ μή πως ἄρα διὰ τῶν λόγων φυλαχθείη καὶ τῇ μνήμῃ παραδοθείη, τῷ τῆς σιωπῆς ἀποσβέννυται σκότῳ.* Je ne sais si ce plagiat de la princesse peut être excusé par l'exemple de ses compatriotes, et par celui de Jean d'Épiphanie lui même, dont le style est rempli de réminiscences, et dont le début semble imité d'Appien, lib. VII, cap. 1, vol. 1, p. 228 ed. Schweigh." Altero autem loco eadem omnia quae hic, nisi quod addit codicem Vaticanum inter Parisios tum transvectos ab se deprehensum esse charta cariosa sec. XIII scriptum, ut priori quoque loco post ea quae sunt supra p. 372, 6 de codice addiderat; „Est praeterea in pagellis superstitibus passim charta erosa, verbaque exciderunt: quas lacunas, in impresso punctis notatas (p. 376, 1; 377, 20; 378, 22; 379, 23), ad oram utcunque supplere conatus sum." Idem ad p. 380, 24 huius ed. in margine ad voc. *ἐξαπίνης* (ubi lacunam ita supplevit in latinis: Chosroes rex subito [sese ad Darae oppugnationem applicat: aquam ab urbe secludit: aggeribus] magnis pro muro excitatis) annotat; „Folia proxime sequentia 97, 98, 99, ad Procopium de aedificiis pertinent. Folio 100, quod est extremum codicis, pergit Ioannes, sed magnis cariosae conscissaeque pagellae lacunis." Omisit autem Hasius in loco illo praefationis p. 373, 1, quod et in inscriptione editionis p. 171 addidit et in Notit. p. 259 addiderat *Ἐπιφανέως*, ut loco illo praefationis casu omisisse videatur quod adesset in codice.

dit dictionis Thucydideae, nec fere utitur verbis senescentis Graecitatis: si tamen excipis χρόνους pro ἔτη 172. D. De ipso, quem alii cum Ioanne Antiocheno scholastico patriarcha Cpolitano, alii cum Ioanne Malala, alii cum alio Ioanne confuderunt, v. H. Valesium ad Euagr. p. 122, B. — Fabricius eum Ioannem Antiochenum vocat B. Gr. VI, 686. A. Harl. [post Vossium ab Valesio notatum] Ioannes historicus, de quo codex Lipsiensis Genesii (Fabric. B. Gr. VI, 622. B. Harl.; VII, 532. A.), siquidem Diocaesareae presbyter fuit, alius videtur ac noster. Cuius de vita nihil notum esse existimo praeter ea quae ipse exponit in operis exordio 172. B. (376 huius ed.)"

Ad orationem Ioannis quod attinet, quum constanter ille usus sit forma ἐς, mutandum fuit εἰς p. 378, 9; 379, 11, neque relinquendum videtur p. 377, 7 πεποίητο ei qui augmentum servare solet, etsi hic praecedit vocalis, alibi consona. Item εἰ — ἐθελήσῃ p. 378, 6 scribendum videtur ἐθελήσει, ut προειδομένων 23 scripsi προϊδομένων. Neque Τιβέριος ὁ Καῖσαρ scripserat p. 382, 9, qui p. 381, 19 Τιβερίῳ Καίσαρι, etiamsi καθ' ὅσον δ' ἂν οἷός τε ὦ p. 376, 17 et περαιωθέντος p. 382, 16 aetatis, non ipsius sint vitia. Accentum ἐπανιᾶσι p. 378, 30 correxerat Hasius.

ΙΩΑΝΝΟΥ

p. 171 ed. Has.

ΣΧΟΛΑΣΤΙΚΟΥ ΚΑΙ ΑΠΟ ΕΠΑΡΧΩΝ ΕΠΙΦΑΝΕΩΣ

περὶ τῆς τοῦ νέου Χοσρόου προσχωρήσεως πρὸς Μαυρίκιον τὸν Ῥωμαίων αὐτοκράτορα

ΙΣΤΟΡΙΩΝ ΤΟΜΟΣ Α.

1 *Τὰ μὲν ὅσα Ῥωμαῖοί τε καὶ Μῆδοι πολεμοῦντες ἀλλήλοις ἔπαθόν τε καὶ ἔδρασαν κατὰ τὴν Ἰουστινιανοῦ τοῦ Ῥωμαίων αὐτοκράτορος βασιλείαν*) γέγραπται Ἀγαθίᾳ τῷ Μυριναίῳ, ἀνδρὶ τοῖς ἐν Βυζαντίῳ ῥήτορσι καταλεγέντι**) διαφανῶς καὶ μετά γε Προκόπιον τὸν Καισαρέα τὰ πρὸς τοὺς βαρβάρους πραχθέντα ἀναγράψαντι. μεγίστου δὲ ὄντος ὧν ἀκοῇ ἴσμεν αὐτὸν βασιλέα Περσῶν φυγάδα τῆς οἰκείας* p. 172 *γενόμενον τῆς τε ἀρχῆς ἐκπεπτωκότα τῇ Ῥωμαίων προσχωρῆσαι πολιτείᾳ, Μαυρικίου βασιλέως δεόμενον συμμαχίαν οἱ ἐπιδοῦναι καὶ ἐς τὴν βασιλείαν καταγαγεῖν, τοῦτο ἔρχομαι λέξων, οὐ λόγου περιου-*

---

*) In margine sec. manu ascriptum *τοῦτο*.

**) Infra § 5 *τοῖς πατρικίοις τῆς συγκλήτου βουλῆς ἐγκαταλελεγμένον*. Apud Eunapium fr. 38, supra p. 235, 5, pro *ὁ κατειλεγμένος τοῖς νοταρίοις* Herwerdenus p. 239 *ἐγκατειλεγμένος*, frustra, ut ostendit Zonaras vol. 1, p. 642, B; 2, p. 8, D.

σίᾳ τεθαρρηκὼς οὐδέ γε πρότερον . . .*), ἀλλ' ὡς ἂν μὴ πρᾶγμα τηλικοῦτον τοῖς ἔπειτα γενησομένοις ἀδιαβόητον καταλειφθείη, ἐπεὶ καὶ τὰ μέγιστα τῶν ἔργων, εἰ μή πως ἄρα διὰ τῶν λόγων φυλαχθείη καὶ τῇ μνήμῃ παραδοθείη, τῷ τῆς σιωπῆς ἀποσβέννυται σκότει. παρέχουσι γὰρ οἱ λόγοι τὸ ζῆν καὶ διαφθειρομένοις τοῖς πράγμασιν. ἔπειτα δὲ καί τισι τῶν γεγενημένων παρατυχών, αὐτῷ τε Χοσρόῃ τῷ νέῳ ἐς λόγους ἐλθὼν καὶ τῶν ἄλλων Μήδων τοῖς μάλιστα ἀξιολογωτάτοις· καὶ γάρ με συμβέβηκε πρότερον μὲν Γρηγορίῳ τῷ τῆς Ἀντιοχέων πόλεως ἀρχιερεῖ σύμβουλον ὄντα ἅμα αὐτῷ τὴν πρὸς ἐκείνους ὁμιλίαν fol. 95 r. πολλάκις ποιήσασθαι, χρόνῳ δὲ ὕστερον μετὰ τὴν τοῦ πολέμου τελευτὴν καὶ ἐς τὴν Περσῶν ἀφικέσθαι γῆν, Γεωργίῳ συνεσβαλόντα τὴν τῶν γενομένων ὁμοφροσύνην ποιουμένῳ· οὐκ ἄτοπον ἡγησάμην καθ' ὅσον δ' ἂν οἷός τε ὦ τοῖς οὐκ εἰδόσι τὰ περὶ τούτων διηγήσασθαι. ἀναγκαῖον δὲ ὂν τῆς τῶν ἑπομένων γνώσεως ἕνεκα ἀκριβῶς εἰδέναι καὶ τὰ καίρια τῶν προγεγενημένων, οὐχ ἥκιστα δὲ τὰ ἐς τὴν ἐπανάστασιν τὴν Ὁρμίσδᾳ τῷ Χοσρόου πατρὶ γεγενημένην, τῶν ἔμπροσθέν μοι δοκεῖ διὰ βραχέων μνημονεύσαντα πρότερον, οὕτω καὶ ἐπὶ τὸν ἄλλον ἀφικέσθαι λόγον, ὡς τοὺς μὲν εἰδότας ὑπομνησθῆναι τῶν κεκινημένων, τοὺς δὲ μηδ' ὅλως ἀκηκοότας τὰς ἀφορμὰς ἔχειν εἰδέναι σαφῶς ἀφ' ὧν τὰ μετὰ ταῦτα πραχθέντα γεγόνασιν.

2 Ἐπεὶ γὰρ Ἰουστινιανὸς βασιλεὺς ἐννέα καὶ τριάκοντα τοῖς πᾶσιν ἔτεσι Ῥωμαίων ἄρξας ἐτελεύτα τὸν

*) Vox erasa. ἐπιτηδεύσας aut aliquid tale supplebat Hasius. Qui in priori ed. οὐδ' ὅ γε τοῦτο πρότερον pro οὐδέ γε πρότερον.

βίον, τοῦ χρόνου τὸ πέρας ἐν εἰρήνῃ βιώσας πρός τε τοὺς ἄλλους καὶ Μήδους αὐτούς, τήν τε Ῥωμαίων διεδέξατο βασιλείαν Ἰουστῖνος ὁ νέος, ἀδελφιδοῦς αὐτῷ γεγονώς, λυθεισῶν τῶν πρὸς ἀλλήλους Ῥωμαίοις τε καὶ Μήδοις ἔμπροσθεν γεγενημένων σπονδῶν, ἃς Ἰουστινιανὸς πρὸς Χοσρόην τὸν Καβάδου, Περσῶν βασιλέα, ἐπὶ χρόνους πεντήκοντα πέντε πεποίητο, μέγαν πόλεμον κεκινήκασι πρὸς ἀλλήλους, ἀρχθέντα μὲν ἤδη κατὰ τὸ ἕβδομον ἔτος τῆς Ἰουστίνου βασιλείας, ἐς εἴκοσι δὲ χρόνους ἐπεκταθέντα καὶ τὸ πέρας δεξάμενον τῷ ἐνάτῳ τῆς βασιλείας ἐνιαυτῷ τοῦ Ῥωμαίων αὐτοκράτορος Μαυρικίου. τὰς μὲν οὖν αἰτίας τῆς τῶν γενῶν φιλονεικίας ἀλλήλοις p. 173 *ἐπῆγον, Ῥωμαῖοι μὲν χαλεπῶς φέροντες, ὅτι τοὺς Ὁμηρίτας, Ἰνδικὸν δὲ τὸ γένος καὶ σφίσιν αὐτοῖς σύμμαχόν τε καὶ ὑπήκοον, ἀποστῆσαι Μῆδοι διενοήθησαν, μηδαμῶς τε ἑλομένων ἐκείνων, ἔφοδον κατ' αὐτῶν ἐποιήσαντο τοῦ χρόνου τῶν σπονδῶν ἐνισταμένου·* fol. 95 r. *πρὸς τούτοις δέ, ὅτι καὶ Τούρκων πρὸς Ῥωμαίους . . .* [supplet Hasius *πρεσ*]*βευσαμένων, Ἰουστίνου δὲ βασιλέως τὴν πρεσβείαν προσιεμένου, καὶ Ζήμαρχον, ἄνδρα τῆς συγκλήτου βουλῆς, σὺν ἐκείνοις ἐκπέμψαντος, Πέρσαι τοὺς Ἀλανοὺς χρήμασι διαφθεῖραι βουληθέντες, δι' ὧν ἐκεῖνοι τὴν πορείαν ἔμελλον ποιήσασθαι, τόν τε Ζήμαρχον καὶ τοὺς σὺν αὐτῷ Ῥωμαίους τε καὶ Τούρκους ἐκποδὼν γενέσθαι διεσπούδαζον. τὸν ὅμοιον δὲ τρόπον ἀντεπῆγον καὶ Μῆδοι, τοῦ πολέμου τὰς ἀφορμὰς ἐπικαλοῦντες Ῥωμαίοις, ὅτι τοὺς Ἀρμενίους, ὑποφόρους σφίσιν ὄντας, ἐς ἐπανάστασίν τε ἑωρακότας καὶ τὸν ἄρχοντα*

---

10 *ἐπεκτανθέντα* ed. Hasii et *ἐννάτῳ*.

σφῶν Σουρήνην τοὔνομα διαχρησαμένους, τῇ τε Ῥωμαίων ἀρχῇ προσχωρήσαντας, ἐν σπονδαῖς ὑπεδέξαντό τε καὶ τῆς οἰκείας αὐτοῖς μεταδεδώκασι συμμαχίας. οὐχ ἥκιστα δὲ τὸ φιλόνεικον αὐτοῖς ἐπὶ πλέον ηὐξήθη, εἴ τις ἄρα τὴν ἀφανεστάτην αἰτίαν, ἀληθῆ δὲ ὅμως, μαθεῖν ἐθελήσῃ, ὅτι δὴ ὁ βασιλεὺς Ἰουστῖνος οὐδαμῇ ἠξίου χρυσίου λίτρας πεντακοσίας, ἐφ᾽ αἷς ἔμπροσθεν γεγόνασιν αἱ σπονδαί, παρέχειν Μήδοις ἐς ἕκαστον ἔτος, καὶ τὴν Ῥωμαίων πολιτείαν Πέρσαις ὑπόφορον ἐς ἀεὶ καταστήσασθαι.

3 *Τοῦ χρόνου τοίνυν ἐς πέρας ἀχθέντος, ὑπὲρ οὗ τὰ χρήματα κατὰ τὰ πάλαι συγκείμενα Χοσρόης ὁ Περσῶν ἐκεκόμιστο βασιλεύς· καὶ γὰρ ἐδόκει κατὰ ταὐτὸν τὸ τῆς δεκαετίας ποσὸν ἐπιδίδοσθαι· μηδενός τε τὸ λοιπὸν ἐς σύμβασιν ὁμιληθέντος, Ἰουστῖνος ὁ Ῥωμαίων βασιλεὺς ἐς τὴν ἑῴαν κατὰ τάχος ἐκπέμπει Μαρκιανὸν στρατηγόν, ἐν τοῖς πατρικίοις τῆς συγκλήτου βουλῆς τεταγμένον, αὐτῷ τε πρὸς γένος συνημμένον, τῶν τε πολεμικῶν κινδύνων οὐκ ἄπειρον, καὶ ἄλλως ἀνδρεῖον ὄντα τε καὶ δοκοῦντα. διαβὰς δὲ τὸν Εὐφράτην ὁ Μαρκιανός, καὶ κατὰ τὴν* fol. 96 r. *Ὀσροηνὴν γεγονώς, ἤδη τοῦ θέρους παρ[ακμάσαντος* supplet Hasius], *καὶ τῶν βαρβάρων τέως οὐδὲν προιδομένων πολέμιον, τρισχιλίους ὁπλίτας κατὰ τὴν Ἀρζανηνὴν οὕτω καλουμένην ἐκπέμπει μοῖραν, ἡγεμόνας ἐπιστήσας αὐτοῖς Θεόδωρόν τε καὶ Σέργιον, ἐκ τοῦ Ῥάβδιος τὸ γένος ἕλκοντας, Ἰουβεντῖνόν τε, τῶν ἐν Χαλκίδι ταγμάτων ἡγούμενον. ἐμβαλόντες* p. 174 *οὖν ἐξαπίνης τὴν Περσῶν δῃοῦσι γῆν καὶ λείαν ἱκανὴν κομισάμενοι ὡς τάχιστα ἐπανίασι. μετὰ δὲ τὴν τοῦ χειμῶνος ὥραν Μαρκιανοῦ τὰς δυνάμεις αὖθις συναγείραντος, ἔκ τε τοῦ Δάρας ὁρμηθέντος, καὶ*

τῶν βαρβάρων τῆς Νισίβεως πόλεως ἔμπροσθεν ὑπαντιασάντων, στρατηγοῦντος αὐτοῖς Βαραμάνου, ὃς τῶν ἐκεῖσε ταγμάτων ἄρχειν ἐτέτακτο, μάχην ἰσχυρὰν γενέσθαι συμβέβηκε, Σαργαθὼν οὕτω προσαγορευομένου Περσικοῦ χωρίου πλησίον, ἐν ᾗπερ ἀνὰ κράτος Ῥωμαῖοι τοὺς βαρβάρους τρεψάμενοι, πολλοὺς δὲ καταβαλόντες, ἀπόπειραν μὲν τοῦ Θηβηθῶν (Θεβοθὼν ap. Theophyl.) ἐποιήσαντο φρουρίου δέκα τὰς πάσας ἡμέρας αὐτόσε διατρίψαντες. τοῦτο δὲ μηδαμῶς ἑλεῖν δυνηθέντες, αὖθις κατὰ τὸ Δάρας ἐπανίασι πόλισμα, ἔτι τοῦ ἦρος ἀκμάζοντος, καὶ ἐς τὴν πολεμίαν αὖθις ἐμβάλλουσι γῆν, γνώμῃ τε βασιλέως Ἰουστίνου Νίσιβιν πολιορκεῖν διεγνώκασιν.

4 Στρατοπεδευομένων δὲ αὐτῶν τῆς πόλεως πλησίον, βασιλεὺς Χοσρόης ἄρας ἐκ Βαβυλῶνος ἅμα τῷ τῶν Μήδων στρατῷ, καὶ Τίγριν ποταμὸν διαβάς, τήν τε πορείαν διὰ τῆς ἐρήμου γῆς ποιούμενος, ὡς μηδαμῇ Ῥωμαίοις ἔκπυστος ἡ τοῦ βασιλέως γένοιτο κίνησις, ἐπειδὴ πλησίον Ἀμβαρὼν Περσικοῦ γέγονεν φρουρίου, ἀφειστήκει δὲ τοῦτο πόλεως Κιρκησίου ὁδὸν ἡμερῶν πέντε, τὸν μὲν Ἀδααρμάνην, οὕτω καλούμενον στρατηγόν, αὐτόσε που τὸν Εὐφράτην fol. 99 v. περαιωθέντα, κατὰ τάχος ἐκπέμπει, [τὴν Ῥωμαίων supplet Hasius] δῃώσοντα γῆν, χιλιάδας ἓξ αὐτῷ παρασχόμενος Μήδων τε καὶ τῶν νομάδων βαρβάρων· αὐτὸς δὲ τὸν Ἀβόρραν [παραμείβων ποταμὸν ἀπροσδοκήτως ἐπιστῆναι margo manu sec.] τοῖς τὴν Νίσιβιν πολιορκοῦσι Ῥωμαίοις ἠπείγετο. ὁ μὲν οὖν Ἀδααρμάνης Κιρκησίου πόλεως πλησίον τὸν Εὐφράτην διαβὰς τὰ Ῥωμαίων προενόμευε πράγματα, κωλύοντος οὐδενός. ὑπὸ γὰρ τῆς προλαβούσης εἰρήνης καὶ ἡσυχίας, ἧς ἱκανῶς ἐπὶ τῆς Ἰουστινιανοῦ βασι-

λείας ἀπολελαύκασιν, ἐξελέλυτο μὲν αὐτοῖς ἡ τῶν πολεμικῶν παρασκευή, τὸ δὲ ἀνδρεῖον τελέως διέφθαρτο. μηδενὸς οὖν ἐς χεῖρας ἰέναι τοῖς βαρβάροις θαρρήσαντος, Ἀδααρμάνης ἄγχιστα πόλεως Ἀντιοχείας γεγονώς, τούς τε παρακειμένους τῇ πόλει τόπους τε καὶ ἀγροὺς διαφθείρας, ἐπὶ τὴν Κοίλην ἐλαύνει Συρίαν. Ἀπαμείας δὲ πόλεως μεγάλης οὐ πόρρωθεν στρατοπεδευσάμενος, τῶν τε πολιτῶν πρεσβευσαμένων καὶ [τὰ τῆς πόλεως λύτρα προτεινομένων, ἀπάτῃ τοὺς ἄνδρας margo manu sec.] περιελ- p. 175 θὼν καὶ τὴν πόλιν ἀπαθῆ διαφυλάττειν ἐπαγγειλάμενος, ἐπειδὴ ταύτης ἐντὸς ἐγεγόνει, διαρπάζουσι μὲν οἱ Μῆδοι τὰ πράγματα, καὶ τοὺς ἐνοικοῦντας ἀνδραποδίσαντες τήν τε πόλιν ἅπασαν πυρὶ παραδόντες, ὡς τάχιστα ἐς τὴν οἰκείαν ἐπανίασι γῆν. τούτων δὲ οὕτω πραχθέντων, βασιλεὺς Ἰουστῖνος Ἀκάκιον ἐκπέμψας, Ἀρχελάου δὲ τοῦτον Ῥωμαῖοι προσονομάζειν εἰώθεσαν, Μαρκιανὸν ἔτι Νίσιβιν πολιορκοῦντα παρέλυσε τῆς ἀρχῆς, ὑποτοπήσας αὐτὸν ἐθελοκακεῖν, ἐς τὴν τῆς πόλεως κατοχὴν οὐδενὸς γεγονότος.

5 Τῶν δὲ Ῥωμαίων ὑπαναχωρησάντων, ἔς τε φρούριον ἐν ὄρει κείμενον ἀφικομένων, Μάρδης ὑπὸ τῶν fol. 100 r. ἐνοικούντων ὀνομαζόμενον, βασιλεὺς Χοσρόης ἐξαπίνης . . . . πολιορκίαν καθίστησιν ἑαυτὸν . . . . καὶ τὸ τῆς πόλεως ὕδωρ με . . . φους τε μεγάλους παροικοδομήσας τῷ τείχει καὶ τοῖς ἐμβόλοις χρησάμενος μηχανήμασιν, ἐπειδὴ μηδὲν ἔξωθεν ἐς ἐπικουρίαν γέγονε τῶν ἐνοικούντων, αἱρεῖ τὴν πόλιν, βίᾳ τῶν Μήδων ἐπιβάντων τοῦ τείχους. πᾶσάν τε αὐτὴν ληισάμενος, καὶ τούς τε ἄλλους ἀνδραποδίσας, ἔτι δὲ καὶ Ἰωάννην τὸν Τιμοστράτου παῖδα, δυνάμει

τε καὶ ἀξιώσει προύχοντα καὶ τὴν τῆς πόλεως ἀρχὴν καὶ διοίκησιν ἀναδεδεγμένον, φρουράν τε τὴν ἀποχρῶσαν καταλιπών, ἀπεχώρησεν ἐπ᾽ οἴκου, Ῥωμαίων ἔτι ἐς τὸ Μάρδης φρούριον διαιτωμένων, Μάγνου τε, ὃς τῶν βασιλικῶν ἐπετρόπευε χρημάτων καὶ τοῦ παντὸς τὴν ἡγεμονίαν ἐπεπίστευτο. ἡμέραις δὲ ὕστερον οὐ πολλαῖς βασιλεὺς Ἰουστῖνος, ἐξαπίνης νόσου τῷ σώματι προσγενομένης, περὶ τοῦ παντὸς δεδιώς, ἀνακωχὴν τοῦ παρόντος ἔτους πρὸς Πέρσας ἐποιήσατο. τῆς νόσου δὲ αὐτῷ παρενοχλούσης, Τιβέριον, ὃς τῶν βασιλέως ἦρχε σωματοφυλάκων, κόμητα δὲ τοῦτον ἐξκουβιτόρων· Ῥωμαῖοι καλοῦσιν, υἱὸν ἀνειπὼν τῆς βασιλείας κοινωνὸν αἱρεῖται, Καίσαρα τοῦτον ἀναγορεύσας, τάς τε τῆς ἀρχῆς φροντίδας αὐτῷ παραδίδωσιν. ὅπερ ἁπάντων τῶν ὑπὸ Ἰουστίνου πραχθέντων παρὰ τὸν τῆς βασιλείας χρόνον ἄριστόν τε καὶ ἐς τὰ μάλιστα σωτήριον βουλευθὲν πλείστων αἴτιον ἀγαθῶν τοῖς Ῥωμαίων γέγονε πράγμασι. βουλευομένῳ δὲ Τιβερίῳ Καίσαρι τὰ παρόντα ἐρρωμένως ἐδόκει τῶν πραγμάτων ἀντιλαβέσθαι, μὴ καί τι ἕτερον ἀνήκεστον γένηται..... σώζειν, καὶ τὰς ὁρμὰς . . ρξ . . δὲ ταύτῃ δοκούντων, πρότερον . . εικὲς Θεόδωρον τῶν ἐν Ἀρμενίᾳ ταγμάτων ἡγησάμενον, πολλὰς δὲ καὶ ἑτέρας οὐκ ἀφανεῖς ἀρχὰς p. 176
διοικησάμενον, λόγου τε ἱκανῶς μετέχοντα καὶ τὸ δέον συνιδεῖν εὖ μάλα δεδυνημένον, ὡς τοὺς βαρβάρους ἐκπέμπει, κατὰ τοῦτο δὴ τὸ νενομισμένον τά τε ἀμφ᾽ αὐτὸν πραχθέντα δηλῶν καὶ τὸν Χοσρόην ἐς διαλλαγὰς προτρέπων ἰέναι. μικρῷ δὲ ὕστερον καὶ ἐς τὴν ἑῴαν ὡσαύτως ἐκπέμπει κατὰ τάχος Ἰουστι-

---

24 πολλὰς δὲ scripsi pro πολλάς τε.

νιανὸν τὸν Γερμανοῦ παῖδα, τοῖς πατρικίοις τῆς συγκλήτου βουλῆς ἐγκαταλελεγμένον, ἐπιτρέψας αὐτῷ τὴν ὅλην τοῦ πολέμου διοίκησιν, ἄνδρα τοῖς πολεμικοῖς ἀγῶσιν ἐντραφέντα, ἡλικίας τε ἐς τοῦτο ἥκοντα ὡς μήτε διὰ νεότητος προπετείᾳ μήτε διὰ γήρως ἀσθενείᾳ τι σφαλῆναι. Ἰουστινιανὸς μὲν οὖν κατὰ τὴν ἑῴαν ὡς τάχιστα ἀφικόμενος, τῆς τῶν στρατιωτῶν εὐκοσμίας τε καὶ τάξεως ἐπεμελεῖτο. Τιβέριος δὲ ὁ Καῖσαρ στρατιὰν οὐκ ὀλίγην κατὰ σπουδὴν ἐκπέμπει, καὶ διὰ παντὸς ἐς τὴν τοῦ πολέμου παρασκευὴν ἐπονεῖτο, χρημάτων μὲν ἄπειρον ἀριθμὸν διανέμων, στρατιωτῶν δὲ τὸ κράτιστόν τε καὶ μαχιμώτατον ἐν τοῖς ἔθνεσι συναγείρων καὶ πάντα λίαν ἐπιμελῶς ἐς τὸν ἐπείγοντα πόλεμον διανοούμενος. οὕτω δὲ τούτων προϊόντων, καὶ τοῦ καιροῦ τῆς ἐς ὀλίγον γεγενημένης ἀνακωχῆς περαιωθέντος, Πέρσαι μὲν κατὰ τὸ Δάρας ἑαυτοὺς συναγείραντες Κωνσταντίνης πόλεως ἀφικνοῦνται πλησίον, τοῦ Δάρας ἀφεστώσης ἐς δυόμενον ἥλιον σταδίοις ἐνενήκοντα καὶ τετρακοσίοις ....

---

19 ἐννενήκοντα ed. Hasii. 20 τετρακοσίοις] „Hic imperfecte desinit cod. Vatican. 1065.“ Hasius.

MALCHI FRAGMENTA.

Μάλχος, Βυζάντιος σοφιστής· ἔγραψεν ἱστορίαν ἀπὸ τῆς βασιλείας Κωνσταντίνου καὶ ἕως Ἀναστασίου, ἐν ᾗ τὰ κατὰ Ζήνωνα καὶ Βασιλίσκον, καὶ τὸν ἐμπρησμὸν τῆς δημοσίας βιβλιοθήκης [a. 476] καὶ τῶν ἀγαλμάτων τοῦ Αὐγουστείου, καὶ ἄλλα τινὰ διεξέρχεται μάλα σεμνῶς καὶ τραγῳδίας δίκην ἀποθρηνῶν αὐτά. [Suidas.]

Ἀνεγνώσθη Μάλχου σοφιστοῦ Βυζαντιακὰ ἐν βιβλίοις ἑπτά. ἄρχεται μὲν ἐξ οὗ Λέοντα τὸν βασιλέα ἡ νόσος ἐπίεξε, τούτῳ δὲ τῆς βασιλείας ἔτος ἑπτακαιδέκατον παρετείνετο· διέρχεται δὲ τήν τε Ζήνωνος ἀνάρρησιν καὶ τὴν ὑπερόριον τῆς βασιλείου δόξης διατριβήν, καὶ τὴν Βασιλίσκου ἀνάρρησιν, καὶ τὴν τῆς ἁλουργίδος ἀπόθεσιν, καὶ τὴν ἐπὶ τῇ βασιλείᾳ πάλιν κάθοδον Ζήνωνος, τήν τε τοῦ προειρημένου Βασιλίσκου διὰ ξίφους ἀναίρεσιν, ἧς καὶ γυνὴ καὶ τέκνα παρανόμῳ κρίσει ἐκοινώνησαν. καὶ ὅτι Ἀρμάτος ὁ Ζήνωνα κατάγων τοιαύτης ἀντιμισθίας ἀπώνατο, διὰ Ὀνούλφου δεξάμενος τὴν σφαγήν. διαλαμβάνει δὲ καὶ τὴν Θευδερίχου τοῦ Ὀτριαρίου (Τρ.) στάσιν, καὶ τὴν Θευδερίχου τοῦ Μαλαμείρου (Βαλ.) φιλίαν, καὶ τὸν πρὸς τὸν τοῦ Ὀτριαρίου (Τρ.) Θευδέριχον πόλεμον, καὶ τὴν κατὰ Ζήνωνος πάλιν στά-

σιν, καὶ τὴν Μαρκιανοῦ ἐπανάστασιν, καὶ πρό γε τούτου τὴν τῆς πενθερᾶς Βηρίνης ἐπιβουλήν, καὶ τὴν διὰ τοῦτο φυγαδείαν τὴν ἀΐδιον, καὶ τὴν κατὰ Ἴλλου πρότερον ἐπιβουλὴν Βηρίνῃ συσκευασθεῖσαν, καὶ τὴν Ἐπιδάμνου ὑπὸ Θευδερίχου τοῦ Μαλαμείρου (Βαλ.) ἐν δόλῳ κατάσχεσιν. ταῦτα διεξιὼν διέξεισι καὶ τὰ ἐπὶ Ῥώμης, καὶ τέλος τοῦ ἑβδόμου λόγου ποιεῖται τὸν Νέπωτος θάνατον, ὃς ἐκβαλὼν τῆς ἀρχῆς Γλυκέριον τήν τε Ῥωμαϊκὴν ἰσχὺν περιεβάλετο καὶ εἰς σχῆμα κείρας κληρικοῦ ἀντὶ βασιλέως ἀρχιερέα κατέστησεν· ὑφ' οὗ καὶ ἐπιβουλευθεὶς ἀνῄρηται. οὗτοι οἱ ἑπτὰ τῆς ἱστορίας λόγοι καὶ προηγουμένους ὑποφαίνουσιν αὐτῷ λόγους ἄλλους διαπεπονῆσθαι· καὶ ἡ ἀπαρχὴ δὲ τῶν ἑπτὰ τοῦ πρώτου λόγου τοῦτο παραδηλοῖ· οὐ μὴν ἀλλὰ καὶ ἑπομένους, εἰ τὸ ζῆν προσῆν τῷ συγγραφεῖ, ὡς τοῦ ἑβδόμου λόγου τὸ πέρας ἐνδείκνυσιν.

Ἔστι δ' ὁ συγγραφεὺς Φιλαδελφεύς, εἴ τις ἄλλος, κατὰ συγγραφὴν ἱστορίας ἄριστος, καθαρός, ἀπέριττος, εὐκρινής (frustra *εἰλικρινὴς* Nieb.: v. cod. 264.), *λέξεων ταῖς ἀνθηροτάταις καὶ εὐσήμοις καὶ εἰς ὄγκον τινὰ ἀνηγμέναις χρώμενος· καὶ οὐδὲ αἱ καινοπρεπεῖς αὐτῷ, ὅσαι τὸ ἐμφατικὸν καὶ εὔηχον καὶ μεγαλεῖον ἔχουσι, παραβλέπονται, ὥσπερ .. τὸ .... καὶ τοιαῦτα ἔνια· καὶ ὅλως κανών ἐστιν ἱστορικοῦ λόγου. σοφιστὴς δ' ἦν τὸ ἐπιτήδευμα καὶ ῥητορικῆς εἰς ἄκρον ἐληλακὼς καὶ τὴν θρησκείαν οὐκ ἔξω τοῦ χριστιανικοῦ θιάσου.* [Photius Bibl. cod. 78.]

BYZANTIAKA *ἐν βιβλίοις ἑπτά.*

1 *Ὅτι ἐν τῷ ἑπτακαιδεκάτῳ ἔτει τῆς βασιλείας Λέοντος τοῦ Μακέλλη, πάντων πανταχόθεν τεταράχθαι*

δοκούντων, ἀφικνεῖταί τις τῶν σκηνιτῶν Ἀράβων, οὓς καλοῦσι Σαρακηνούς, ἱερεὺς τῶν παρ' ἐκείνοις Χριστιανῶν, ἐξ αἰτίας τοιαύτης. Πέρσαι καὶ Ῥωμαῖοι σπονδὰς ἐποιήσαντο, ὅτε ὁ μέγιστος πρὸς αὐτοὺς ἐπὶ Θεοδοσίου συνερράγη πόλεμος, μὴ προσδέχεσθαι τοὺς ὑποσπόνδους Σαρακηνούς, εἴ τις ἐς ἀπόστασιν νεωτερίσαι προέλοιτο. ἐν δὲ τοῖς Πέρσαις ἦν ὁ Ἀμόρκεσος τοῦ Νοκαλίου γένους· καὶ εἴτε τιμῆς οὐ τυγχάνων ἐν τῇ Περσίδι γῇ ἢ ἄλλως τὴν Ῥωμαίων χώραν βελτίω νενομικώς, ἐκλιπὼν τὴν Περσίδα ἐς τὴν γείτονα Πέρσαις Ἀραβίαν ἐλαύνει. κἀντεῦθεν ὁρμώμενος προνομὰς ἐποιεῖτο καὶ πολέμους Ῥωμαίων μὲν οὐδενί, τοῖς δὲ ἀεὶ ἐν ποσὶν εὑρισκομένοις Σαρακηνοῖς. ἀφ' ὧν καὶ τὴν δύναμιν αὔξων προήει κατὰ μικρόν. μίαν δὲ τῶν Ῥωμαίων παρεσπάσατο νῆσον Ἰωτάβην ὄνομα· καὶ τοὺς δεκατηλόγους ἐκβαλὼν τῶν Ῥωμαίων αὐτὸς ἔσχε τὴν νῆσον, καὶ τὰ τέλη ταύτης λαμβάνων χρημάτων εὐπόρησεν οὐκ ὀλίγων ἐντεῦθεν. καὶ ἄλλας δὲ ὁ αὐτὸς Ἀμόρκεσος τῶν πλησίον ἀφελόμενος κωμῶν, ἐπεθύμει Ῥωμαίοις ὑπόσπονδος γενέσθαι καὶ φύλαρχος τῶν κατὰ Πετραίαν ὑπὸ Ῥωμαίοις ὄντων Σαρακηνῶν. πέμπει οὖν πρὸς Λέοντα τὸν βασιλέα Ῥωμαίων Πέτρον ἐπίσκοπον τῆς φυλῆς τῆς ἑαυτοῦ, εἴ πως δύναιτο ταῦτα πείσας ποτὲ διαπράξασθαι. ὡς δ' ἀφίκετο καὶ διελέχθη τῷ βασιλεῖ, δέχεται τοὺς λόγους ὁ βασιλεύς, καὶ μετάπεμπτον εὐθὺς ποιεῖται τὸν Ἀμόρκεσον ἐλθεῖν πρὸς αὐτόν, ἀβουλότατα τοῦτο διανοησάμενος καὶ ποιήσας. εἰ γὰρ δὴ καὶ φύλαρχον χειροτονῆσαι προῄρητο, ἔδει πόρρωθεν ὄντι τῷ Ἀμορκέσῳ τοῦτο προστάξαι, ἕως καὶ τὰ Ῥωμαίων ἐνόμιζε φοβερά, καὶ τοῖς ἄρχουσιν ἀεὶ τοῖς τυχοῦσι Ῥωμαίων ἔμελλεν ἥκειν

ὑπεπτηχώς, καὶ τήν γε προσηγορίαν βασιλέως ἀκούων αὐτήν. καὶ γὰρ διὰ πολλοῦ κρεῖττόν τι τῶν ἀνθρώπων εἶναι τῶν ἄλλων ἐνόμιζε. νῦν δὲ πρῶτον μὲν αὐτὸν διὰ πόλεων ἦγεν, ἃς ἔμελλεν ὄψεσθαι τρυφῆς μόνον γεμούσας, ὅπλοις δὲ οὐ χρωμένας· ἔπειτα δέ, ὡς ἀνῆλθεν ἐς Βυζάντιον, δέχεται παρὰ τοῦ βασιλέως ἀσμένως, [ὃς add. Nieb.] καὶ τραπέζης κοινωνὸν βασιλικῆς ἐποιήσατο καὶ βουλῆς προκειμένης μετὰ τῆς γερουσίας συμπαρεῖναι ἐποίει· καὶ τό γε δὴ αἴσχιστον ὄνειδος τῶν Ῥωμαίων, ὅτι καθέδραν αὐτῷ τὴν πρωτοπατρικίων ἀποδοθῆναι ἐκέλευσε σχηματισάμενος ὁ βασιλεύς, ὅτι δὴ Χριστιανὸς ἀνεπείσθη γενέσθαι· καὶ τέλος ἀπέπεμψεν αὐτόν, ἰδίᾳ μὲν παρ' αὐτοῦ εἰκόνα τινὰ χρυσῆν καὶ κατάλιθον λαβὼν (λαβόντα Nieb.), σφόδρα τε οὖσαν πολυτελῆ, χρήματι δὲ καὶ αὐτὸς ἐκείνῳ ἐκ τοῦ δημοσίου ἀντιδοὺς καὶ τῶν ἄλλων κελεύσας ἕκαστον ἐσενεγκεῖν, ὅσοι ἐτέλουν ἐς τὴν βουλήν. τὴν δὲ νῆσον ἐκείνην, ἧς ἐμνήσθημεν πρόσθεν, οὐ μόνον κατέλιπεν αὐτῷ ἔχειν βεβαίως, ἀλλὰ καὶ ἄλλας αὐτῷ κώμας προσέθηκε πλείονας. ταῦτα παρασχὼν Ἀμορκέσῳ ὁ Λέων καὶ τῶν φυλῶν ἄρχοντα, ὧν ἤθελε, ποιήσας, ἀπέπεμψεν ὑψηλόν, καὶ ὅσος οὐκ ἔμελλε τοῖς δεξαμένοις λυσιτελεῖν. [Exc. de legat. p. 91—92 ed. Par., 231—234 Niebuhr.]

2 Ὅτι ὁ αὐτὸς Λέων βασιλεὺς ἀπέστειλε πρὸς τοὺς ἐν τῇ Θρᾴκῃ βαρβάρους πρεσβευτὴν Τελόγιον (Πελάγιον vel Εὐλόγιον Nieb.) τὸν σιλεντιάριον. οἱ δὲ βάρβαροι τοῦτον ἀσμένως δεξάμενοι ἀντιπέμπουσι πρέσβεις πρὸς τὸν βασιλέα, φίλοι Ῥωμαίων εἶναι βουλόμενοι. ᾐτήσαντο δὲ τρία, πρῶτον Θευδέριχον τὸν κατάρχοντα αὐτῶν τὴν κληρονομίαν ἀπολαβεῖν, ἣν

ἀφῆκεν αὐτῷ Ἄσπαρ, δεύτερον νέμεσθαι τὴν Θρᾴκην συγχωρηθῆναι αὐτῷ, τρίτον καὶ στρατηλάτην γενέσθαι τῶν ταγμάτων, ὧνπερ καὶ Ἄσπαρ ἡγήσατο. καὶ ὁ μὲν βασιλεὺς πρὸς τὰ δύο παντελῶς ἀπείπατο, μόνον δὲ περὶ τῆς στρατηγίας κατένευσεν, εἰ φίλος αὐτοῦ γένηται ἀδόλως. καὶ οὕτω τοὺς πρέσβεις ἀπέπεμψεν. ὁ δὲ Θευδέριχος ὁ τῶν βαρβάρων ἀρχηγός, τοὺς πρέσβεις αὐτοῦ δεξάμενος ἐκ τοῦ βασιλέως ἀπράκτους, τὸ μὲν τῆς δυνάμεως αὐτοῦ ἐς Φιλίππους ἐκπέμπει, τῷ δὲ προσεκάθητο τὴν Ἀρκαδιούπολιν μηχανῇ πάσῃ πολιορκῶν. καὶ ταύτην παραλαμβάνει οὐχ ὅπλοις, ἀλλὰ λιμῷ τοὺς ἔνδον τοῦ ἄστεως ἰσχυρῶς στενοχωρήσαντι. καὶ γὰρ καὶ ἵππων καὶ ὑποζυγίων καὶ νεκρῶν σωμάτων ἥψαντο, καρτεροῦντες εἴ ποθεν αὐτοῖς ἔλθοι βοήθεια. τῆς δὲ μὴ παρούσης, ἀπήλπισαν καὶ ἐνέδωκαν. οἱ δὲ ἐκπεμφθέντες ἐπὶ Φιλίππους τὰ πρὸ τοῦ ἄστεως ἐνέπρησαν μόνον, οὐδὲν δὲ ἄλλο δεινὸν εἰργάσαντο. καὶ τούτων οὕτω λυμαινομένων τὴν Θρᾴκην, ὅμως καὶ αὐτοὶ οἱ βάρβαροι ὑπὸ τοῦ λιμοῦ συνεχόμενοι πρεσβείαν πέμπουσι περὶ εἰρήνης πρὸς τὸν βασιλέα. καὶ γίγνεται ἡ σύμβασις τῶν ὅρκων ἐπὶ τούτοις, τοῖς μὲν Γότθοις δίδοσθαι κατ' ἔτος χρυσίου λίτρας δισχιλίας, τὸν δὲ Θευδέριχον καθίστασθαι στρατηγὸν δύο στρατηγιῶν τῶν ἀμφὶ βασιλέα, αἵπερ εἰσὶ μέγισται (ἐς τὴν ἑτέραν γῆν)· αὐτῶν δὲ τῶν Γότθων αὐτοκράτορα εἶναι, καὶ μηδένας ἐξ αὐτῶν ἀποστῆναι θέλοντας [ἐς τὴν σφετέραν γῆν ex antecedentibus supplet Vales.] τὸν βασιλέα δέχεσθαι· συμμαχεῖν δὲ τῷ βασιλεῖ ἐς πᾶν, ὅ,τι κελεύοι, πλὴν ἐπὶ μόνων τῶν Βανδίλων. [Exc. de legat. p. 92—93 Par., 234—235 Niebuhr.]

Λέων βασιλεὺς Ῥωμαίων ὁ Μακέλλης. ὃς ἔδοξε 2[a]

τῶν πρὸ αὐτοῦ βασιλέων ἁπάντων εὐτυχέστατος εἶναι καὶ φοβερὸς ἅπασι τοῖς τε ὑπ' ἐκείνου τὴν βασιλείαν τελοῦσι καὶ τῶν βαρβάρων αὐτῶν ὅσοις εἰς φήμην ἀφίκετο. καὶ ταύτην μὲν τοῖς πολλοῖς καταλέλοιπε τὴν δόξαν. "ἐγὼ δέ, φησὶ Μάλχος, εὐτυχίαν οὐκ οἶμαι, εἴ τις τῶν ἀρχομένων τὰ ὄντα διασυλῶν καὶ μισθούμενος ἀεὶ συκοφάντας εἰς τοῦτο καὶ κατηγορῶν αὐτός, ὅτε μὴ ἄλλον ἀνηύρισκε, καὶ τὸν χρυσὸν ἐξ ἁπάσης τῆς γῆς συλλεξάμενος ἑαυτῷ μόνῳ κατάθοιτο, ἐρήμους μὲν τὰς πόλεις ἧσπερ ἔμπροσθεν εἶχον εὐπορίας ποιήσας, ὡς μηκέτι τοὺς φόρους, οὓς ἐτέλουν, δύνασθαι μετ' εὐχερείας ἀπενεγκεῖν." καὶ ἁπλῶς πάσης κακίας ἀπισχυρίζεται ὁ Μάλχος γενέσθαι αὐτὸν καταγώγιον· ὅς γε καὶ Ὑπερέχιον τὸν γραμματικὸν ἐφυγάδευσέ ποτε. καὶ τῷ Εὐλογίῳ τῷ φιλοσόφῳ σιτηρέσιον εἰπὼν δοθῆναι, τινὸς τῶν εὐνούχων λέγοντος ὅτι ταῦτα εἰς στρατιώτας προσήκει δαπανᾶσθαι, εἶπεν· "εἴθε γένοιτο ἐπὶ τοῦ ἐμοῦ χρόνου, ὥστε τὰ τῶν στρατιωτῶν εἰς διδασκάλους παρέχεσθαι." [Suidas. Postrema inde ab ὅς γε καὶ Ὑπερέχιον κτλ. num eiusdem Malchi sint, vel certe num eodem loco dicta fuerint, dubium. MÜLLERUS.]

3 Ὅτι Ζήνων ἀνὴρ ὢν ἀπόλεμος ἄγαν, καὶ πολλῆς πανταχόθεν ταραχῆς ἐφεστώσης, ἔγνω πρὸς τὸν Βάνδιλον ἐς Καρχηδόνα πρεσβεύσασθαι. καὶ Σευῆρον ἐκ τῆς βουλῆς πρεσβευτὴν αἱρεῖται, ἄνδρα καὶ σωφροσύνῃ διαφέρειν δοκοῦντα καὶ τῷ ἐθέλειν τὰ δίκαια. καὶ πατρίκιον αὐτὸν ποιήσας ἀποπέμπει, ὅπως ἐκ τῆς ἀξίας τῆς πρεσβείας τὸ σχῆμα κατασκευάσοι σεμνότερον. καὶ ὁ μὲν ἐξέπλευσεν, ὁ δὲ Βάνδιλος μαθὼν ὅτι ἥξοι πρεσβεία, φθάσας ἔκπλουν ποιεῖται, καὶ Νικόπολιν εἷλεν. ὁ δὲ πρεσβευτὴς Σευῆρος δια-

βὰς ἀπὸ Σικελίας ἐς Καρχηδόνα ἀφῖκτο, καὶ πολλὰ διὰ τὸν ἔκπλουν ἐμέμφετο τὸν Βάνδιλον. ὁ δὲ τὰ μὲν ἔλεγεν ὡς πολέμιος πρᾶξαι· τὸν δὲ περὶ τῆς εἰρήνης, ἐπειδὴ πρεσβεύοιτο, νῦν ἔφη λόγον προσδέχεσθαι. τοῦ δὲ Σευήρου τό τε σῶφρον τοῦ βίου θαυμάσας καὶ τῶν λόγων ἠγάσθη, καὶ τῆς δικαιοσύνης ἀεὶ πεῖραν λαμβάνων πᾶν ἕτοιμος ἦν ποιεῖν, ὅπερ ἐκεῖνος προβάλλοιτο. μάλιστα δὲ ἔδοξεν αὐτῷ δίκαιος εἶναι, ὅτι, τὰ χρήματα αὐτῷ τοῦ βαρβάρου διδόντος καὶ τὰ πρέποντα δῶρα πρεσβευτῇ δωρούμενος, ἀπεσείσατο πάντα, εἰπὼν ὡς ἀντὶ τούτων δῶρόν ἐστιν εὔσχημον πρεσβεύοντι ἀνθρώπῳ τοὺς αἰχμαλώτους κομίσασθαι. ὁ δὲ τῆς διανοίας ἐπαινέσας τὸν ἄνδρα, "οὓς μέν" ἔφησε "σὺν τοῖς ἐμοῖς υἱέσι τῶν αἰχμαλώτων ἀπέλαχον, τούτους σοι πάντας ἀφίημι· ἣν δὲ τὸ πλῆθος αὐτῶν κατενείματο μοῖραν, τούτους σοὶ μὲν ἐξέσται παρ' ἑκόντων, εἰ βούλει, πρίασθαι τῶν ἐχόντων, αὐτὸς δ' ἂν οὐ δυναίμην οὐκ ἐθέλοντας ταῦτα τοὺς εἰληφότας βιάσασθαι." ἐνταῦθα ὁ Σευῆρος ἀπέλυσε μὲν προῖκα οὓς αὐτὸς εἶχεν ὁ Βάνδιλος· ἃ δὲ εἶχε χρήματα, καὶ ἐσθῆτα καὶ σκεύη πάντα ὑπὸ κήρυκι δημοσίᾳ πωλήσας, τούτοις ὅσους ἴσχυσε τῶν αἰχμαλώτων ἐπρίατο. [Exc. de legat. p. 87 Par., 260—261 Niebuhr. Genserichus si mortuus est initio anni 477, paulo post pacem cum Zenone initam; sequitur legationem quam ad Genserichum, non vero ad filium eius effeminatum missam dubium non est, fugam Zenonis (a. 475 Nov.) antecedere. V. Tillemont. VI, p. 480. Conf. tamen id. p. 640. MÜLLERUS.]

Ὅτι Ζήνων ὁ βασιλεὺς πρὸς τὸν ἀρχηγὸν τῶν 4
Γότθων πρεσβευσάμενος περὶ Ἡρακλείου τοῦ στρα-

τηγοῦ τοῦ κρατηθέντος παρὰ τῶν Γότθων, ὑπέσχετο ἐπὶ λύτροις ἀφήσειν, καὶ τὰ λύτρα ἑκατὸν συνωμολόγησε τάλαντα. ταῦτα τοὺς προσήκοντας Ἡρακλείῳ Ζήνων ἐκέλευσε παρασχεῖν, ἵνα μὴ δοκοίη λελυμένος ὑπ' ἄλλων ἐν δούλου γενέσθαι σχήματι. πέμπεται δὲ ἐς Θρᾴκην τοῖς Γότθοις τὰ χρήματα. οἱ δὲ ἐδέξαντο μέν, καὶ δῆθεν ἐκ τῆς φρουρᾶς ἀνιᾶσιν Ἡράκλειον· προϊόντι δὲ αὐτῷ ἐν Ἀρκαδίου πόλει προστρέχουσι τινες Γότθοι, καὶ βαδίζοντι τῷ Ἡρακλείῳ τις ἐκ τῶν Γότθων βίᾳ τὸν ὦμον ἔπαισε. τῶν δὲ περὶ τὸν Ἡράκλειόν τις ἐπέπληξε τῷ Γότθῳ, καί "πῶς, εἶπεν, οὔτε σαυτὸν οἶδας, ἄνθρωπε, οὔτε γιγνώσκεις ὃν ἔπληξας;" ὁ δὲ πάνυ γιγνώσκειν ἔφη τὸν ὑπ' αὐτοῦ κάκιστα ἀπολούμενον· καὶ ἅμα σπασάμενοι ὁ μέν τις τὴν κεφαλὴν τοῦ Ἡρακλείου, ὁ δὲ τὰς χεῖρας ἀπέτεμε. καί φασιν ὅτι κατὰ ἀνταπόδοσιν ἔπαθεν Ἡράκλειος· ἐλέγετο γάρ τινας τῶν ὑφ' αὐτῷ τελούντων στρατιωτῶν, δόξαντάς τι πλημμελεῖν οὐκ ἄξιον θανάτου, ἐς βόθρον καταβαλὼν πᾶν τὸ στράτευμα ἀναγκάσαι αὐτοὺς καταλεῦσαι. ἔκτοτε οὖν ἡ τοῦ θεοῦ ἀγανάκτησις εἰς αὐτὸν ἐτηρεῖτο. [Exc. de legat. p. 87—88 Par., 261—261 Niebuhr.]

5 [*Ἡράκλειος, στρατηγὸς γεγονὼς ἐπὶ Ζήνωνος, οἷος μὲν τολμῆσαι καὶ πρόθυμος ἐγχειρεῖν ἐς πολέμους ἑτοίμως, οὐ μέντοι τὸ προμηθὲς εἶχεν ἐν τοῖς κινδύνοις, οὐδὲ βουλὴν πρότερον ποιησάμενος ὥρμα πρὸς ὃ ἔσπευδε πράττειν, ἀλλ' ἔξω τοῦ λογισμοῦ πρὸς τὰ ἔργα ἐχώρει, καὶ τὸ ἐμπλήκτως ὀξὺ ἐν ἀνδρὸς μοίρᾳ ἐτίθετο. ὅπερ δὴ καὶ μάλιστα αὐτὸν ὕστερον ἔσφηλεν.* [Suidas. Malcho tribuit Valesius,]

6 [*Ἐρύθριος, ἔπαρχος γεγονὼς ἐπὶ Ζήνωνος. ὃς ἐπεὶ μήτε τὰ κοινὰ διαρκοῦντα ἑώρα μήτε βάρος*

προσθεῖναι πλεῖον τοῦ τεταγμένου τοῖς συντελέσιν ἠνείχετο μήτε τινὰ ποιεῖν πονηρόν, ὡς ὢν (ὂν A. fort. ἂν) φιλάνθρωπος, τῶν ὀφειλομένων ἠδύνατο χάριν, αἰτησάμενος παρὰ Ζήνωνος ταύτης. (ταύτην A., quasi χάριν ταύτην sint iungenda et alia mutanda) τῆς ἀρχῆς ἐπαύσατο. λύπην δὲ τῇ πόλει παρέσχεν, ἡνίκα ταύτην ἀπέθετο. μόνος γὰρ τῶν τελούντων τότε εἰς τὴν πολιτείαν οὗτος ἐπὶ τῷ πάντων ἀγαθῷ ἐπεφύκει, θάττους μὲν τὰς χάριτας παρέχων τοῖς αἰτουμένοις, οὐκ ἔχων δέ τινα παντάπασι τῶν πρόσθε προσκεκρουκότων ἀμύνεσθαι. τὸ δὲ κοινὸν τότε εἰς πᾶσαν ἀπορίαν κατῆλθεν, ὡς μηδὲν ἔχειν ὑπόλοιπον. ἅ τε γὰρ ἐν τῷ κοινῷ ταμιείῳ Λέων κατέλιπεν ἀποθνήσκων ὑπὸ Ζήνωνος ταχὺ ἐκεκένωτο πάντα, πολλὰ μὲν χαριζομένου τοῖς φίλοις, ὡς ἔτυχεν, οὐκ ὄντος δὲ ἀκριβοῦς, ὥστε γιγνώσκειν αὐτά, εἴ πῃ καὶ ἄλλως κλέπτοιντο. [Suidas. Malcho tribuit Valesius.]

[Quae Suidas post Damascii locum de Heraisco habet Malchi putat Bernhardy: Ἡραΐσκος, ἀνὴρ Αἰγύπτιος. οὗτος ἦν μὲν συνεῖναι δεινότατος, ἀγωνιστὴς δὲ οὐκ ἰσχυρὸς ἀπὸ (ὑπὲρ v. συνεῖναι, ubi eadem) τῆς ἀληθείας, οὐδὲ τὰς ἔξω φερούσας ἀπὸ ταύτης ὁδοὺς ἀνιχνεῦσαι καὶ διεξελθεῖν. οὗτος γὰρ ἐς τοὐναντίον ἐκεκλήρωτο τὴν εὐμοιρίαν.]

[Βασιλίσκος, Βηρίνης ἀδελφὸς τῆς βασιλίδος, ἐπὶ 7
Λέοντος τοῦ βασιλέως ἀντὶ Ῥουστικίου στρατοπεδάρχου ἡρέθη, εὐεπίτευκτος μὲν ὢν ἐν μάχαις, βραδύνους δὲ καὶ φενακίζουσι ῥᾳδίως ὑπαγόμενος.

Βασιλίσκος, ὁ Ῥωμαίων τῶν ἑῴων βασιλεύς, τῶν ἐκκλησιῶν τοὺς ἐπισκόπους εἰσέπραττε χρήματα, καὶ Ἀκάκιον τὸν Κωνσταντινουπόλεως ἐπίσκοπον μικροῦ

δεῖν ἀπώσατο, εἰ μὴ τῷ πλήθει τῶν λεγομένων μοναχῶν ἀπεκρούσθη. πολύς τε ἦν πρὸς ἐπιθυμίαν χρημάτων, ὡς μηδὲ αὐτῶν τῶν τὰς εὐτελεῖς καὶ βαναύσους μετιόντων ἐπιστήμας ἀπέχεσθαι. καὶ ἦν ἅπαντα μεστὰ δακρύων τῇ τῶν τοιούτων εἰσφορῶν εἰσπράξει. καὶ ἔστιν ἐν τῷ Ἁρμάτιος. [Suidas. Prius fr. aut Prisci putat Niebuhrius aut Malchi. Eidem haec Suidae v. Ἀκάκιος tribuit Valesius ad Theodorum

7a Lect. p. 578 ed. Reading: Ἀκάκιος ὁ πατριάρχης Κωνσταντινουπόλεως αἰδέσιμος ἦν ὡς οὐκ ἄλλος τις. ὀρφανοτρόφος γὰρ γεγονὼς καὶ καλῶς τὰ τῶν ὀρφανῶν διοικῶν πᾶσιν ἐφαίνετο καθ' ἡδονήν. καὶ δὴ καὶ τῷ βασιλεῖ Λέοντι συνήθης γεγονὼς ὑπερφυῶς ἤρεσκε, καὶ τούτῳ πρώτῳ ἀεὶ πάντα ἀνεκοινοῦτο τά τε κοινὰ καὶ τὰ ἴδια, καὶ ὅτε τὴν βουλὴν ἤθροιζε, συνεκάλει καὶ τοῦτον, καὶ τῆς σκέψεως ἀρχὴν ἐξ αὐτοῦ πάσης ἐτίθετο. ὃς Ἀκάκιος τὴν τοῦ Λέοντος τοῦ Μακέλλη ὠμότητα συνιδὼν πρὸς τούς τι λυπήσαντας, καὶ τὸ ἦθος ἀκριβῶς τὸ ἐκείνου φωράσας, ὅτι τοῖς ἐπαινοῦσι μόνον ὑπάρχει εὐάλωτον, ἐπετήδευε πάντα τὰ ἐκείνου θαυμάζειν. τοιγαροῦν πειθήνιον αὐτὸν εἶχεν ἑτοίμως, τόν τε θυμὸν αὐτοῦ ῥᾳδίως κατέστελλεν, καὶ πολλοῖς προσκεκρουκόσι τὴν σωτηρίαν ἐπραγματεύσατο, καὶ τοὺς ἐξορίαν ἀΐδιον ἔχοντας ἀνεκαλεῖτο πρὸς τὴν πατρίδα. οὗτος μετὰ θάνατον Γενναδίου πατριάρχου Κωνσταντινουπόλεως σπουδῇ Ζήνωνος ἱερᾶσθαι προεβλήθη. ὃς ὢν ἀρχικὸς καὶ πάσας τὰς ἐκκλησίας ὑφ' ἑαυτὸν ποιήσας, πεφροντισμένως τῶν ἐν αὐταῖς κεκληρωμένων ἐποιεῖτο τὴν κηδεμονίαν, οἳ εὐχαριστοῦντες ἐν γραφαῖς ἀνέθηκαν αὐτὸν κατὰ τοὺς εὐκτηρίους οἴκους. ἐπείπερ οὖν ἀθρόον ἐν πάσαις ταῖς ἐκκλησίαις ἐδείχθησαν αὐτοῦ εἰκόνες, ᾠήθησάν

τινες κενοδοξοῦντα τὴν ἀνάθεσιν προστεταχέναι, οὐ μικρὰν ἔχοντες τῆς ὑπονοίας πίστωσιν τὴν ἐκ ψηφίδων γραφὴν δημιουργηθεῖσαν ἐν τῇ πρὸς τῷ νεωρίῳ ἐκκλησίᾳ. τοῦ γὰρ ἔργου παντὸς ἐπὶ Γενναδίου τελεσθέντος εἰς τὸν ἐπιφανῆ τόπον ἐξετύπωσαν αὐτὸν τοῦ νεώ, καὶ μεταξὺ τοῦδε τὸν σωτῆρα λέγοντα τῷ Γενναδίῳ, Λῦσον τὸν ναὸν τοῦτον, καὶ ἐπὶ τοῦ μετὰ σὲ ἐγερῶ αὐτόν. ἐκ τῶν τοιούτων οὖν εἰκόνων Ἀκάκιος, εἰ καὶ εὐμετάδοτος ἦν καὶ προστατικός, ἀλλὰ δοξομανὴς ἔδοξεν ὑπάρχειν.

Idem de eodem Acacio v. *παρενθέμενος· Ὁ δὲ Ἀκάκιος παρενθέμενος τὰ τοῖς κανόσι διηγορευμένα καὶ τὸ θυσιαστήριον καταλαμβάνει καὶ τὰ ἐξ ἔθους ἱερεῦσιν ἐπιτελεῖ.*]

Βασιλίσκου κρατοῦντος ἐμπρησμὸς ἐν Κωνσταν- 7b
τινουπόλει ἐγένετο μέγιστος ἐκ τῶν Χαλκοπρατείων ἀρξάμενος καὶ πάντα τὰ προσεχῆ τούτοις νεμηθεὶς καὶ ἀποτεφρώσας τάς τε τῶν δημοσίων πλατειῶν στοὰς καὶ τὰς αὐτοῖς ἐπικειμένας οἰκοδομάς, ἀλλὰ μὴν καὶ αὐτὴν τὴν κεκλημένην βασιλικήν, καθ' ἣν καὶ βιβλιοθήκη ἐτύγχανε δώδεκα μυριάδας βιβλίων ἀποκειμένων ἐν αὐτῇ ἔχουσα· ἐν οἷς ἀναγρ΄φεται εἶναι καὶ δράκοντος ἔντερον, μήκους ὂν ποδῶν ἑκατὸν εἴκοσιν, ἔχον ἐγγεγραμμένα χρυσοῖς γράμμασι τὰ τοῦ Ὁμήρου ποιήματα τήν τε Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν· οὗ καὶ Μάλχος τὰ περὶ τούτων τῶν βασιλέων συγγραφόμενος μέμνηται. [Zonaras Epit. histor. vol. 2, p. 52, D. Conf. Suidas supra p. 364, 4.]

[*Ἁρμάτος. ὅτι Βασιλίσκος ὁ βασιλεύς, ἐπείπερ* 8
ὡς συγγενεῖ τῷ Ἁρμάτῳ ἀδεῶς ἐπέτρεπεν ἐντυγχάνειν Ζηνωνίδι τῇ βασιλίδι, τριβομένης σφίσι τῆς ὁμιλίας καὶ τοῦ κάλλους αὐτῶν οὐκ εὐπαροδεύτου

ὄντος, ἄμφω ἀλλήλων ἐκτόπως ἤρων. ῥίψεις οὖν ὀμμάτων ἐπ᾽ ἀλλήλους ἐγίνοντο καὶ παρεκστροφαὶ συνεχεῖς προσώπων καὶ μειδιαμάτων μεταδόσεις, πόνος τε μετὰ ταῦτα ἔρωτος ὑπ᾽ ὄψιν στεγομένου. ἐπεὶ δὲ κοινωσάμενοι τὸ πάθος Δανιὴλ εὐνούχῳ καὶ Μαρίᾳ μαίᾳ ἰάσαντο τοῦτο μόλις τῇ τῆς μίξεως ἰατρείᾳ, Ζηνωνὶς Βασιλίσκον διὰ θωπείας ἦγε τοῦ τὸν ἐραστὴν ἔχειν ἐν τῇ πολιτείᾳ τὰ πρωτεῖα. ὁρῶν δὲ Θεοδώριχος τιμώμενον ἐκ πάντων Ἁρμάτον, ἤσχαλλεν ὡς παρευδοκιμούμενος ἐκ νέου, τριχῶν μόνον καὶ τῆς ἄλλης φροντίζοντος σωμασκίας. ὁ δ᾽ Ἁρμάτος ἔκ τε φορᾶς χρημάτων καὶ τιμῆς ἀπλέτου τυφωθείς, οὐδένα αὑτοῦ ᾤετο διοίσειν ἐπ᾽ ἀνδρείᾳ. καὶ τοσοῦτον αὐτοῦ ἧδε ἡ ἄλη ἐκράτει ὡς σκευὴν ἀναλαμβάνειν (ἀναλαβεῖν Suidas v. ἄλη, ubi eadem) Ἀχιλλέως, οὕτω τε περιβαίνειν ἐς ἵππον καὶ κατὰ τὸν ἱππόδρομον φρυάττεσθαι τοῦ οἴκου. ἐξῆρε δὲ τοῦτον πλείω πρὸς τοιαύτην δόξαν μαίνεσθαι τὸ ὑπὸ δήμου σύρφακος ἐν εὐφημίαις ἀνακαλεῖσθαι Πύρρον. ὃς εἰ μὲν οὕτως ἐβόα διὰ τὸ ἐρυθροπρόσωπον εἶναι, ἔλεγεν εἰκότα· εἰ δ᾽ ὡς πρὸς ἔπαινον ἀνδρείας, ἔθελγεν ὡς νέον. οὐ γὰρ ἥρωας ἔβαλλεν ὡς Πύρρος [ὁ Ἀχιλλέως addit v. σύρφαξ], ἀλλὰ γυναιμανὴς ἦν ὡς Πάρις.

8a Ἁρμάτιος. οὗτος μέγιστον ἴσχυσε παρὰ τῇ Ζηνωνίδι τῇ βασιλίσσῃ καὶ αὐτῷ Βασιλίσκῳ. ἐσφάγη δὲ ὑπὸ Ζήνωνος τοῦ βασιλέως. καὶ ὑπερήσθησαν οἱ πολῖται τῇ τούτου σφαγῇ. ἐπὶ γὰρ Λέοντος [πρὸς] τοὺς στασιάζοντας, ὅσους λάβοι τῶν Θρᾳκῶν, τὰς χεῖρας ἐκτέμνων ἀπέπεμπεν. Ὀνόουλφος δὲ αὐτὸν διεχρήσατο, ὅντινα ὁ Ἁρμάτιος πένητα καὶ ἄρτι ἐκ βαρβάρων ἥκοντα προσλαβὼν φιλοφρόνως, τὸ μὲν πρῶτον κόμητα ἐποίησεν, ἔπειτα καὶ στρατηγὸν

Ἰλλυριῶν, καὶ εἰς ἑστίασιν ἔχειν πολὺν ἄργυρον παρέσχε. ἀντέδωκε δὲ τούτῳ τὴν βαρβαρικὴν ἀπιστίαν μετὰ χειρὸς μιαιφόνου. [Suidas.]

[Utrumque locum Malcho tribuit Niebuhrius. Quamquam et in scribendo nomine Harmati vel Harmatii diversitas et orationis color diversus parum favet huic sententiae. Priorem locum Candido Isauro Toupius, Damascio in Vita Iisdori Valesius (ad Euagr. Hist. eccl.) tribuit. Pro Toupii sententia facit quod in Candidi exc. apud Photium nomen viri est *Ἀρμάτος*. In Malchi excerptis de leg. (fr. 10) nomen est *Ἁρμάτος*, ut in secundo Suidae loco legitur. Ex primo loco nonnulla repetuntur vv. *ἄλη* et *σύρφαξ* et *σωμασκία*. Pro *φρυάττεσθαι τοῦ οἴκου* (quod optimi codd. etiam v. *ἄλη* praebent, ceteri vero *φρ. τοῦ ἵππου*) Toupius, qui delet *ἐς*, *καταφρυάττεσθαι τοῦ ὄχλου.* MÜLLERUS. *ἵππου* ex *ἵππου* repetitum. In *τοῦ οἴκου* potest latere *τῷ ὄγκῳ*.

Ὅτι [*συμβαίνει μοι* supplet Nieb.] *φεύγειν τε καὶ* 8[b] *πλανᾶσθαι καὶ μηδαμῶς δύνασθαι τῶν κακῶν ἀναπνεῦσαι, παρ' οἷς μοι τοῦ πταίσματος ἤλπιζον εἶναι παραψυχήν.* [Exc. de legat. p. 88 Par., 262 Niebuhr.]

Ὁ δὲ Ὀνόουλφος ἔφυ ἐξ ἐθνῶν κατὰ πατέρα 8[c] *μὲν Θουρίγγων, τῶν δὲ Σκίρων κατὰ τὴν μητέρα.* [Suidas v. *κατὰ πατέρα καὶ μητέρα*. Ex nomine *Ὀνόουλφος*, quod fuit fr. 8 a, hoc quoque, si illud, Malchi esse coniicit Bernhardy, qui *Ὀνοούλφου* pro *ὁ εὐούλφου* p. 413, 29.]

Ὅτι Ζήνων ὁ βασιλεύς, πυθόμενος τῶν οἰκείων 9 *τὴν ἧτταν, ἐς φρούριον καταφεύγει ἐπὶ λόφου κείμενον, ὃ Κωνσταντινούπολιν οἱ πρόσχωροι ἐκάλουν. ὅπερ γνοὺς τοῖς συνοῦσι στενάξας, "θεοῦ παίγνιον, εἶπεν, ἄρα ὁ ἄνθρωπος, εἴγε καὶ ἐμὲ οὕτω παίζειν*

φιλεῖ τὸ δαιμόνιον. ἐμοὶ (ἐμὲ A.) γὰρ δὴ οἱ μάντεις τὸν ἰούλιον μῆνα ἐξ ἀνάγκης ἐν Κωνσταντινουπόλει διατεινόμενοι προύλεγον. κἀγὼ μὲν ἐνόμιζον ἐς Κωνσταντινούπολιν ἀναβήσεσθαι, νῦν δὲ πάντων ἔρημος καὶ φυγὰς εἰς λόφον ἦλθον, εὑρηκὼς ὁ δείλαιος προσηγορίαν ὁμώνυμον."

"Οτι Ζήνων βασιλεὺς Ῥωμαίων τὴν μὲν ὠμότητα, ᾗ ἐκέχρητο Λέων, ἐν τῇ φύσει οὐκ εἶχεν, οὐδὲ τὸ θυμούμενον ἀπαραίτητον αὐτῷ καθειστήκει ἐσάπαξ, οἷον τοῦ Λέοντος διέμενε. καὶ τήν γε προαίρεσιν ἐν πολλοῖς εἶχε φιλότιμον, καὶ ἃ ἔπραττε, δόξης ἕνεκεν καὶ τοῦ θαυμάζεσθαι ἔπραττεν, ἐπιδεικτικῶς μᾶλλον ἢ ἀληθῶς. οὐ μὴν οὔτε ἔμπειρος τῶν πραγμάτων ἦν οὔτε εἶχεν ἐπιστήμην, δι' ἧς ἔστιν ἀσφαλῶς τὰς βασιλείας ἰθύνεσθαι. πρὸς δὲ κέρδος καὶ λῆμμα οὐχ οὕτω μὲν ἐμμανῶς ὡς ὁ Λέων διέκειτο, οὐδὲ ἔπλαττε μὴ ὄντα τοῖς κεκτημένοις ἐγκλήματα, οὐ μὴν οὐδὲ παντελῶς κρείττων ὑπῆρχε τοῦ πράγματος. καὶ χρηστῆς ἂν βασιλείας ἔτυχον Ῥωμαῖοι, εἰ μὴ Σεβαστιανὸς ὁ τότε παραδυναστεύων ἦγεν αὐτὸν ὅπῃ ἐβούλετο, καπηλεύων ὥσπερ ἐξ ἀγορᾶς ἅπαντα, καὶ μηδὲν ἄπρατον ἐῶν ἐν τῇ βασιλέως αὐλῇ διαπράττεσθαι, ἀλλὰ τὰς μὲν ἀρχὰς ἀπεδίδοτο πάσας, ἰδίᾳ μὲν ἑαυτῷ, ἰδίᾳ δὲ λαμβάνων τῷ βασιλεῖ τὰ τιμήματα· καὶ εἰ προσῆλθεν ἕτερος βραχύ τι προστιθείς, ἐκεῖνος ἦν αἱρετώτερος. τῶν δὲ ἐν τοῖς ἀρχείοις γινομένων ἁπάντων οὐδὲν ἦν ὃ μὴ λαβὼν ἀπεπίπρασκεν. εἰ δέ τινα (τινι Bernh.) ἀρχὴν τῶν περὶ αὐτὸν ὄντων ἐχαρίσατο Ζήνων, ὥσπερ παλιγκάπηλος, αὐτὸς ταύτην ὀλίγου παρ' ἐκείνου λαμβάνων ἄλλοις παρεῖχε τοῦ πλείονος, Ζήνωνι δὲ τὰ κλέμματα παρέχων.

Ζήνων βασιλεὺς Ῥωμαίων. ὃς Ζήνωνα τὸν ἑαυ-

τοῦ υἱὸν διάδοχον καταλιμπάνειν θέλων κομιδῇ νέον, προῆγέ τε δι' ἀξιῶν καὶ σωμασκεῖσθαι ἐκέλευεν εἰς ἐπίδοσιν τῆς ἡλικίας. οἱ δὲ βασιλικοὶ ἐν ἐξουσίᾳ γενόμενοι τοῦ ἄδην τὰ δημόσια καταναλίσκειν συβαριτικῶς τὸν νέον κραιπαλᾶν ἐνήργουν (*ἐνῆγον* Kusterus), *καὶ μαστροπεύοντες αὐτῷ τοὺς συνήβους πρὸς τοὺς τῶν ἀρρένων ἔρωτας λυσσᾶν ἐπαίδευσαν ἐκτόπως. διαίτης οὖν ἐν ἡδοναῖς καὶ τύφῳ τιθεμένης τὸ καλὸν ἐθὰς γενόμενος, καὶ τὴν ὑποτυφομένην ἀλαζονείαν ἐπὶ τῇ βασιλικῇ καραδοκίᾳ διὰ τῶν προσώπων ἀπεμφαίνων, ἀκροβατεῖν τε ἤρξατο καὶ μετέωρον τὸν αὐχένα αἴρειν καὶ συλλήβδην φάναι προσέχειν πᾶσιν ὡς οἰκέταις ἀνθρώποις. ἀλλ' ὁ πάντων ἔφορος τὴν φυσικὴν καὶ διδακτὴν κακότητα αὐτοῦ τεθεαμένος, διαρρεύσαντα τῇ γαστρὶ καὶ ἀναισθήτως ἐπὶ πολλὰς ἡμέρας ἐς τὴν εὐνὴν ἀποπατοῦντα, πρόωρον τῶν ἀνθρωπείων ἐδικαίωσεν ἐκβῆναι.* [Suidas v. *Ζήνων* et partim vv. *ἄδην*, *μαστροπεύοντες*, *διαίταις*. Malchi putat Valesius. Ex iis quae leguntur p. 396, 1, in fr. apud Suidam vv. *ἐξῆλθεν*, *ἐξέβη*, *ἐτελέσθη*, "*Ὅτι Ζήνωνι παρ' ἣν εἶχε δόξαν ἐξῆλθε τὸ μάντευμα. ἀντὶ γὰρ τῆς βασιλίδος ὡς ᾤετο πόλεως, εἰς λόφον συγκλεισθέντι τὸ αὐτὸ ὄνομα ἔχοντα συνέβη τὸ πέρας τοῦ βίου*", quum postrema ab historia prorsus aberrent, Müllerus corrigendum suspicatur *τὸ πέρας τοῦ ἰουλίου*. Sed videntur potius postrema ex iis quae hic sunt p. 397, 17 ducta et cum prioribus confusa.]

Ὅτι ὁ Αὔγουστος ὁ τοῦ Ὀρέστου υἱὸς (pro *Ὀδόαχος*) *ἀκούσας Ζήνωνα πάλιν τὴν βασιλείαν ἀνακεκτῆσθαι τῆς ἕω, τὸν Βασιλίσκον ἐλάσαντα, ἠνάγκασε τὴν βουλὴν ἀποστεῖλαι πρεσβείαν Ζήνωνι ση-* 10

μαίνουσαν ὡς ἰδίας μὲν αὐτοῖς βασιλείας οὐ δέοι, κοινὸς δὲ ἀποχρήσει μόνος ὢν αὐτοκράτωρ ἐπ' ἀμφοτέροις τοῖς πέρασι. τὸν μέντοι Ὀδόαχον ὑπ' αὐτῶν προβεβλῆσθαι ἱκανὸν ὄντα σώζειν τὰ παρ' αὐτοῖς πράγματα, πολιτικὴν ἔχοντα σύνεσιν ὁμοῦ καὶ μάχιμον· καὶ δεῖσθαι τοῦ Ζήνωνος πατρικίου τε αὐτῷ ἀποστεῖλαι ἀξίαν καὶ τὴν τῶν Ἰταλῶν τούτῳ ἐφεῖναι διοίκησιν. ἀφικνοῦνται δὴ ἄνδρες τῆς βουλῆς τῆς ἐν Ῥώμῃ τούτους ἐς Βυζάντιον κομίζοντες τοὺς λόγους, καὶ ταῖς αὐταῖς ἡμέραις ἐκ τοῦ Νέπωτος ἄγγελοι, τῶν τε γεγενημένων συνησθησόμενοι τῷ Ζήνωνι καὶ δεόμενοι ἅμα ταῖς ἴσαις τῷ Νέπωτι συμφοραῖς χρησαμένῳ συσπουδάσαι προθύμως βασιλείας ἀνάκτησιν, χρήματά τε καὶ στρατὸν ἐπὶ ταῦτα διδόντα καὶ τοῖς ἄλλοις, οἷς δέοι, συνεκπονοῦντα τὴν κάθοδον. ταῦτά τε λέξοντας ὁ Νέπως ἀπέστελλεν. Ζήνων δὲ τοῖς ἥκουσι, τοῖς μὲν ἀπὸ τῆς βουλῆς ἀπεκρίνατο ταῦτα, ὡς δύο ἐκ τῆς ἕω βασιλέας λαβόντες τὸν μὲν ἐξεληλάκασιν, Ἀνθέμιον δὲ ἀπέκτειναν· καὶ νῦν τὸ ποιητέον αὐτοὺς ἔφη γιγνώσκειν· οὐ γὰρ ἂν βασιλέως ἔτι ὄντος ἑτέραν ἡγήσεσθαι (εἰσηγ. Bekk.) γνώμην ἢ κατιόντα προσδέχεσθαι· τοῖς δὲ ἐκ τοῦ βαρβάρου ὅτι καλῶς πράξοι παρὰ τοῦ βασιλέως Νέπωτος τὴν ἀξίαν τοῦ πατρικίου δεξάμενος Ὀδόαχος· ἐκπέμψειν γὰρ αὐτόν, εἰ μὴ Νέπως ἐπεφθάκει. ἐπαινεῖν δὲ ὡς ἀρχὴν ἐπιδέδεικται ταύτην τοῦ τὸν κόσμον φυλάττειν τὸν τοῖς Ῥωμαίοις προσήκοντα· καὶ πιστεύειν ἐντεῦθεν ὡς καὶ τὸν βασιλέα τὸν ταῦτα τιμήσαντα καταδέξοιτο θᾶττον, εἰ ποιεῖν θέλοι τὰ δίκαια. καὶ βασίλειον γράμμα περὶ ὧν ἠβούλετο πέμπων τῷ Ὀδοάχῳ, πατρίκιον ἐν τούτῳ τῷ γράμματι ἐπωνόμασε. ταῦτα δὲ συνεσπούδαξε τῷ Νέ-

πωτι ὁ Ζήνων ἐκ τῶν ἑαυτοῦ κακῶν τὰ ἐκείνου οἰκτείρων καὶ τό γε κοινὸν τῆς τύχης εἰς ὑπόθεσιν ἔχων τῷ δυστυχοῦντι συνάχθεσθαι. ἅμα δὲ καὶ Βηρίνα συνεπώτρυνε τοῦτον, τῇ Νέπωτος γυναικὶ συγγενεῖ οὔσῃ συσπεύδουσα. [Exc. de legat. p. 93—94 Par., 235—237 Niebuhr.]

11 Ὅτι ἐν τῷ ἑξῆς ἔτει ἐπὶ Ζήνωνος πρέσβεις ἦλθον ἐκ Θρᾴκης τῶν ὑποσπόνδων Γότθων, οὓς δὴ καὶ φοιδεράτους οἱ Ῥωμαῖοι καλοῦσιν, ἀξιοῦντες Ζήνωνα Θευδερίχῳ σπείσασθαι τῷ παιδὶ Τριαρίου, ἥσυχον ἐθέλοντι διεξάγειν τὸν βίον καὶ μηδένα πόλεμον τοῖς κοινοῖς αἴρεσθαι πράγμασιν. ἠξίουν δὲ καὶ σκοπεῖν ὅσα πολέμιος ὢν κατέβλαψε Ῥωμαίους καὶ ὅσα Θευδέριχος ὁ τοῦ Βαλαμείρου παῖς, στρατηγὸς ὢν καὶ φίλος, ταῖς πόλεσιν ἐλυμήνατο, καὶ μὴ νῦν ἀπεχθείας παλαιὰς ὁρᾶν μᾶλλον ἢ ὅπως τι τῷ κοινῷ γένοιτο παντελῶς ὠφέλιμον. εὐθὺς οὖν ὁ βασιλεὺς τὴν βουλὴν συγκαλέσας γνώμην αὐτοῖς προύθηκεν ὅ,τι δέοι ποιῆσαι. οἱ δὲ ἀμφοτέροις μὲν οὐκ ἔφασαν ἱκανὸν τὸ δημόσιον εἶναι συντάξεις τε καὶ μισθὸν ἐπαρκέσαι προχείρως, ὁπότε γε μηδὲ αὐτοῖς μόνοις τοῖς στρατιώταις ἀμέμπτους ὑποτελεῖν τὰς χορηγίας δυνάμεθα. ὁπότερον δὲ αὐτῶν δεῖ φίλον προελέσθαι, τούτου κύριον αὐτὸν βασιλέα καθίστασθαι. ὁ δὲ ἐπὶ τὴν αὐλὴν τούς τε κατὰ τὴν πόλιν στρατιώτας καλέσας καὶ τὰς σχολὰς ἁπάσας, ἀναβὰς ἐπὶ βῆμα πολλὰ τοῦ Θευδερίχου κατηγόρει, ἐν τούτοις ὅπως τε τοῖς Ῥωμαίοις ἐχθρὸς ἄνωθεν εἴη καὶ ὡς ἐλυμήνατο τοῖς τὴν Θρᾴκην οἰκοῦσι, χεῖράς τε ἀποτέμνων ἅμα τῷ Ἁρματίῳ καὶ τὸ γεωργοῦν ἅπαν ποιήσας ἀνάστατον· ὅπως τε τυραννίδα πάλιν ἐπὶ τοῖς κοινοῖς τὴν Βασιλίσκου ἐπήγειρε, καὶ

ὡς τοὺς στρατιώτας ἐκεῖνον ἀνέπεισεν ἐκποδὼν ποιήσασθαι, ὡς τῶν Γότθων ἀρκούντων. καὶ νῦν δὴ πρεσβεύεσθαι οὐκ εἰρήνης γε μᾶλλον ἢ στρατηγίας δεόμενον. "ἣν οὖν ἔχετε γνώμην καὶ ὑμεῖς περὶ τούτων, ταύτην" ἔφη "παρ' ὑμῶν ἀκοῦσαι βουλόμενος νυνὶ παρεκάλεσα, εἰδὼς τῶν βασιλέων τούτους ἀσφαλῶς πράττειν οἳ ἂν τὰ βουλεύματα τοῖς στρατιώταις κοινώσωσιν." οἱ δὲ ἧς κατέτεινε κατηγορίας ἀκούσαντες καὶ ἐκ ταύτης διδαχθέντες ὃ χρῆν ἀποκρίνασθαι, πάντες ἀνεβόησαν ἐχθρὸν εἶναι Ῥωμαίοις Θευδέριχον καὶ πάντας, εἴ τις ἐκείνῳ συνέστηκεν. οὐ μέντοι τοῖς πρέσβεσι ταύτην εὐθὺς ἔδωκεν ἀπόκρισιν ὁ Ζήνων, ἀλλ' ἐπεῖχεν, ἕως τὸ πλέον ἀκούσειε τῶν ἔξωθεν. ἐν τούτῳ δὲ γράφοντες τὰ ἔνδον γιγνόμενα τῶν ἐν τῇ πόλει τινὲς τῷ Θευδερίχῳ ἑάλωσαν, Ἄνθιμός τε ἰατρὸς καὶ Μαρκελλῖνος καὶ Στέφανος. καὶ οὐ μόνον ἑαυτῶν ἐπιστολὰς ἔπεμπον, ἀλλὰ καὶ τῶν ἐν τέλει πλαττόμενοι γράμματα ἐκείνῳ ἐπέστελλον (ἀπ. Bekk.), θαρσύνειν βουλόμενοι, ὡς ἱκανοὺς ἔχοντα τοὺς συμπράττοντας ἔνδον. καὶ τρεῖς τῶν ἀπὸ βουλῆς, τοῦ μαγίστρου παρόντος, ἐξετάσαντες ταῦτα, καὶ πληγὰς τὰ σώματα πολλοῖς (πολλὰς Bekk.) ἐπιθέμενοι, φυγὴν ἐς ἅπαξ ἐπέθηκαν. δῆθεν γὰρ ἀπέχεσθαι θανάτου καὶ σφαγῶν δοκεῖν ὁ Ζήνων ἐβούλετο. [Exc. de legat. p. 94—95 Par., 237—239 Niebuhr.]

12 Ὅτι τὸν ἄρχοντα Αἰγύπτου ἐπὶ μόλις χρυσίου λίτραις πεντήκοντα ἐκπεμπόμενον, ὥσπερ εὐδαιμονεστέρας γενομένης ἢ πρόσθεν, ἐπὶ πεντακοσίαις ὁμοῦ λίτραις ἀπέστειλεν. [Ib. p. 88 Par., 263 Niebuhr.]

13 Ὅτι τῷ αὐτῷ ἔτει πρέσβεις ἐκ Καρχηδόνος ἐς Βυζάντιον ἦλθον, οὓς Ἀλέξανδρος ἦγεν ὁ τῆς Ὀλυ-

βρίου γυναικὸς ἐπίτροπος· ὃς ἐτύγχανε πεμφθεὶς ὑπὸ Ζήνωνος πάλαι, συνθελούσης καὶ αὐτῆς τοῦτο τῆς Πλακιδίας. ἔλεγον δὲ οἱ πρέσβεις ὅτι Ὀνώριχος φίλος τε τῷ βασιλεῖ καθεστήκοι ἀδόλως καὶ στέργοι τὰ Ῥωμαίων, καὶ ἀφίησι πάντα, ἃ πρόσθεν ἐνεκάλει περί τε τῶν προσόδων καὶ τῶν ἄλλων χρημάτων, ἃ τῆς αὐτοῦ γυναικὸς προειλήφει ὁ Λέων, καὶ ὅσα τῶν ἐμπόρων τῶν ἐκ τῆς Καρχηδόνος ἄρτι καθισταμένου τοῦ πολέμου ἐλήφθη, καὶ εἴ τι ἄλλο πάλαι ὁ πατὴρ πρὸς Ῥωμαίους ὁπωσοῦν ἔσχεν αἰτίαν· τήν τε εἰρήνην ἔχειν ἀξιοίη βεβαίαν καὶ μηδὲν εἶναι λοιπὸν τοῖς Ῥωμαίοις ὕποπτος τῷ μὴ οὐχὶ γνησίως τὰς σπονδὰς ἐμπεδώσειν καὶ ὅσα ἤδη συνέκειτο. εἰδέναι γὰρ χάριν, ὅτι τὴν Ὀλυβρίου τετιμήκοι γυναῖκα· καὶ ταῦτα πυθόμενος πάντα ἕτοιμος ἦν βασιλεῖ πράττειν ἃ βούλοιτο. ἦν δὲ τοῦτο πρόσχημα εὐπρεπὲς τῷ λόγῳ, ἐπεὶ τό γε ἀληθὲς πᾶσαν ἐδεδοίκεσαν ὑποψίαν πολέμου, καὶ μετὰ τὸν θάνατον Γινζιρίχου πεσόντες ἐς πᾶσαν μαλακίαν οὔτε τὴν αὐτὴν ῥώμην ἐς πράγματα ἔσχον οὔτε τὰς αὐτὰς ἔτι συνεῖχον παρασκευάς, ἃς ἐκεῖνος πρὸς πᾶσαν πρᾶξιν εἶχεν ἐφόρμους, ὡς θᾶττον ἀεὶ πράττειν ἢ ὡς ἂν ἄλλος βουλεύσαιτο. δεξάμενος δὲ αὐτοὺς φιλοφρόνως ὁ Ζήνων τιμῆς μὲν ἠξίωσε δεούσης τοὺς πρέσβεις, καὶ δώροις ἀπέπεμψε τοῖς πρέπουσι κοσμήσας, Ἀλέξανδρον δὲ ποιεῖ τῶν πριβάτων κόμητα. [Exc. de legat. p. 95—96 Par., 239—240 Niebuhr.]

Ὅτι ἐν τῷ αὐτῷ χρόνῳ ὁ Ζήνων αἰσθόμενος ὡς 14
τὰ μὲν Θευδερίχου τοῦ παιδὸς Βαλαμείρου ἀεὶ ἀσθενέστερα καὶ ἐλάττονα γίγνοιντο, ὁ δὲ τοῦ Τριαρίου ἔθνη τε συναθροίζει καὶ συστρέφει δυνάμεις, ἐνόμισε βέλτιον ἐπὶ μετρίοις αὐτῷ, εἰ συμβῆναι βου-

λοιτο, καταλῦσαι τὴν ἔχθραν. καὶ πρέσβεις ἀποστείλας ἠξίου τόν τε υἱὸν παραδοῦναι ὅμηρον, ὡς πάλαι προυκαλεῖτο, καὶ ἰδιώτην ὄντα ἐν τοῖς ἑαυτοῦ μένειν, μηδὲν ἐνοχλούμενον, ὥσπερ ᾔτησε τότε, λαβεῖν τε τὴν οὐσίαν ὁπόσης ἀφῄρητο καὶ τἄλλα ἡσυχάζειν, οὐδὲν ἔχοντα κακὸν οὐδὲ ἑτέρῳ παρέχοντα. ὁ δὲ ἀπεκρίνατο ὅτι [οὔτε add. Val.] τὸν υἱὸν ἔτι ὅμηρον δώσοι οὔτε δύνασθαι ἔτι ἐκ μόνης τῆς οὐσίας ἰδιώτης διάγειν. ἕως μὲν γὰρ ἦν μόνος, μήπω ἔθνη τοσαῦτα περὶ αὑτὸν ἔχων, μόνην ἂν τὴν οὐσίαν σφόδρα συστελλομένῳ ἴσως ἂν ἐπαρκέσαι· νῦν δέ, ἐπείπερ αὐτὸν ἐς ἀνάγκην τοῦ ἔθνη συλλέξαι κατέστησαν, ἐκ τῆς ἀνάγκης εἶναι ἢ τρέφειν τοὺς ἐλθόντας ἢ σὺν αὐτοῖς πολεμεῖν, ἕως παθὼν ἢ δράσας ἓν ἀναμφισβήτητον τῷ παντὶ πέρας ἐξοίσειεν. ταῦτα ὡς ἀπηγγέλθη, ἔδοξεν ἐς ἀκριβῆ κατασκευάζεσθαι πόλεμον. καὶ τάγματα μὲν πάντα, ὅσα τε πρὸς τῷ Πόντῳ καὶ κατὰ τὴν Ἀσίαν καὶ ὅσα τοῖς ἑῴοις ἐνίδρυτο μέρεσι, κατὰ τάχος ἐκάλει. καὶ παρῆν πανταχόθεν οὐκ ὀλίγον τι πλῆθος. κατεσκευάζοντο δὲ ἅμαξαι σκευοφόροι καὶ βόες ἐωνοῦντο καὶ σῖτός τε καὶ ὅσα χρήσιμα στρατοπέδῳ πάντα ἐγίγνετο ἕτοιμα, ὡς αὐτοῦ γε μέλλοντος Ἰλλοῦ ἐξιέναι. [Exc. de legat. p. 88—89 Par., 262—264 Niebuhr.]

15 Ὅτι ὁ Ζήνων Μαρτινιανὸν προβαλόμενος στρατηγόν, καὶ τοῦ στρατοῦ ἐς ἀταξίαν ἐλθόντος, ὡς ταῦτα καλῶς ἔχειν ἐδόκει, πέμπει ἄνδρας αὐτίκα παρὰ τὸν Βαλαμείρου, λέγοντας ὅτι οὐ δεῖ τρίβειν ἔτι τὴν μάχην, ἀλλ' ἔργου νῦν ἔχεσθαι καὶ πληροῦν τὰς ἐλπίδας, ἐφ' αἷς τῆς στρατηγίας ἠξιώθη Ῥωμαίων. ὁ δὲ ἀκούσας ἀντιπέμπει καὶ αὐτὸς ἐς Βυζάντιον πρέσβεις, λέγων ὡς οὐ πρότερον ἐγχειρήσοι

τῷ ἔργῳ, εἰ μὴ καὶ ὁ βασιλεὺς καὶ ἡ σύγκλητος αὐτῷ ἐπομόσαιτο πᾶσα ὡς οὐδέποτε ἐπὶ (ἔτι Bekk.) τῷ Τριαρίου συμβήσονται. οἱ μὲν οὖν ἀπὸ βουλῆς καὶ οἱ ἄρχοντες ὤμοσαν μὴ συμβαίνειν, εἰ μὴ βασιλεὺς θέλοι· αὐτὸς δὲ ὁ βασιλεὺς μηδὲν ἀποστήσεσθαι τῶν ἤδη συγκειμένων, εἰ μὴ πρῶτον ἐκεῖνον παραβαίνοντα ἴδοι. τούτων δὲ ὁμοθέντων, αὐτὸν μὲν Θευδέριχον ἔδοξε κινήσαντα τὴν αὐτοῦ δύναμιν, ἐν Μαρκιανουπόλει τὴν πᾶσαν ἱδρυμένην, ἐς τὸ ἔσω ἐλαύνειν· ἐπειδὰν δὲ γένηται πρὸς ταῖς πύλαις τοῦ Αἵμου, τότε τὸν τῆς Θράκης στρατηγὸν δισχιλίοις ἱππεῦσι καὶ ὁπλίταις μυρίοις ἀπαντῶντα συμμίξαι· ὑπερβάντι δὲ Αἷμον ἄλλην ἀπαντήσεσθαι δύναμιν πρὸς τῷ Ἕβρῳ καὶ Ἀδριανουπόλει, πεζοὺς μὲν δισμυρίους, ἑξακισχιλίους δὲ μετὰ τούτων ἱππέας. ἀπὸ δὲ Ἡρακλείας καὶ τῶν πρὸς Βυζαντίῳ πόλεων καὶ φρουρίων ἄλλην ἔλεγον εἶναι δύναμιν, εἰ δεήσοι, ὥστε μηδὲν ἐλλείπειν τῶν ἐς ἐλπίδα χρηστὴν συντελούντων τῷ ἔργῳ. ταῦτα ὑποσχόμενος ὁ Ζήνων τοῖς πρέσβεσι κατὰ τάχος ἐκπέμπει. ἄρας δὲ ὁ Θευδέριχος τῷ αὐτοῦ στρατεύματι ᾔει ἐπὶ τὰς πύλας, καθάπερ συνέκειτο. ἐρχομένῳ δὲ αὐτῷ οὔτε ὁ στρατηγὸς τῆς Θράκης ἀπήντα οὔτε οἱ πρὸς τῷ Ἕβρῳ ὑποκαθῆσθαι λεγόμενοι, ἀλλὰ δι᾽ ἐρημίας (ἠρεμίας Vales.) διελθὼν τὰ ἐν μέσῳ ἐς τοὺς περὶ Σονδιν (Σοῦκιν Vales.) παραγίγνεται χώρους· ὄρος δέ ἐστι τοῦτο ὑψηλόν τε καὶ μέγα καὶ ἄπορον ἐπελθεῖν, εἴ τις ἄνω κωλύει· ἐν ᾧ στρατοπεδεύων ὁ Τριαρίου ἐτύγχανε. κἀντεῦθεν προσβάλλοντες ἐξ ἐφόδων ἀλλήλοις ποίμνιά τε καὶ ἵππους καὶ λείαν ἄλλην ἀφήρπαζον. ὁ δὲ τοῦ Τριαρίου συνεχῶς προσιππεύων ἐπὶ τὸ στρατόπεδον τὸ ἐκείνου ὕβριζε καὶ ὠνείδιζε

πλεῖστα, ἐπίορκόν τε καλῶν καὶ παῖδα καὶ ἄφρονα καὶ τοῦ γένους τοῦ κοινοῦ ἐχθρόν τε καὶ προδότην, ὅστις οὐ συνίησι τῆς γνώμης τῆς Ῥωμαίων, μηδὲ ὁρᾷ τὴν σκέψιν, ὅτι αὐτοὶ βούλονται καθήμενοι ἡσυχῇ αὐτοὺς περὶ ἑαυτοὺς κατατρῖψαι τοὺς Γότθους. "κἀκεῖνοι μὲν τὴν νίκην ἀκονιτὶ ἔχουσιν, ὁπότεροι πέσοιμεν, ἡμῶν δὲ ὁπότεροι τοὺς ἑτέρους φθείρουσι, τὴν τοῦ λόγου Καδμείαν ἀποφέρονται νίκην, ἐλάττους λειπόμενοι πρὸς τὴν Ῥωμαίων ἐπιβουλήν. νῦν γοῦν σὲ καλέσαντες καὶ ἐπαγγειλάμενοι παρέσεσθαι καὶ αὐτοὶ καὶ κοινῇ συστρατεύειν, οὔτε ἐνταῦθα πάρεισιν οὔτε ἐπὶ τὰς πόλεις ἀπήντησαν, ὡς εἶπον, μόνον δὲ ἀπέλιπον ἀπολέσθαι κάκιστα καὶ τῆς γε θρασύτητος δοῦναι δίκην ἀξίαν ᾧ προέδωκας γένει." ταῦτα ἐπακούσαντες πολλοὶ τοῦ αὐτοῦ πλήθους συνῇδον τοῖς λόγοις, καὶ τῷ σφετέρῳ αὐτῶν στρατηγῷ προσιόντες ἔλεγον ὡς εἰκότα ὀνειδίζοι ἐκεῖνος, καὶ ὅτι οὐ προσήκει φθείρεσθαι περαιτέρω, οὐδὲ τῆς συγγενείας τῆς κοινῆς ἀμελοῦντα τοῖς προδοῦσι προσέχειν. τῇ δὲ ὑστεραίᾳ πάλιν ἀναβὰς Θευδέριχος ἐπί τινα γήλοφον ὑπὲρ τοῦ στρατοπέδου τοῦ ἐκείνων ἐβόα· "τί τοὺς ἐμοὺς συγγενεῖς, ὦ κάκιστε, ἀπόλλυς; τί τοσαύτας γυναῖκας ἐποίησας χηρεύειν; ποῦ δὲ οἱ τούτων ἄνδρες; ἢ πῶς ἐξαπόλωλε πάντων ἡ εὐπορία, ἣν ἔχοντες οἴκοθεν συνεστράτευσάν σοι; καὶ σύνδυο καὶ σύντρεις ἕκαστος ἵππους ἔχων νῦν ἄνιπποι χωροῦσι καὶ πεζοὶ καὶ διὰ Θρᾴκης ὥσπερ ἐν ἀνδραπόδων ἑπόμενοι μερίδι· ἀλλὰ καὶ ἐλεύθεροί τε καὶ γένους οὐ χείρονος, * ἡ μεδίμνῳ χρυσίου ἐλθόντες ἀπομετρήσονται (οἳ μεδίμνῳ χρυσίον ἐλθ. ἀπεμετρήσαντο Hoesch.);" ταῦτα ὡς ἐπήκουσε τὸ στρατόπεδον ἅπαν, ἄνδρες

τε καὶ γυναῖκες ὁμοῦ πάντες ᾔεσαν ἐπὶ τὸν Θευδέριχον τὸν αὐτῶν ἡγεμόνα, κραυγῇ τε καὶ θορύβῳ ἀξιοῦντες συμβαίνειν· εἰ δὲ μή, ἀπολείψειν αὐτὸν ἔφασαν πάντες, ἐς τὸ συμφέρον χωρήσαντες. ἐνταῦθα ἀποστέλλει πρὸς Θευδέριχον πρέσβεις, καὶ συνέρχονται ἄμφω παρὰ ποταμόν τινα ἐφ' ἑκατέρας ὄχθης. μέσον δὲ ποιησάμενοι τὸν ποταμὸν διελέγοντο, καὶ ποιοῦνται συνθήκας μὴ πολεμεῖν ἀλλήλοις, [καὶ add. Nieb.] ὅσα ἥγηντο συμφέροντα. καὶ ταῦτα ὀμόσαντες πέμπουσιν ἄμφω πρέσβεις ἐπὶ τὸ Βυζάντιον. [Exc. de legat. p. 89—90 Par., 264—267 Niebuhr.]

Ὅτι συνθήκας πρὸς ἀλλήλους ποιησάμενοι Θευ- 16
δέριχος καὶ ὁ Τριαρίου οἱ Γότθοι μὴ πολεμεῖν ἀλλήλοις, πέμπουσιν ἄμφω πρέσβεις ἐπὶ τὸ Βυζάντιον, ὁ μὲν τοῦ Βαλαμείρου τῷ βασιλεῖ ἐγκαλῶν ὅτι προδεδομένος ὑπ' ἐκείνου τυγχάνει, καὶ ὡς τῶν συντεθέντων οὐδὲν εὑρὼν ἀληθὲς Θευδερίχῳ συμβαίη, αἰτῶν δὲ χώραν αὐτῷ, ἐν ᾗ μένοι, δοθῆναι, καὶ σῖτον, ὅστις αὐτῷ καὶ μέχρι καρποῦ τὸν στρατὸν ἐξαρκέσει διάγειν, καὶ τοὺς προαγωγέας τῶν λημμάτων τῆς ἀρχῆς, οὓς δομεστίκους καλοῦσι Ῥωμαῖοι, ἐκπέμπειν ὡς τάχιστα, λόγον διδόντας ὧν ἔλαβον· ἢ μὴ ταῦτα ποιουμένων πρὸς αὐτὸν τῶν Ῥωμαίων οὐ δυνήσεσθαι αὐτὸς πολὺν ὄχλον κατέχειν τοῦ μὴ ὅθεν δύναιντο δι' ἁρπαγῆς ἑαυτοῖς ἐπανορθοῦσθαι τὴν ἔνδειαν. ταῦτα μὲν ὁ ἕτερος Θευδέριχος ἔλεγεν· ὁ μέντοι Τριαρίου τά τε ἐπὶ Λέοντος συντεθέντα ἠξίου αὐτῷ πάντως γενέσθαι, καὶ τῶν προτέρων χρόνων τὰς συντάξεις λαμβάνειν, τούς τε κηδεστὰς αὐτῷ ζῶντας ἀποδοθῆναι· εἰ δὲ καὶ ἄρα τεθνήκασι, τὸν Ἰλλοῦν περὶ τούτων ἐπομόσαι καὶ ἄλλους, οἷς αὐτὸς ἐπὶ τούτων τῶν Ἰσαύρων πιστεύει. Ζήνων δὲ πυθό-

μενος, πρὸς μὲν τὸν Βαλαμείρου ἀπεκρίνατο ὅτι αὐτὸς εἴη προδότης καὶ πάντα ἐναντία οἷς ὑπέσχετο δράσας, ὅστις διαπολεμεῖν ὑποσχόμενος μόνος εἶτα καὶ βοήθειαν προσκαλέσαιτο ἄλλην, πάλιν δὲ τὴν δύναμιν τῶν Ῥωμαίων καλέσας κρύφα πρὸς Θευδέριχον πράττει περὶ φιλίας· οὗ δὴ καὶ αἰσθόμενον τὸν στρατηγὸν τῆς Θρᾴκης καὶ τοὺς ἄλλους, ὁπόσοι τὰ Ῥωμαίων φρονοῦσι, μήτε ἀπηντηκέναι μήτε συμβάλλειν αὐτῷ τὰς δυνάμεις θαρσῆσαι, φοβουμένους ἐνέδραν. νῦν τε εἰ θελήσαι πρὸς αὐτὸν πολεμῆσαι, ἐπαγγέλλεσθαι αὐτῷ ταῦτα δώσειν νικῶντι, χρυσίου λίτρας χιλίας, μυριάδας δ' ἀργυρίου, πρόσοδόν τε πρὸς τούτοις νομισμάτων μυρίων· καὶ γάμον αὐτῷ δώσειν τῆς Ὀλυβρίου παιδὸς ἢ ἄλλης τῶν ἐνδόξων γυναικῶν ἐν τῇ πόλει. ταῦτά τε ἅμα λέγων τῶν τε ἀποσταλέντων παρ' αὐτοῦ τοὺς πλείονας ἀξίαις ἐτίμησε, καὶ πρέσβεις ἀπέστειλε πρῶτον μὲν Φιλόξενον, εἶτα Ἰουλιανόν, εἴ πως ἄρα δύναιντο μεταπεῖσαι ξυρραγῆναι ἐκείνῳ. ὡς δὲ οὐδὲν ἔπειθε, πέμψας τοὺς στρατιώτας ἐς τὸν πόλεμον ὥρμα, καὶ παρεκάλει θαρσεῖν ὡς αὐτὸς ἐκστρατεύσων καὶ κοινῇ σὺν ἐκείνοις ὅ,τι ἂν δέοι πεισόμενος. οἱ δὲ ὡς ἐπήκουσαν ὅτι αὐτὸς βασιλεὺς ἐξάγειν ἐθέλοι, οὕτως ἕκαστος αὐτῶν ἠπείγετο ἑαυτὸν ἐπιδεῖξαι βασιλεῖ πολλοῦ ἄξιον ὄντα ὥστε καὶ οἱ πρότερον τοῖς ἡγεμόσιν αὐτῶν, ἐφ' ᾧ μὴ στρατεύοιντο, ἀργύριον διδόντες πάλιν ἐς τὸ μετέχειν τῆς ἐξόδου παρεῖχον. καὶ πάντες ἀνθήπτοντο τοῦ πολέμου ὀργῶντες· καὶ τούς τε κατασκόπους τοὺς παρὰ Θευδερίχου πεμφθέντας ἐξώγρησαν καὶ τῆς τοῦ Βαλαμείρου φυλακῆς μοῖραν ἐλθοῦσαν ἐπὶ τὸ Μακρὸν τεῖχος οἱ ἐκεῖ φυλάττοντες διαπρεπῶς ἀπεκρούσαντο. ἐπεὶ δὲ ἐς τὴν αὐτοῦ

φερόμενος ὁ Ζήνων ἀνεχώρησε φύσιν, καὶ ὑπὸ τῆς συμφύτου ἀπεσβέσθη δειλίας, ἐνταῦθα ὀργίζονται καὶ χαλεπῶς ἔφερον, κατὰ συστάσεις τε γιγνόμενοι ἐμέμφοντο ἀλλήλους τῆς ὅλης ἀτολμίας, εἰ χεῖράς τε ἔχοντες καὶ βαστάζοντες ὅπλα μαλακίας τοιαύτης ἀκούειν ἀνέχονται, δι' ἧς πόλεις ἅπασαι καὶ ἡ πᾶσα Ῥωμαίων ἰσχὺς ἐξαπόλωλε, πάντων ἐπ' ἐξουσίας περικοπτόντων ἃ βούλοιντο. τοῦτον ὁ Μαρτινιανὸς συνελόμενος τὸν θροῦν, πέμπει Ζήνωνι λέγων ὅτι δεῖ τὸ στρατόπεδον ὡς τάχιστα διαλύειν, μή τι καὶ νεώτερον συνεστηκότες ἐργάσωνται. πέμψας οὖν ἐκέλευεν ἀπιέναι ἑκάστους ἐπὶ τὰ χειμάδια, ὡς πρὸς τὸν Θευδέριχον ἐσομένης εἰρήνης. οἱ δὲ τὸν χάρακα ἔλυσαν· καὶ ἀπῆλθον οἱ πλείους τῇ διαλύσει ἀχθόμενοι, καὶ ὅτι θᾶττον αὐτοῖς χωρισθῆναι συνέβη, πρὶν ἄνδρα σκεψαμένους τοῖς κοινοῖς ἐπιστῆσαι, ὃς τῆς παρούσης λύμης ἀνακτᾶσθαι τὴν πολιτείαν ὁπωσοῦν δυνήσεται. [Exc. de legat. p. 96—97 Par., 240—243 Niebuhr.]

Ὅτι Ζήνων, ἐπεὶ διέλυσε τὴν στρατιάν, πέμπει 17
πρὸς Θευδέριχον, τὴν εἰρήνην συνθέσθαι πρὸς αὐτὸν ὅπως καὶ δύναιντο. ἐν δὲ τούτῳ συστρέψας τὴν ἑαυτοῦ δύναμιν ὁ παῖς ὁ Βαλαμείρου ἐπὶ τὰ πρὸς Ῥοδόπην παραγίγνεται μέρη, καὶ κατατεινάμενος (κατασινάμενος Vales.) τὰ κάλλιστα τῆς χώρας τῶν Θρακῶν ἅπαντα καὶ εἴ τι ἦν κτηνικὸν ἀφαρπάζει. ἐξέτριψε δὲ ἅπαν τὸ αὐτόθι γεωργοῦν, κτείνων τε καὶ εἰσπράττων (σπαράττων Bekk.) ὅσα μὴ φέρειν ἠδύναντο (ἠδύνατο Bekk.). Θευδέριχος δὲ ταῦτα ἀκούσας γιγνόμενα, ἥδεσθαι μὲν ἔλεγεν ὅτι φίλος αὐτῶν καὶ υἱὸς λεγόμενος ταῦτα αὐτοὺς δρῴη, ἄχθεσθαι μέντοι ὅτι τῆς ἐκείνων ἀνοίας ἐν τοῖς γεωργοῖς βλέ-

πει γιγνομένην τὴν δίκην, ὧν οὐδὲ φθειρομένων Ζήνωνά γε ἢ Βηρίναν οὐδ' ὁπωσοῦν ἐπιστρέφεσθαι. ὡς δὲ ἦλθον οἱ πρέσβεις, τίθενται τὴν εἰρήνην ἐφ' ᾧ τε μυρίοις μὲν καὶ τρισχιλίοις ἀνδράσιν οἷς θέλοι Θευδέριχος συντάξεις τε καὶ τροφὴν χορηγεῖν βασιλέα, δυοῖν δὲ αὐτὸν σχολῶν προβάλλεσθαι ἄρχοντα, ἀπολαβεῖν δὲ αὐτοῦ τὴν οὐσίαν, ὅσην πρότερον εἶχεν, λαβεῖν δὲ τὴν ἑτέραν τῶν δύο στρατηγιῶν τῶν περὶ βασιλέα, καὶ ἔχειν τὰς ἀξίας, ἐς ἃς ἤδη προῆκτο ὑπὸ τοῦ Βασιλίσκου. περὶ δὲ τῶν κηδεστῶν, εἰ μὲν ἐτελεύτησαν, ὡς ἔλεγεν ὁ Ζήνων, μηδὲν εἶναί οἱ πρᾶγμα· εἰ δὲ ζῶσι, λαβόντας ἥνπερ εἶχον οὐσίαν οἰκεῖν πόλιν ἣν αὐτὸς δοκιμάσειε Ζήνων. ταῦτα ὡς συνέδοξε, παύσας τὸν Βαλαμείρου τῆς ἀρχῆς ὁ βασιλεὺς στρατηγὸν ἀντ' ἐκείνου Θευδέριχον ποιεῖται, καὶ χρήματα ἔπεμψεν, ὅσα ἔδει αὐτίκα διανεῖμαι τοῖς Γότθοις. [Exc. de legat. p. 90—91 Par., 267—268 Nieb.]

18 Ὅτι ὁ Βαλαμήρου ὑπὸ τῶν Ῥωμαίων στρατηγῶν πολλοὺς τῶν ἰδίων ἀποβαλών, οὐ μικρὰν ἔχων ὀργὴν τῷ πάθει ἀπέδραμεν, ἀφειδῶς ὅ,τι ἐν ποσὶν εὕροι καίων τε καὶ φονεύων, καὶ τὴν πρώτην τῆς Μακεδονίας πόλιν τοὺς Στόβους ἐπόρθησε, καὶ τῶν γε στρατιωτῶν τῶν ταύτῃ ἐμφρουρούντων τοὺς ἀντιστάντας ἀπέκτεινεν. ὡς δὲ τῇ Θεσσαλονίκῃ ἐγγύθεν ἐφεδρεύων ἠγγέλθη ὁ βάρβαρος, αὐτίκα οἱ πολῖται νομίσαντες ἐκ δόλου τὰ ἐν τῇ προτεραίᾳ ἀνεγνῶσθαι γράμματα καὶ τὴν πόλιν βούλεσθαι Ζήνωνά τε καὶ αὐτὸν ἐκείνῳ παραδοῦναι, συστραφέντες ἐν σφίσιν αὐτοῖς τὰς τοῦ Ζήνωνος στήλας καταβάλλουσι πάσας, καὶ αὐτὸν ὁρμήσαντες τὸν ὕπαρχον ἕτοιμοι διασπάσαι ἦσαν. οἱ δὲ κομισάμενοι πῦρ ἐπὶ τὸ ἀρχεῖον ἐμπιπράναι ἔμελλον, εἰ

μὴ ὑποφθάσαντες τά τε ἱερὰ γένη καὶ οἱ ἐν ταῖς ἀξίαις ἐξήρπασάν τε αὐτὸν τῆς ὀργῆς τῆς τοῦ δήμου καὶ τὸ ἀτακτοῦν λόγοις πραέσι κατέστειλαν, λέγοντες οὔτε αὐτὸν αἴτιον εἶναι τούτου οὔτε τὸν βασιλέα τῇ πόλει τι δυσχερὲς ἢ κακὸν βεβουλεῦσθαι, τῆς τε πόλεως χρῆναι ποιήσασθαι φυλακήν, ὅτῳ ἂν ἐθέλωσι καὶ ὃν ἡγοῦνται πιστὸν ἐπιτρέποντες ταύτην. οἱ δὲ τὰς κλεῖς τῶν πυλῶν ἐκ τοῦ ὑπάρχου λαβόντες τῷ ἀρχιερεῖ ἔδοσαν, καὶ ἀπὸ τῶν ἐνόντων φρουρὰν ἐπενόησαν ὡς ἠδύναντο πλείστην καὶ τὸν στρατηγὸν ἔστεργον. ἐν δὲ τούτῳ ὁ Ζήνων πυθόμενος τὸν κατέχοντα κίνδυνον, καὶ ἰδὼν ὡς οὐδενὸς βουλομένου μάχεσθαι ἄριστον εἴη σπονδαῖς ὡς ἐν κακοῖς μετρίαις τῆς τῶν πόλεων φθορᾶς ἐπισχεῖν τὸν βάρβαρον, Ἀρτεμίδωρον πέμπει καὶ Φωκᾶν τὸν ὅτε ἦν στρατηγὸς γραμματέα αὐτῷ τῆς ἀρχῆς ὄντα. οἳ ἐλθόντες ἔλεγον ὅτι "σὲ ὁ βασιλεὺς φίλον ἐποιήσατο, καὶ ἀξίαις, αἵ εἰσι λαμπρόταται Ῥωμαίοις, σεμνῶς ἐπεκόσμησε, καὶ ἄρχειν τῶν μεγίστων ταγμάτων ἐποίησεν, οὐδὲν οἷάπερ ἀνδρὶ ἀπιστήσας βαρβάρῳ. σὺ δὲ οὐκ ἴσμεν ὅπως ταῖς τῶν κοινῶν δυσμενῶν ἀπάταις ὑπαχθεὶς τά τε ὑπάρχοντά σοι ἀγαθὰ διέφθειρας καὶ τῆς εὐδαιμονίας τῆς σῆς ἄλλον ἐποίησας ὡς οὐκ ἔδει σε κύριον. οὐκ ἂν δίκαιος εἴης τῷ βασιλεῖ ἐγκαλῶν ὧν ἐς ἑαυτὸν ἅμα καὶ ἐς ἐκεῖνον ἐξήμαρτες. νῦν οὖν ἐπειδὴ σαυτὸν ἐς τοῦτο κατέστησας, ὑπόλοιπόν σοί ἐστιν ἐκ τῆς παρούσης τύχης τῆς τε κατὰ τῶν ἐθνῶν καὶ τῶν πόλεων βλάβης ἐπισχεῖν [ὡς add. Nieb.] οἷόν τε, πέμποντα δὲ πρεσβείαν πειρᾶσθαί τι μέτριον παρὰ τοῦ βασιλέως ἀγαθοῦ ὄντος εὑρίσκεσθαι." ὁ δὲ πεισθεὶς ἄνδρας μὲν ἐπὶ τὸ Βυζάντιον σὺν αὐτοῖς ἀποπέμπει, αὐτὸς δὲ τοῦ μὲν καίειν ἢ φονεύειν τοὺς

ἀνθρώπους ἀνεῖργε τὸ στράτευμα, οὐ μέντοι ἐδύνατο πάντων ὄντας ἀπόρους τὰ γοῦν ἐπιτήδεια ἐκπορίσαι κωλύειν. καὶ δὴ προϊὼν ἦλθεν ἐπὶ τὴν Ἡράκλειαν τὴν ἐν Μακεδονίᾳ, καὶ τοῦ ἀρχιερέως τοῦ ἐν ταύτῃ τῇ πόλει πολλὰ καὶ παντοδαπὰ τῇ στρατιᾷ καὶ αὐτῷ ἀποστείλαντος δῶρα τήν τε χώραν ἀπαθῆ πᾶσαν διεφύλαξε καὶ οὐδὲν τοὺς οἰκοῦντας ἐνταῦθα παραλυπῶν ἐκ τῶν ταύτῃ μόρων (μερῶν Hoesch., φόρων Nieb.) τὸ πλῆθος ἐπιεικῶς ἐπειρᾶτο διάγειν. ἐς δὲ τὸ Βυζάντιον ὡς ἦλθον οἱ παρ' αὐτοῦ σταλέντες πρέσβεις, ἔλεγον ὅτι δέοι ταχέως περὶ πάντων αὐτοκράτορα αὐτῷ πρεσβευτὴν ἀποστεῖλαι, ὡς οὐχ οἵῳ τε πλῆθος ἄπειρον εἴργειν ἐπὶ πλείονα χρόνον τῆς ἀφ' ὧν ἂν δύναιντο [ὠφελεῖσθαι add. Nieb.] βλάβης. ὁ δὲ Ἀδαμάντιον τὸν Βιβιανοῦ παῖδα, πατρίκιόν τε ὄντα καὶ πολιαρχήσαντα, προσθεὶς αὐτῷ καὶ τιμὴν ὑπατικὴν ἔπεμψε παραγγείλας, χώραν μὲν αὐτῷ δοῦναι ἐν Παυταλίᾳ, ἣ τῆς μὲν Ἰλλυρικῆς μοίρας ἐστὶν ἐπαρχία, οὐ πολὺ δὲ ἀπέχουσα τῶν ἐσβολῶν τῆς Θρᾴκης, ὅπως, εἴτε Θευδέριχος ὁ Τριαρίου ἐγχειροίη τι κινεῖν, ἔφεδρον ἔχοι αὐτὸν ἐγγύθεν κατ' ἐκείνου, εἴτε αὐτὸς ταράττειν τὰ συγκείμενα θέλοι, ἐν μέσῳ αὐτὸν ἔχων τῶν τε Ἰλλυρικῶν καὶ τῶν Θρᾳκίων δυνάμεων εὐκολώτερον αὐτοῦ περιεῖναι δύναιτο. εἰ δὲ τροφῶν ἀπορεῖν τῷ στρατεύματι λέγοι τὸν παρόντα ἐνιαυτόν, ἅτε μήτε ἐνσπείρας μήτε καρποῦ ἐλπίδα ἔχων ἐν Παυταλίᾳ, ἔδωκε λίτρας χρυσίου ἀπιόντι διακοσίας, ἃς ἐκέλευε δόντα τῷ ὑπάρχῳ τῷ ἐκεῖ ποιῆσαι τὴν δαπάνην αὐτοῖς ἐς Παυταλίαν χορηγῆσαι τὴν ἐπαρκοῦσαν. ἔτι δὲ τοῦ πρεσβευτοῦ ὄντος ἐν Βυζαντίῳ, στρατιῶται συστάντες ἐν τῇ Θεσσαλονίκῃ τὸν ὕπαρχον Ἰωάννην προϊόντα φυλάξαντες ξιφήρεις ὥρμησαν·

καὶ ὡρίσθη παρὰ τῶν (τοῦ Bekk.) Ζήνωνος Ἀδαμάντιος, καὶ ταῦτα κατέστησεν. ὁ δὲ Βαλαμήρου, ἐν ᾧ τὰ τῆς Θεσσαλονίκης ἐγένετο, περὶ Ἡράκλειαν ἔμενεν, καὶ ἐπὶ τὴν Ἤπειρον πέμπει πρὸς Σιδιμοῦνδον, ἐκ μὲν τῆς αὐτῆς φυλῆς τὸ ἀνέκαθεν ὄντα, δοκοῦντα δὲ τότε εἶναι Ῥωμαίοις ὑπόσπονδον καὶ ἐν τῇ κατ' Ἐπίδαμνον Ἠπείρῳ χώραν τε νεμόμενον καὶ εὐδαίμονα κλῆρον καὶ παρὰ βασιλέως δεχόμενον συντάξεις. ἀνεψιὸς δὲ ἦν οὗτος Αἰδοΐγγου, Βηρίνης τε μάλιστα ὄντος οἰκειοτάτου καὶ τὴν τῶν λεγομένων δομεστίκων ἀρχὴν ἄρχοντος, μεγάλην τινὰ οὖσαν τῶν περὶ βασιλέα. πρὸς τοῦτον οὖν ἔπεμπε, τῆς τε παλαιᾶς αὐτὸν συγγενείας ἀναμιμνήσκων καὶ ἀξιῶν ἐξευρεῖν καὶ συμπρᾶξαι τρόπον, δι' οὗ τῆς τε Ἐπιδάμνου καὶ τῆς ἄλλης Ἠπείρου δυνηθείη κρατήσας στῆναι τῆς πολλῆς πλάνης, καὶ ἱδρύσας ἑαυτὸν ἐν πόλει καὶ τείχεσιν ἐντεῦθεν ὡς ἂν διδῷ δέχεσθαι τὸ συμβαῖνον. Σιδιμοῦνδος δὲ ταῦτα παρ' αὐτοῦ δεξάμενος, καὶ βάρβαρος βαρβάρῳ συνοικεῖν ἢ Ῥωμαίοις ἡγησάμενος κρεῖττον, ἐλθὼν ἐς Ἐπίδαμνον καὶ ἰδίᾳ μετιὼν τῶν πολιτῶν ἕκαστον ὡς δῆθεν κατ' εὔνοιαν συνεβούλευεν αὐτοῖς, ἅ τε ἕκαστος ἔχει θᾶττον ὑπεκτίθεσθαι καὶ αὐτοὺς ἢ ἐς νήσους ἢ πόλιν ποι σώζεσθαι, λέγων ὡς βάρβαρος ἐπὶ ταύτην ὥρμηται καὶ ὅτι τῷ βασιλεῖ ταῦτα δοκοῦντά ἐστι καὶ ὡς Ἀδαμάντιος ἐπὶ ταῦτα πεμφθείη· κρεῖττον οὖν εἶναι αὐτοῖς, ἕως ἔτι ἄπεστιν, κατὰ πλείονα σχολὴν τὰ κατ' αὐτοὺς διοικήσασθαι. ταῦτα καὶ τοῖς στρατιώταις [λέγων add. Nieb.] τοῖς ἐκεῖ φυλάττουσιν, οὖσιν ὡς δισχιλίοις, οἳ καὶ ἀμύνασθαι ἐπιόντα πρός γε τὸ παραχρῆμα ῥᾳδίως ἠδύναντο, ἔπεισεν ὁμοῦ πάντας ἐκλιπεῖν Ἐπίδαμνον, καὶ λέγων καὶ ταράττων καὶ φήμην ἀεὶ

καινὴν πειρώμενος ἐμβάλλειν, καὶ ὅτι βασιλεῖ ἀπεχθήσονται μᾶλλον ἀντιστῆναι θέλοντες, καὶ πρὸς τὸν Βαλαμήρου εὐθέως ἐπέστελλεν ὡς τάχος ἐπείγεσθαι. ὁ δὲ τὸ τοῦ Σιδιμούνδου ἐπέμενε δήλωμα καὶ τὴν αὑτοῦ ἀδελφὴν νόσῳ κατεχομένην, ἐξ ἧς ἐτελεύτησε. φανερὰν μέντοι τῆς καθέδρας πρόφασιν ἐποιεῖτο τὴν τοῦ πρεσβευτοῦ παρὰ Ζήνωνος ἄφιξιν καὶ τὸ βούλεσθαι μαθεῖν ὅπως πρὸς αὐτὸν ἔχει τὰ ἐκ τοῦ βασιλέως. ἐπεὶ δὲ τὴν ἀδελφὴν μὲν ἀποθανοῦσαν ἔθαψεν, τὰ δὲ παρὰ Σιδιμούνδου ἀπήντησε καλοῦντα, πρὸς τοὺς Ἡρακλειώτας ἐκλιπόντας μὲν τὴν πόλιν, ἐς φρούριον δὲ ἰσχυρὸν ἀνασκευασαμένους, πέμψας ἀπῄτει σῖτον πολύν τινα καὶ οἶνον, ὅπως τῷ στρατῷ ἔχοι ἀπιὼν ἐφόδια. οἱ δὲ οὐδὲν ἔφασαν αὐτῷ δύνασθαι . . . ἐν τοσαύταις ἡμέραις λέγοντες ὅσον εἶχον ἐπὶ φρουρίῳ γε μικρῷ δεδαπανῆσθαι. ὁ δὲ πρὸς ὀργὴν τὰ πλεῖστα τῆς πόλεως ἐμπρήσας, ἀνδρῶν οὔσης ἐρήμου, εὐθὺς ἀπανίσταται. καὶ κατὰ τὴν δύσοδον καὶ στενὴν ὁδὸν τὴν ἐπὶ τὴν νέαν λεγομένην Ἤπειρον ἀπάγουσαν ἀναστήσας ἤλαυνε, καὶ προπέμπει τοὺς ἱππεῖς τὰ ἄκρα τῇ στρατιᾷ προκαταληψομένους, καὶ ἕως ἀνέλπιστοί εἰσι κατ᾽ ἐκείνων χωρήσειν, ἐξ ἐφόδου ἀθρόας ἐκκρούσοντας τὴν φυλακήν, ἥτις ἦν αὐτόθι. οἱ δὲ ὡς ἀνέβησαν, οἱ ἐπὶ τῷ τειχίῳ φρουροῦντες στρατιῶται τό τε πλῆθος ἰδόντες καὶ πρὸς τὸ αἰφνίδιον αὐτῶν καταπλαγέντες οὔτε ἐς ἀλκὴν ἔτι τραπέσθαι ὑπέμειναν οὔτε λογισμὸν ἔσχον ἀποζεῦξαι τὸ τείχισμα, ἀλλ᾽ ὥρμησαν φεύγειν, ὑπὸ τῆς ἐκπλήξεως ἀπερίοπτοι πάντων τῶν ἐς τὸν τότε καιρὸν ὠφελῆσαι δυναμένων. οἱ δὲ κατὰ πολλὴν ἐρημίαν προσιόντες ἐχώρουν, ἐπὶ τοῦ στόματος αὐτὸς ὁ Θευδέριχος, Σόας δὲ ὁ μέγιστος τῶν ὑπ᾽ αὐτὸν

στρατηγῶν [κατὰ] τὸ μέσον εἶχε, Θευδιμοῦνδος δὲ ὁ ἕτερος τῶν Βαλαμείρου παίδων ἐπὶ τῆς οὐραγίας. Θευδέριχος μὲν οὖν προκαταβὰς καὶ θαρσῶν, ὡς οὐδεὶς ἦν αὐτοῖς ἐφεπόμενος, τοῖς ἐπὶ τῶν ἁμαξῶν καὶ τοῖς ἄλλοις σκευοφόροις εἶπε προχωρεῖν· αὐτὸς δὲ ἠπείγετο φθάσαι προκαταλαβὼν ἣν ἂν δύναιτο πόλιν. καὶ πρὸς μὲν τὴν Λυχνιδὸν ἐπελθὼν ἀπεκρούσθη, ἐπὶ ὀχυροῦ κειμένην καὶ πηγῶν ἔνδον πλήρη, καὶ σίτου προενόντος. ἀναστὰς δὲ ἐκεῖθεν τήν τε Σκαμπίαν αἱρεῖ, τῶν οἰκητόρων αὐτὴν πάλαι ἐκλελοιπότων, καὶ ἐξ αὐτῆς ὁρμήσας Ἐπίδαμνον λαμβάνει. Ἀδαμάντιος δὲ ταῦτα πυθόμενος προπέμπει τῶν ἱππέων τῶν βασιλείων τινά, οὓς μαγιστριανοὺς καλοῦσι, μεμφόμενός τε αὐτῷ παρὰ τὴν ὑπόσχεσιν τῆς πρεσβείας ποιοῦντι καὶ κελεύων ἠρεμεῖν καὶ μήτε πλοῖα λαβεῖν μήτ᾽ ἄλλο τι τῶν παρόντων πλέον νεωτερίσαι, ἕως ἂν αὐτὸς ἔλθῃ· ἀποστεῖλαι δὲ καὶ ἄνδρα, ὅστις τὰ πιστὰ δώσει τῆς μετὰ τὴν πρεσβείαν αὖθις ἀναχωρήσεως καὶ τῆς ὅλης ἀδείας. ταῦτά τε πρὸς ἐκεῖνον ἐπέστελλε καὶ αὐτὸς ἄρας ἀπὸ Θεσσαλονίκης ἔρχεται ἐς Ἔδεσσαν, ὅπου ἦν Σαβινιανός, σὺν δὲ αὐτῷ καὶ Φιλόξενος. καὶ τάς τε δέλτους αὐτῷ παρέχουσι καὶ στρατηγὸν ἀποφαίνουσι, καὶ περὶ τῶν παρόντων εὖ διεβουλεύοντο. καὶ τὸ μὲν ἐπιχειρεῖν τοῖς βαρβάροις πορευομένοις οὐκ ἀσφαλὲς ἐδόκει, ὀλίγων μὲν συνόντων αὐτῷ Σαβινιανῷ μισθοφόρων οἰκείων, τῆς δὲ δημοσίας στρατιᾶς καὶ τῶν κοινῶν ταγμάτων τῶν μὲν διεσπαρμένων κατὰ πόλεις, τῶν δὲ μετὰ τοῦ στρατηγοῦ Ὀνούλφου ἀκολουθούντων. ἐδόκει δὲ πέμπειν ἁπανταχοῦ προστάγματα συγκαλοῦντα τοὺς στρατιώτας καὶ τὸν στρατηγὸν δηλοῦντα προπέμπειν τὸν πρεσβευτήν. ἤδη δὲ ὁρμωμένοις ὁ

παρὰ τοῦ Ἀδαμαντίου προαπεσταλμένος ἱππεὺς ἀπαντᾷ, τὸν τῶν βαρβάρων ἔχων ἱερέα, ὃν οἱ Χριστιανοὶ καλοῦσι πρεσβύτερον, ὡς πίστιν τῆς ἀδείας αὐτῷ ἐπιθήσοντα. ἔχοντες οὖν αὐτὸν σὺν αὐτοῖς ἠπείγοντο, καὶ ἀφικνοῦνται ἐς Λυχνιδόν. τῶν δὲ ἐκ τῆς πόλεως τῶν ἐν ταῖς ἀξίαις, παλαιόπλουτός τε γὰρ αὕτη καὶ εὐδαίμων ἡ πόλις, καὶ τῶν ἄλλων ἀπαντησάντων, ἐσέρχονται ἐνταῦθα. καὶ ἀποστέλλει πάλιν Ἀδαμάντιος ἐς Ἐπίδαμνον, κελεύων ἢ αὐτὸν τὸν Θευδέριχον ἔς τι τῶν περὶ Λυχνιδὸν χωρίων ἀπαντῆσαι μετ' ὀλίγων διαλεξόμενον αὐτῷ περὶ ὧν ἀπέσταλτο, ἤ, εἰ βούλοιτο, αὐτὸν ἐλθεῖν ἐς Ἐπίδαμνον, πέμψαι ὁμήρους ἐς Λυχνιδὸν Σόαν τε τὸν αὐτοῦ στρατηγὸν καὶ Δαγίσθεον, φυλαχθησομένους ἕως ἂν αὐτὸς ἐπανέλθῃ. ὁ δὲ πέμπει μὲν τούτους, ἐκέλευσε δὲ αὐτοὺς περιμεῖναι ἐν Σκαμπίᾳ καὶ προαποστεῖλαι ἄνδρα, ὃς τὸν Σαβινιανὸν ὁρκώσει ἦ μὴν ἐπανιόντος σῴου τοῦ Ἀδαμαντίου καὶ αὐτὸν τοὺς ὁμήρους ἀπαθεῖς ἀποπέμψαι. ὁ δὲ Σαβινιανὸς οὐκ ἂν ἔφη ὀμεῖσθαι· οὐδὲ γὰρ ἐν τῷ πρόσθεν χρόνῳ ὀμωμοκέναι ἐπ' οὐδενὶ πράγματι, καὶ τὸ πάλαι αὐτῷ δόξαν οὐκ ἂν νῦν καταλύσειν. καὶ τοῦ Ἀδαμαντίου λέγοντος ὡς ἀνάγκη συγχωρῆσαι τῷ καιρῷ ἢ ἄπρακτον εἶναι τὴν πρεσβείαν· οὐ γὰρ αὐτὸν ἀπελθεῖν μή τι καὶ ἐνέχυρον τοῦ σώματος λαβόντα· οὐδὲν μᾶλλον ἐπείσθη, ἀλλ' ἐκεῖνον μὲν ἔφη εἰδέναι τὸ ἑαυτῷ πρακτέον, αὐτὸν δὲ οὐδὲν ποιήσειν παρὰ τὸν αὐτοῦ νόμον. ἐνταῦθα Ἀδαμάντιος καταστὰς ἐς ἄπορον, λαβὼν στρατιώτας διακοσίους, δι' ὄχθων τε ἀβάτων καὶ ὁδοῦ ἀδήλου μὲν τοῖς πολλοῖς, στενῆς δὲ καὶ ἀτριβοῦς καὶ τότε πρῶτον ἵππους, ὡς ἐλέγετο, δεξαμένης, ἀφ' ἑσπέρας ὁρμήσας καὶ κύκλῳ περιελθὼν

ἔρχεται ἐς φρούριον Ἐπιδάμνου πλησίον ἐπὶ λόφου ὑψηλοῦ κείμενον καὶ ἄλλως ἄμαχον, ᾧ φάραγξ ὑπέκειτο βαθεῖα καὶ παρὰ τὴν φάραγγα ποταμὸς βαθὺς ἔρρει. ἐνταῦθα μεταπέμπεται τὸν Θευδέριχον. καὶ ὁ μὲν ὑπακούσας ἔρχεται, καὶ τὴν ἄλλην στρατιὰν πόρρω καταστήσας σὺν ὀλίγοις ἱππεῦσι πρὸς τὸν ποταμὸν ἀφικνεῖται. Ἀδαμάντιος δὲ κύκλῳ περὶ τὸν λόφον τάξας στρατιώτας, ὅπως μὴ κύκλωσις παρ' ἐκείνου γένηται, ὑποκαταβὰς ἐς πέτραν, ἀφ' ἧς ἦν ἀκουστόν, καὶ κελεύσας κἀκείνῳ τοὺς ἄλλους ἀποπέμψαι, μόνος διελέγετο μόνῳ. καὶ καταστὰς ὁ Θευδέριχος κατηγόρει Ῥωμαίων, ὡς ἐδόκει, δίκαια, λέγων ὅτι "ἐγὼ μὲν ἔξω τῆς ὅλης Θρᾴκης διατρίβειν ᾑρούμην, πόρρω πρὸς τὴν Σκυθίαν, ὅπου μένων οὔτε ἐνοχλεῖν ἐνόμιζον οὐδένα, ἑτοίμως δὲ βασιλεῖ ὑπακούσεσθαι ἐντεῦθεν ἐς ὅ,τι προστάξειεν. ὑμεῖς δὲ καλέσαντες ὡς ἐπὶ τὸν πόλεμον τὸν πρὸς Θευδέριχον, πρῶτον μὲν ὑπέσχεσθε τὸν τῆς Θρᾴκης στρατηγὸν μετὰ τῆς δυνάμεως εὐθύς μοι παρέσεσθαι, ὃς οὐδαμοῦ ἐφάνη, ἔπειτα καὶ Κλαύδιον τὸν τοῦ Γοτθικοῦ ταμίαν σὺν τῷ ξενικῷ ἥξειν, ὃν οὐδὲ αὐτὸν εἶδον, τρίτον καὶ ἡγεμόνας ὁδῶν μοι δεδώκατε, οἳ τὰς εὐπορωτέρας τῶν ὁδῶν ἐάσαντες τὰς ἐς τοὺς πολεμίους φερούσας ἀπήγαγον δι' ὀρθίας ἀτραποῦ καὶ κρημνῶν ἀμφιρρόπων, ἐν οἷς παρὰ μικρὸν ἦλθον, σὺν ἱππεῦσί τε ἰών, ὡς εἰκός, καὶ ἁμάξαις καὶ στρατοπέδων κατασκευῇ, ἐπιθεμένων ἡμῖν ἄφνω τῶν πολεμίων, ἅμα τῷ ἐμῷ πλήθει παντὶ ἀπολέσθαι καθάπαξ. ἐνταῦθα ἀναγκαίαν ἐβιάσθην σύμβασιν πρὸς αὐτοὺς ποιήσασθαι· οἷς χρὴ πολλὴν χάριν ἔχειν, ὅτι ὑφ' ὑμῶν προδοθέντα δυνάμενοι καὶ διαφθεῖραι διέσωσάν γε ὅμως." Ἀδαμάντιος δὲ τῶν τε τοῦ

βασιλέως τιμῶν αὐτὸν ἀνεμίμνησκε καὶ ὅτι πατρίκιον καὶ στρατηγὸν ποιήσας, ἃ τοῖς πλεῖστα καμοῦσι παρὰ Ῥωμαίοις γέρα ἐστί, καὶ τῶν ἄλλων δωρεῶν καὶ πλούτου ἐνέπλησεν, ἀνθ' ὧν ἔδει μηδέποτε πρὸς αὐτὸν ἄλλως πως ἢ πρὸς πατέρα φρονεῖν τε καὶ διατίθεσθαι. καὶ τὰ τῶν παρ' αὐτοῦ ἐγκλήσεων, ἦν γὰρ οἶμαι ἀληθῆ, διακρούεσθαι ἐπειρᾶτο. καὶ ὅτι οὐκ ἀνεκτὰ ποιήσειεν ἐν πρεσβείας ἐλπίδι καταλαβὼν τὰ Ῥωμαίων, οἳ καὶ ἀποκεκλειμένον ἐν Θρᾴκῃ ἔχοντες ὄρεσι καὶ ποταμοῖς καὶ περιβολῇ στρατοπέδων, ὅμως συνεχώρησαν ἑκόντες διεξελθεῖν· οὐ γὰρ ἂν μὴ βουλομένων αὐτὸν ἐκεῖθεν κινηθῆναι, οὐδὲ εἰ δεκαπλασίαν εἶχε δύναμιν τῆς παρούσης. νῦν τε συμβουλεύειν αὐτῷ μετριώτερον ἑαυτὸν τῷ βασιλεῖ παρέχειν· οὐ γὰρ ἂν δυνηθῆναι τὴν Ῥωμαίων ἐς τέλος ὑπερβάλλειν χεῖρα πανταχόθεν ἐφεστηκότων. δεῖν οὖν, εἰ αὐτῷ πείθοιτο, ἐκλιπεῖν μὲν τὴν Ἤπειρον καὶ τὰς αὐτόθι πόλεις· οὐδενὶ γὰρ εἶναι φορητὸν πόλεις οὕτω μεγάλας, τῶν οἰκητόρων ἐκβληθέντων, ὑπ' αὐτοῦ κατέχεσθαι· ἐλθεῖν δὲ ἐς τὴν Δαρδανίαν, ἐν ᾗ χώραν εἶναι πολλὴν παρὰ τὰ οἰκούμενα, καλὴν μὲν καὶ εὔγειον, ἐνδεᾶ δὲ οἰκητόρων, ἣν δύναται γεωργῶν ἐν πᾶσιν ἀφθόνοις αὐτοῦ τὴν στρατιὰν διάγειν. ὁ δὲ Θευδέριχος αὐτὸς μὲν ἐπώμνυε ταῦτα βούλεσθαι, οὐ μέντοι ἀνέξεσθαι αὐτοῦ τὸ πλῆθος, πολλὰ μὲν προτεταλαιπωρηκός, μόλις δὲ ἀναπαύσεως νῦν ἐπιλαβόμενον· οὓς οὐ δύνασθαι μήπω ἀναπνεύσαντας ἄγειν μακρὰν οὕτω πορείαν. ἀλλὰ νῦν μὲν αὐτοὺς ἐᾶν αὐτοῦ ἐπιχειμάσαι, μήτε πρόσω χωροῦντας [*ὧν* add. Nieb.] *ἔχουσι πόλεων μήτε ἐπιφθείροντας* (*μήτε τι φθ.* N.)· *συνθέμενον δὲ περὶ πάντων ἐπὶ τούτοις ἅμα τῷ ἦρι πέμψαι τὸν ἄξοντα ἐπὶ τὴν Δαρδανίαν*

ἔνβως (ἐπιεικῶς Nieb., ἑτοίμως Bekk., ἀσμένως Müll.) ἐπακολουθήσοντας. ἔλεγε δὲ ὡς ἕτοιμος εἴη τὴν αὑτοῦ κατασκευὴν καὶ τὸ ἄμαχον πλῆθος καταθέμενος ἐν πόλει ᾗ βούλοιτο βασιλεύς, καὶ ὁμήρους παρασχὼν τῆς ἁπάσης πίστεως τήν τε μητέρα καὶ ἀδελφήν, μετὰ ἑξακισχιλίων τῶν μάλιστα μαχίμων ἐλθεῖν ὡς τάχιστα ἐς Θρᾴκην· καὶ ὑπισχνεῖσθαι σὺν τούτοις καὶ τοῖς Ἰλλυριοῖς στρατιώταις καὶ ἄλλοις, ὁπόσους ἂν βασιλεὺς ἀποστείλῃ, τοὺς ἐν τῇ Θρᾴκῃ Γότθους ἀναλώσειν ἅπαντας, ἐφ᾽ ᾧτε, εἰ τοῦτο ποιήσοι, αὐτόν τε ἀντὶ Θευδερίχου στρατηγὸν γενέσθαι καὶ ἐσδεχθῆναι ἐς τὴν πόλιν τὸν Ῥωμαϊκὸν πολιτεύσοντα τρόπον· ἕτοιμος δέ, εἰ προστάξειε βασιλεύς, καὶ ἐς Δαλματίαν ἀπελθεῖν, ὡς Νέπωτα κατάξων. Ἀδαμάντιος δὲ οὐκ ἔφη κύριος εἶναι οὐδὲν αὐτῷ συνθέσθαι μένοντι ἐν τῇ χώρᾳ, ἀλλὰ δεῖν βασιλέα πρῶτον περὶ τούτων πείθεσθαι. ἀνοίσειν οὖν ἐκείνῳ, καὶ αὐτὸς ἐπιμενεῖν, ἕως τὴν τοῦ κρατοῦντος διαπύθηται γνώμην. ἐπὶ τούτοις διελύθησαν ἀπ᾽ ἀλλήλων. ἐν ὅσῳ δὲ Ἀδαμάντιος ἀμφὶ ταῦτα ἦν, συνεληλύθει μὲν πολλὰ τῶν ταγμάτων ἐς τὴν Λυχνιδὸν κατὰ τὴν τοῦ στρατηγοῦ ἀγγελίαν, λέγει δέ τις τῷ Σαβινιανῷ ὡς οἱ βάρβαροι καταφρονήσαντες σχολαίτερον κατίασιν ἀπὸ τῆς Κανδαβείας, οἵ τε σκευοφόροι αὐτῶν καὶ τῶν ἁμαξῶν αἱ πλείους καὶ οἱ ἐπὶ τῆς οὐραγίας, ἐν οἷς καὶ Θευδιμοῦνδος ἦν ὁ τοῦ Θευδερίχου ἀδελφὸς καὶ ἡ μήτηρ ἡ τούτων, καὶ ὅτι ἔστιν ἐλπὶς τῶν πλειόνων κρατήσειν. ὁ δὲ τό τε ἱππικὸν μεθ᾽ ἑαυτοῦ συντάξας καὶ πεζοὺς οὐκ ὀλίγους κύκλῳ διὰ τῶν ὀρῶν περιπέμψας καὶ προειπὼν ὁπότε δεῖ καὶ πόθεν ἐκφανῆναι, δειπνήσας καὶ ἀναλαβὼν τὸ στράτευμα ἀφ᾽ ἑσπέρας ἐχώρει. καὶ ἅμα τῇ ἡμέρᾳ

αὐτοῖς ἐπιτίθεται ἤδη πορευομένοις. καὶ ὁ μὲν Θευδιμοῦνδος καὶ ἡ μήτηρ αὐτοῦ, ὡς εἶδον τὴν ἔφοδον, ταχὺ διεκπεσόντες ὑπέφυγον ἐς τὸ πεδίον, καὶ τὴν γέφυραν, καθ' ἣν ὑπερέβησαν, εὐθέως ἀνελόντες, ᾗ φάραγγι βαθείᾳ ἐπέζευκτο, μέσης οὔσης τῆς ὁδοῦ, τὴν δίωξιν ἐκείνοις ἐπὶ τοὺς καταβάντας ἐποίησαν ἄπορον, καὶ μέντοι καὶ τοῖς ἑαυτῶν ἀδύνατον τὴν φυγήν, ὥστε πρὸς ἀπόνοιαν ὀλίγοι ὄντες ὁμόσε τοῖς ἱππεῦσιν ἐχώρουν. ὡς δὲ ὑπὲρ κεφαλῆς οἱ πεζοὶ ἐφάνησαν κατὰ τὸ συγκείμενον, οὕτω δὴ ἐτράποντο, καὶ οἱ μὲν ἐς τοὺς ἱππεῖς, οἱ δὲ ἐς τοὺς ὁπλίτας ἐμπίπτοντες ἔθνησκον. καὶ τὰς ἁμάξας αὐτῶν λαβὼν Σαβινιανός, οὔσας ὡς δισχιλίας, αἰχμαλώτους τε πλείους ἢ πεντακισχιλίους καὶ λείαν οὐκ ὀλίγην, τινὰς δὲ τῶν ἁμαξῶν καὶ κατακαύσας ἐν τῷ ὄρει, ἃς ἦν ἔργον ἑλκύσαι διὰ κρημνῶν τοσούτων, ἐς τὴν Λυχνιδὸν ἀφικνεῖται. καὶ εὑρίσκει Ἀδαμάντιον ἐκ τῆς πρὸς Θευδέριχον συνουσίας ἐπανελθόντα· οὐ γάρ πω Θευδέριχος ἐπέπυστο οὐδὲν τῶν ὑπὸ Σαβινιανοῦ ἐν τῷ ὄρει πραχθέντων. τοὺς μὲν οὖν αἰχμαλώτους τοὺς [μὲν] εὖ γεγονότας ἐν φυλακῇ ποιεῖται, τοὺς δὲ ἄλλους μετὰ τῆς λείας διέδωκε τοῖς στρατιώταις. ἁμάξας μέντοι πολλὰς κελεύσας ταῖς πόλεσι πρὸς τὰς τοῦ στρατοπέδου κατασκευάσαι χρείας, ὡς ἐλήφθησαν αὗται, ἀπεῖπε ταῖς πόλεσι μηδὲν ἐνοχλεῖσθαι, ὡς τὰς ἀρκούσας ἔχων. μετὰ δὲ ταῦτα γράφει μὲν Ἀδαμάντιος τῷ βασιλεῖ, ὡς ὑπέσχετο, τὰ πρὸς Θευδέριχον αὐτῷ διειλεγμένα, γράφει δὲ καὶ Σαβινιανὸς καὶ Ἰωάννης ὁ ὕπαρχος τὰ γεγενημένα, ἐπὶ μεῖζον ὀγκοῦντες καὶ λέγοντες μὴ χρῆναί τι τῷ βαρβάρῳ συνθέσθαι, ὡς ἐλπίδος οὔσης ἢ κατὰ κράτος αὐτὸν ἐξελάσειν τῆς

χώρας ἢ αὐτοῦ μένοντα κατατρίψειν. ταῦτα δεξάμενος βασιλεὺς καὶ νομίσας πόλεμον εἰρήνης αἰσχρᾶς εἶναι βελτίω, πέμψας ἀνεκάλεσε τὸν πρεσβευτήν, κελεύσας μηδὲν ἔτι πρὸς ἐκεῖνον συνθέσθαι, ἀλλ' εἰπεῖν Σαβινιανῷ καὶ Γέντονι, Γότθῳ μὲν ὄντι ἀνδρί, γυναῖκα δὲ Ῥωμαίων τῶν περὶ τὴν Ἤπειρον γεγαμηκότι καὶ δύναμιν ἔχοντι, ἔχεσθαι τοῦ πολέμου πάσῃ χειρί, ὡς οὐδὲν βασιλέως πρὸς ἐκείνους συνθησομένου. καὶ συγκαλέσας τοὺς στρατιώτας ὁ Ἀδαμάντιος ἐπῄνεσεν αὐτοὺς τῆς προθυμίας, καὶ ἐκέλευσε γενναίως, ὥσπερ πάτριον αὐτοῖς, ἔχεσθαι τῶν πραγμάτων, καὶ τὸ ἐκ βασιλέως ἐπανέγνω πρόσταγμα. ταῖς τε ἐλπίσιν αὐτοὺς μετεώρους ποιήσας, ὡς βασιλέως ἀεὶ πᾶσι τὴν προθυμίαν οὐκ ἄκαρπον ἐῶντος, εὐφημίας ἔτυχε καὶ μετὰ τιμῆς παρεπέμφθη. καὶ ὁ μὲν ἀπηλλάγη μηδὲν πλέον ποιήσας. [Exc. de legat. p. 78—86 Par., 244—258 Niebuhr.]

Ὅτι ἐπὶ Ζήνωνος τοῦ βασιλέως στάσεως γενομένης παρὰ Μαρκιανοῦ καὶ ἄλλων τινῶν, Θευδέριχος ὁ Τριαρίου μαθὼν τὰ γεγονότα, καὶ ὑπολαβὼν καιρὸν νῦν αὐτῷ παρεστάναι τῇ πόλει ἐπιθέσθαι καὶ τῷ βασιλεῖ αὐτῷ, πᾶν εὐθὺς ἀναστήσας τὸ βαρβαρικὸν ἧκε, δῆθεν μὲν ὡς βουλόμενος αὐτῷ τε τῷ βασιλεῖ καὶ τῇ πόλει ἀμῦναι, πρόδηλος δὲ ὢν πᾶσιν ἐφ' ὅτῳ ἠπείγετο. βασιλεὺς δὲ ἀκούσας ἱππέα ἐξέπεμψε καὶ βασίλεια γράμματα, τῆς μὲν προθυμίας αὐτὸν ἐπαινῶν, κελεύων δὲ ἀπελθεῖν, ὡς οὐκέτι οὔσης χρείας, μὴ μόλις καταστᾶσαν ἐκ τοιούτου σάλου τὴν πόλιν αὖθις ἐς ὑπόνοιαν ἐμβαλόντες ἑτέραν τὸ θορυβεῖσθαι φιλοῦν ἐς χεῖρω καὶ μείζονα ἐκταράξωσι στάσιν. ὁ δὲ αὐτὸς μὲν ἔφη τῷ βασιλεῖ πείθεσθαι, τὸ δὲ πλῆθος οὐκέτι δύνασθαι ἀναστρέφειν, τοσοῦτόν

τε συλλεγὲν καὶ μέρος τι οὐ βραχὺ διαναπαύων. ὑπέρ τε γὰρ τειχῶν οὐδένα ἐνόμιζεν αὐτῷ ἀντιστήσεσθαι, μήτε ἐπάλξεως μηδεμιᾶς μήτε πύργου ἑστῶτος, καὶ ἐσελθόντι πάντα τὸν δῆμον προσέσεσθαι τῇ τῶν Ἰσαύρων ἀπεχθείᾳ. ἃ δὴ καὶ φοβούμενος Ζήνων ἐκπέμπει Πελάγιον χρήματα ἔχοντα πολλά, τὰ μὲν αὐτῷ Θευδερίχῳ, τὰ δὲ καὶ τῷ Γοτθικῷ τῷ παντὶ διδόασι (διδόναι Nieb.), καὶ ἄλλας ὑποσχέσεις δωρεῶν οὐκ ὀλίγας. ἐλθὼν δὲ Πελάγιος καὶ τὰ μὲν ἀπειλήσας, τὰ δὲ ὑποσχόμενος, τὰ δὲ καὶ τοῖς χρήμασιν οὐκ ὀλίγοις γε οὖσι τὸ φύσει φιλάργυρον τοῦ τρόπου μετελθών, διαπέμπει. καὶ ἔδοξε δὴ τοῦτο τοῦ φόβου τοῦ πλείονος ἀναφέρειν τὴν πόλιν· οὐδὲν γὰρ ἦν ἐλπίσαι ἐσιόντος ἢ πόλεμόν τε ἔνδον καὶ τοῦ παντὸς ἔμπρησιν. οὐδὲ γὰρ οἱ Ἴσαυροι ἁπλῶς ἀναχωρῆσαι βιαζόμενοι ἐπενόουν, ἀλλὰ κοντοὺς ὑψηλοὺς προπαρασκευάσαντες, λίνον ἐπ᾽ ἄκροις αὐτοῖς προσδήσαντες καὶ θεῖον, πολλοὺς εἶχον ἑτοίμους, εἴ ποτε βιασθεῖεν, ἅπασαν ὑφάψαι τὴν πόλιν. καὶ ὁ μὲν Θευδέριχος οὕτως ἀπεχώρησε. τοὺς δὲ περὶ Προκόπιον καὶ Βούσαλβον πολλάκις ἀποστέλλων παρὰ Θευδερίχου ἐξῄτει, ἔνδειγμα τῆς εὐνοίας καὶ εὐπειθείας αὐτὸν τοῦτο ἀξιῶν παρασχέσθαι. ὁ δὲ πάντα μὲν ἔλεγε πείθεσθαι τῷ βασιλεῖ, μὴ μέντοι ὅσιον Γότθοις, ὥσπερ οὐδὲ ἄλλοις ἀνθρώποις, ἱκέτας καὶ σωτηρίας δεομένους ἀνθρώπους τοῖς λαβεῖν βουλομένοις ἐκδιδόναι προχείρως. ἐὰν οὖν αὐτοὺς ἠξίου, μηδενὶ πλὴν ἢ ὅσα ζῆν ὀχληροὺς ἐσομένους. καὶ οἱ μὲν οὕτω βραχύ τι γῄδιον νεμόμενοι παρὰ Θευδερίχῳ διῆγον. [Exc. de legat. p. 86—87 Par., 258—260 Niebuhr.]

[Fragmenta 18 et 19 in Exc. de legat. Rom. primo

et secundo loco legebantur, quum loco postremo essent collocanda. Hoc enim flagitat tum rerum ordo chronologicus tum series narrationis, qualem e Malcho enotavit Photius. Igitur ab initio Excerptorum ad finem haec revocavimus. De rebus adi Tillemontium VI, p. 493 seqq. MÜLLERUS.]

Παμπρέπιος. Οὗτος μέγα παρὰ Ζήνωνι ἐδυ- 20
νήθη· γένος μὲν ὢν Θηβαῖος τῶν κατὰ τὴν Αἴγυπτον, φύσει δὲ πρὸς ἅπαντα δεξιᾷ χρησάμενος, ἔρχεται ἐς Ἀθήνας, καὶ παρὰ τῆς πόλεως γραμματικὸς αἱρεθεὶς συχνά τε ἐπαίδευσεν ἔτη καὶ ἐπαιδεύθη ὁμοῦ ὅσα ἦν σοφώτερα ὑπὸ τῷ μεγάλῳ Πρόκλῳ. διαβολῆς δὲ αὐτῷ πρὸς Θεαγένην τινὰ τῶν ἐκεῖ γενομένων συστάσης, ὑβρισθεὶς ὑπ' ἐκείνου καὶ μείζονος ἢ ἐχρῆν διδάσκαλον ὑπ' αὐτοῦ πειραθεὶς σκευωρίας, ἦλθεν ἐς Βυζάντιον, τὰ μὲν ἄλλα ἀγαθὸς καὶ χρηστὸς φαινόμενος, ὡς δὲ ἐν Χριστιανοὺς πάντας ἐχούσῃ πόλει τὸ Ἑλληνικὸν αὐτοῦ τῆς θρησκείας οὐκ ἔχον ὑπόκρισιν, ἀλλὰ μετὰ παρρησίας προδήλως δεικνύμενον, ἐς τὴν τοῦ καὶ ἕτερα τῆς ἀρρήτου σοφίας εἰδέναι ὑπόνοιαν ἦγε. συσταθέντα δὲ αὐτὸν ὁ Ἴλλους ἡδέως δέχεται, καί τι καὶ δημοσίᾳ ποίημα ἀναγνόντα λαμπρῶς τε ἐτίμησε καὶ σύνταξιν ἔδωκε, τὴν μὲν αὐτὸς ἰδίᾳ, τὴν δὲ ὡς διδασκάλῳ καὶ ἐκ τοῦ δημοσίου. καὶ ἀπελθόντος δὲ αὐτοῦ ἐπὶ τὴν Ἰσαυρίαν, οἱ βασκαίνοντες αὐτῷ συνθέντες διαβολήν, τήν τε ἐκ τῆς θρησκείας καὶ ὅτι μαγγανεύοι καὶ μαντεύοιτο τῷ Ἴλλῳ κατὰ τοῦ βασιλέως, πείθουσι τὸν Ζήνωνα καὶ τὴν Βηρίναν τότε μέγιστα δυναμένην τῆς πόλεως ἐκπέμψαι. καὶ ὁ μὲν ἐς Πέργαμον ἔρχεται τῆς Μυσίας· Ἴλλους δὲ πυθόμενος κατὰ τὴν αὐτοῦ πρόφασιν ἐληλάσθαι τὸν ἄν-

δρα, πέμψας ἀναλαμβάνει αὐτὸν ἐς Ἰσαυρίαν, καὶ σύμβουλόν τε αὐτὸν καὶ σύνοικον ποιεῖται, καί, ἦν γὰρ πολιτικῆς συνέσεως ἔμπλεως, τὰ τῆς ἀρχῆς αὐτῷ, πρὸς ἃ μὴ σχολὴν ἦγε, διοικεῖν ἐπέτρεπεν, ἐλθών τε ἐς Βυζάντιον συμπαρέλαβεν αὐτόν. καὶ ὅτε ἐγένετο ἡ Μαρκιανοῦ σύστασις, ἀποροῦντα τὸν Ἴλλουν αὐτὸς ἐπεθάρσυνε, καὶ τοσοῦτόν γε εἰπών, ὅτι "τὰ τῆς προνοίας μεθ' ἡμῶν ἐστι", παρέσχεν ὑποψίαν τοῖς τότε ἀκούσασιν ὡς ἔκ τινος ἀδήλου ταῦτα θειάζοι προγνώσεως. καὶ ἐκβάντος ὥσπερ δὴ καὶ ἐξέβη τοῦ τέλους, πρὸς τὴν τύχην τὸν ἐκείνου λόγον συμβάλλοντες αὐτὸν πάντων αἴτιον, οἷα φιλεῖ ὅμιλος, μόνον ὑπελάμβανον τῶν παραδόξως αὐτοῖς ἀποβαίνειν δοκούντων. οὕτω μὲν οἱ σώφρονες περὶ αὐτοῦ εἴκαζον. εἰ δέ τι καὶ ἄλλο ἦν, οὔτε ἰσχυρῶς ἀνελεῖν ἔχω οὔτε πείθεσθαι· ἀλλ' ὁμοίως καὶ μέγα καὶ ἐλάχιστον αὐτῷ πρώτῳ ἀνεκοινοῦτο. καὶ τότε τοίνυν λαβὼν αὐτὸν ἐς Νίκαιαν ἧκε χειμάσων, εἴτε τὴν ἐκ τοῦ δήμου δυσχέρειαν ἐκκλίνων εἴτε ἐπὶ ταῖς σφαγαῖς τὸν ἔχοντα τὴν πόλιν ἐκτρέπεσθαι δαίμονα πρὸς ὀλίγον ἐθέλων. [Suidas sine nomine. Sed idem eodem ex loco v. *σύνταξις*, cum nomine *καὶ Μάλχος· "τῶν συντάξεων στερηθέντες πολλάκις οἱ στρατιῶται καὶ παρακοπτόμενοι τῆς τροφῆς τῆς συνήθους ἐς ἀπόνοιαν ἦλθον." καὶ αὖθις Μάλχος· "ὁ δὲ τὸν Παμπρέπιον λαμπρῶς τε ἐτίμησε καὶ σύνταξιν ἔδωκε."* Anonymi locum apud Suidam v. *ἀμφίβολοι, Ὁ δὲ Παμπρέπιος τούτοις ἀμφίβολος ὀφθεὶς βραχὺ παρεωρᾶτο*, Malchi aut Damascii putat Bernhardy.]

21 [Suidas: *Λογγῖνος. Οὗτος ὁ Λογγῖνος καὶ Κόνων ἀδελφοὶ Ζήνωνος τοῦ βασιλέως, οἳ παραδυναστεύον-*

τες ἀθέσμως οἷον ἐν πάσαις ταῖς πόλεσιν ἐπὶ κτήμασιν ἀλλοτρίοις ὅρους ἐτίθεσαν, καὶ τοῖς γε τὰ ἔσχατα πλημμελοῦσιν ἔνεμον τὰς βοηθείας ἐπὶ μισθῷ. Λογγῖνος δὲ καὶ πάσης ἀκρασίας ἦν πλήρης, ἀεὶ μὲν μεθύουσι συνδιάγων ἀνθρώποις, ἀεὶ δὲ πορνοβοσκοὺς ἔνδον ἔχων ἀφθόνους, οἳ γυναῖκας μὲν αὐτῷ τὰς τῶν πρώτων ἀρχόντων ἐπηγγέλλοντο ἄξειν· οἱ δὲ πόρνας ἄγοντες ἀπὸ κόσμου θαυμαστοῦ καὶ δίφρων ἐπισήμων ἐξηπάτουν, ὡς δῆθεν αὐτὰς ἐκείνας κομίσαντες. οὗτος δὲ ὁ Λογγῖνος καὶ σύστημ' ἀσκητριῶν ἔλυσε τρόπῳ τοιῷδε. ἐπὶ δείπνῳ ἐνδιαιτώμενος ταῖς κληιζομέναις Πηγαῖς ἠγγέλθη τούτῳ παρὰ τῶν προαγωγευόντων ὡς εὐπρεπεῖς λίαν εἰσὶν αἱ γυναῖκες. καὶ ἔπεμψεν αὐταῖς ὄσπρια καὶ ξηροὺς ἄρτους, εἶτα χιτῶνας ἄλλα τέ τινα, ὡς προνοῶν αὐτῶν δῆθεν, ἐξ ἐπιστροφῆς τῶν φόβων· δεινοὶ γὰρ οἱ γυναικοϊέρακες εὐπρεπεῖς αἰτίας ἐφευρίσκειν εἰς ἄγραν τῶν θηλειῶν. καὶ ἀνιὼν ἐν τῷ σεμνείῳ πολλὰς τούτων πειθανάγκῃ κατήγαγεν. οὕτω γὰρ ἦν λάγνος ὡς καὶ ἐλευθέραις καὶ ἀρχόντων γυναιξὶ καὶ παρθένοις ἀωρίᾳ ἐπιπίπτειν καὶ πάντα δρᾶν ἀνέδην. ἐν προόδῳ δὲ σφαίρας ἀργυρᾶς καὶ περικάρπια ἐρρίπτει. καὶ ἄλλων δὲ πολλῶν κακῶν αἴτιος ἐγεγόνει ὁ Λογγῖνος οὗτος. [Malcho tribuit Bernhardy, qui v. 11 pro ἐπισύχνως vel ἐπιδείπνως restiuit ἐπὶ δείπνῳ. v. 15—17 δεινοὶ — θηλειῶν citans Suidas in γυναικοϊέρακες habet εὑρίσκειν ἐς. De forma ἐξηπάτουν v. 9 v. Thes. Stephani. Hic alii —ων.]

Idem: Ἐπετίμα, ἐπηύξει τὴν τιμήν. "οἱ δὲ κερ- 22
δαίνειν οἰόμενοι ἐπετίμων ὡς λιμώττοντι τὸν σῖτον.
ὁ δὲ οὐδὲν ἧττον ἠγόραζε." Μάλχος φησίν.

Idem: *Λέπρα, εἶδος νόσου. Μάλχος, "Λέπρα δὲ ἐπήνθει τῷ προσώπῳ αὐτοῦ."*

Apud eundem in gll. duabus vv. *ἁμαξιτὸν* et *ὑπολαβὼν* cum exemplis Xenophonteis ex Anabasi interpositum nomen Malchi sive per errorem sive quod Malchi verba exciderunt.

PETRI FRAGMENTA.

ΙΣΤΟΡΙΑΙ.

Θωπεύω, αἰτιατικῇ. Πέτρου εἰς τὰ περὶ Ἀντω- 1
νίου· "πολλὰ οὖν θωπεύσας αὐτόν." [Lex. in Bekkeri Anecd. p. 149, 4.]

Ἀπεῖπε, δοτικῇ. Πέτρου εἰς τὰ τῆς μοναρχίας Καίσαρος· "ἀπεῖπε τοῖς βουλευταῖς ἐκδημεῖν ἔξω Ἰταλίας." [Ibid. p. 130, 10. Exscripsit Petrus Dionem Cassium 52, 42: *Τό τε τῶν εὐπατριδῶν γένος συνεπλήθυσε* (Caesar imp.), *τῆς βουλῆς οἱ δῆθεν ἐπιτρεψάσης τοῦτο ποιῆσαι, ἐπειδὴ τὸ πλεῖστόν σφων ἀπωλώλει. ... ταῦτά τε οὖν ἔπραξε καὶ προσαπεῖπε πᾶσι τοῖς βουλεύουσι μὴ ἐκδημεῖν ἔξω τῆς Ἰταλίας, ἂν μὴ αὐτός τινι κελεύσῃ.*]

Ὅτι οἱ Πάρθοι πρὸς Τιβέριον ἐπρεσβεύοντο βα- 2
σιλέα σφίσιν ἐκ τῶν ὁμηρευόντων δοῦναι. καὶ δέδωκεν αὐτοῖς Φραάτην τὸν τοῦ Φραάτου υἱόν. ἐκείνου δὲ κατὰ τὴν ὁδὸν τελευτήσαντος, Τιριδάτην ἐκ τοῦ βασιλικοῦ γένους ἔπεμψε· καὶ ὅπως ῥᾷον τὴν βασιλείαν παραλάβοι, ἔγραψε Μιθριδάτῃ τῷ Ἰβήρων βασιλεῖ εἰς τὴν Ἀρμενίαν εἰσβαλεῖν, ἵνα ὁ Ἀρτάβανος τῷ υἱῷ βοηθῶν ἀπὸ τῆς οἰκείας ἀπάρῃ. καὶ εἰσελθὼν ὁ Τιριδάτης τὴν βασιλείαν κατέσχεν· οὐ μέντοι καὶ ἐπὶ πολὺ ἐβασίλευσεν· ὁ γὰρ Ἀρτάβανος Σκύθας

προσλαβὼν οὐ χαλεπῶς αὐτὸν ἐξήλασε. καὶ ταῦτα μὲν τὰ κατὰ Πάρθους. [Exc. de legat. p. 23 ed. Par., 121—122 Niebuhr. Haec quoque ad verbum transcripta ex Dione Cass. 58, 26: *Ἀποστάντες οὖν τινες αὐτοῦ ἐπρεσβεύσαντο πρὸς τὸν Τιβέριον, βασιλέα σφίσιν ἐκ τῶν ὁμηρευόντων αἰτοῦντες. καὶ αὐτοῖς τότε μὲν Φραάτην τὸν τοῦ Φραάτου, τελευτήσαντος δὲ ἐκείνου κατὰ τὴν ὁδὸν Τιριδάτην, ἐκ τοῦ βασιλικοῦ καὶ αὐτὸν γένους ὄντα, ἔπεμψε. καὶ ὅπως γε ὡς ῥᾷστα τὴν βασιλείαν παραλάβῃ, ἔγραψε Μιθριδάτῃ τῷ Ἴβηρι ἐς τὴν Ἀρμενίαν ἐσβαλεῖν, ἵν' ὁ Ἀρτάβανος τῷ υἱεῖ βοηθῶν ἀπὸ τῆς οἰκείας ἀπάρῃ. καὶ ἔσχεν οὕτως, οὐ μέντοι καὶ ἐπὶ πολὺ ὁ Τιριδάτης ἐβασίλευσεν· ὁ γὰρ Ἀρτάβανος Σκύθας προσλαβὼν οὐ χαλεπῶς αὐτὸν ἐξήλασε. τὰ μὲν οὖν τῶν Πάρθων οὕτως ἔσχε.* Unde correcta 15, *ἐπορεύοντο*, 18, *τῆς ὁδοῦ*, 22, *παρῇ*.]

3 *Ὅτι Μιθριδάτης ὁ τῶν Ἰβήρων βασιλεὺς ἐνεωτέρισε, καὶ παρεσκευάζετο εἰς τὸν κατὰ τῶν Ῥωμαίων πόλεμον. τῆς δὲ μητρὸς ἀντιλεγούσης καὶ φυγεῖν, ἐπειδὴ μὴ πείθειν αὐτὸν ἠδύνατο, βουληθείσης, βουλόμενος ἐπικαλύψαι τὸ σπουδαζόμενον, αὐτὸς μὲν παρεσκευάζετο, πέμπει δὲ Κότυν τὸν ἀδελφὸν εἰς πρεσβείαν, φιλίους λόγους τῷ Κλαυδίῳ κομίζοντα. ὁ δὲ παραπρεσβεύσας πάντα αὐτῷ κατεμήνυσε, καὶ βασιλεὺς Ἰβηρίας ἀντὶ Μιθριδάτου γίνεται.* [Exc. de legat. p. 23 Par., 122 Niebuhr. Haec quoque, ut fr. 1 et 2, 5, ex integriori Dione 60, 8 ducta ostendunt quae sunt in Exc. Vat. p. 208 (vol. 5, p. 191 Lips.), sed post exc. ex 60, 29, 3, demum posita.]

4 *Ὅτι Δεκέβαλος ὁ Δακῶν βασιλεὺς ἐπεκηρυκεύετο πρὸς Δομετιανόν, εἰρήνην ὑπισχνούμενος· ἐφ'*

οὗ ἔπεμψε Δομετιανὸς Φοῦσκον μετὰ πολλῆς δυνάμεως. ὅπερ μαθὼν ὁ Δεκέβαλος ἔπεμψε πρὸς αὐτὸν πρεσβείαν αὖθις ἐν χλευασμῷ, λέγων ὡς, εἰ ἕλοιτο ἕκαστος Ῥωμαίων δύο ὀβολοὺς Δεκεβάλῳ ἑκάστου ἔτους τελεῖν, εἰρήνην πρὸς αὐτὸν τίθεσθαι· εἰ δὲ μὴ τοῦτο ἕλοιτο, πολεμήσειν καὶ μεγάλα αὐτοῖς προστρίψεσθαι κακά. [Exc. de legat. p. 24 Par., 122—123 Niebuhr. Haec quoque, ut sequentia fr. 5, Dionis videntur.]

Ὅτι Δεκέβαλος πρὸς Τραιανὸν πρέσβεις ἔπεμψε 5 *πιλοφόρους· οὗτοι γάρ εἰσι παρ' αὐτοῖς οἱ τιμιώτεροι. πρότερον γὰρ κομήτας ἔπεμπεν, εὐτελεστέρους δοκοῦντας παρ' αὐτοῖς εἶναι. ἐκεῖνοι δὲ ἐλθόντες ἐπὶ τοῦ Τραιανοῦ ἔρριψαν καὶ* (*τε*, ut v. 30, Bekk.) *τὰ ὅπλα καὶ τὰς χεῖρας ὄπισθεν δήσαντες ἐν αἰχμαλώτων τάξει ἐδέοντο τοῦ Τραιανοῦ εἰς λόγους ἐλθεῖν Δεκεβάλῳ.*

Ὅτι πάλιν ὁ Δεκέβαλος πρεσβείαν ἔπεμψε πρὸς Τραιανόν, τῶν παρόντων ἀνακωχὴν κομιξόμενος (*κομισόμενος* Nieb.). *ὑπισχνεῖτο δὲ τά τε ὅπλα πάντα καὶ τὰ μηχανήματα παραδιδόναι τῷ Τραιανῷ καὶ τοὺς μηχανοποιοὺς τοὺς Ῥωμαίους τοὺς παρ' αὐτῷ ὄντας καὶ τοὺς αὐτομόλους, καὶ τὰ ἐρύματα πάντα ὅσα κατεσκεύασε καθαιρεῖν, παραχωρεῖν δὲ καὶ τῆς γῆς, ἣν ἐκράτησεν ὁ Τραιανός, καὶ τοὺς ἐχθροὺς αὐτοῦ καὶ τῶν Ῥωμαίων οἰκείους ἐχθροὺς νομίζειν, καὶ αὐτομόλους μὴ ὑποδέχεσθαι, μηδὲ στρατιώτην Ῥωμαίων ἔχειν ἐγγὺς ἑαυτοῦ. προσεδέξατο οὖν τὴν πρεσβείαν ὁ Τραιανὸς ἐπὶ ταύταις ταῖς συνθήκαις. ὁ δὲ Δεκέβαλος τὰ ὅπλα ἔρριψεν ἐπὶ αὐτοῦ καὶ εἰς τὴν γῆν πεσὼν προσεκύνησε, καὶ εἰς Ῥώμην πρέσβεις ἔπεμψε, καὶ αὐτοὶ ὁμοίως τὰς χεῖρας ἔδησαν ὡς ἐν*

αἰχμαλώτων τάξει. [Exc. de legat. p. 24 Par., 123 Niebuhr. Conf. Dio Cass. 68, 9, ubi eadem.]

6 *Ὅτι Λαγγιβάρδων καὶ Ὀβίων ἑξακισχιλίων Ἴστρον περαιωθέντων, τῶν περὶ Βίνδικα ἱππέων ἐξελασάντων καὶ τῶν ἀμφὶ Κάνδιδον πεζῶν ἐπιφθασάντων, εἰς παντελῆ φυγὴν οἱ βάρβαροι ἐτράποντο. ἐφ᾽ οἷς οὕτω πραχθεῖσιν ἐν δέει καταστάντες ἐκ πρώτης ἐπιχειρήσεως οἱ βάρβαροι, πρέσβεις παρὰ Αἴλιον Βάσσον τὴν Παιονίαν διέποντα στέλλουσι, Βαλλομάριόν τε τὸν βασιλέα Μαρκομάννων καὶ ἑτέρους δέκα, κατὰ ἔθνος ἐπιλεξάμενοι ἕνα. καὶ ὅρκοις τὴν εἰρήνην οἱ πρέσβεις πιστωσάμενοι οἴκαδε χωροῦσιν.* [Exc. de legat. p. 24 Par., 124 Niebuhr.]

7 *Ὅτι Κούαδοι πρέσβεις ἔπεμψαν πρὸς Μάρκον εἰρήνην αἰτούμενοι, καὶ ἔτυχον. καὶ πολλοὺς μὲν ἵππους, πολλοὺς δὲ βόας δεδώκασι, καὶ αἰχμαλώτους τότε μὲν μυρίους καὶ τρισχιλίους, ὕστερον δὲ καὶ ἑτέρους πλείστους ἀπέλυσαν.*

Ὅτι ἦλθον καὶ Ἄστιγγοι καὶ Λακριγγοὶ εἰς βοήθειαν τοῦ Μάρκου. [Ib. p. 24 Par., 124 Niebuhr. Haec quoque Dionis 71, 1, ubi 12, 2 *Δάγκριγοι*. Sed falsum *πλείστους ἀπέλυσαν*, nisi legendum *πλείους*, ut ostendit 13, 2, ubi *ἀπέδοσαν ὀλίγους*.]

8 *Ὅτι Κάρποι τὸ ἔθνος φθονοῦντες τοῖς καθ᾽ ἕκαστον ἐνιαυτὸν τελουμένοις τοῖς Γότθοις ἔπεμψαν πρὸς Τούλιον* (*Ἰούλιον* Nieb.) *Μηνόφιλον πρεσβείαν μετὰ ὑπερηφανίας ἀπαιτοῦντες χρήματα. οὗτος δὲ δοὺξ ἦν Μυσίας, καὶ καθ᾽ ἑκάστην ἡμέραν τὸν στρατὸν ἐγύμναζε, καὶ προμαθὼν τὴν ὑπερηφανίαν αὐτῶν ἐπὶ πολλὰς ἡμέρας οὐκ ἐδέξατο αὐτούς, διδοὺς αὐτοῖς ἄδειαν ὁρᾶν τοὺς στρατιώτας γυμναζομένους. καὶ ἵνα τῷ παρελκυσμῷ καθέλοι αὐτῶν τὰ φρονή-*

ματα, καθίσας ἐπὶ βήματος ὑψηλοῦ καὶ παραστήσας τοὺς μεγίστους τοῦ στρατοπέδου ἐδέξατο αὐτούς, μηδένα λόγον αὐτῶν ποιούμενος, ἀλλ' ἐν τῷ μέσῳ λεγόντων αὐτῶν τὴν πρεσβείαν συνεχῶς ἑτέροις διελέγετο, ὡς δὴ ἄλλα τιμιώτερα πράγματα ἔχων. οἱ δὲ περιδεεῖς γενόμενοι οὐδὲν ἄλλο εἰρήκασιν, εἰ μὴ ὅτι "διὰ τί οἱ Γότθοι τοσαῦτα χρήματα παρ' ὑμῶν λαμβάνουσι καὶ ἡμεῖς οὐ λαμβάνομεν;" ὁ δὲ εἶπεν ὅτι "αὐτοκράτωρ πολλῶν χρημάτων κύριός ἐστι καὶ τοῖς δεομένοις αὐτοῦ χαρίζεται." οἱ δὲ ἐπήγαγον ὅτι "καὶ ἡμᾶς ἐχέτω εἰς τοὺς δεομένους καὶ δότω ἡμῖν τοσαῦτα· ἡμεῖς γὰρ κρείττονες ἐκείνων ἐσμέν." καὶ γελάσας ὁ Μηνόφιλος εἶπε, "καὶ περὶ τούτων μηνῦσαι δέομαι τῷ αὐτοκράτορι. καὶ μετὰ τέσσαρας μῆνας δεῦτε εἰς τόνδε τὸν τόπον, καὶ λαμβάνετε ἀπόκρισιν." καὶ μετῆλθεν ἐκεῖ, καὶ πάλιν τοὺς στρατιώτας ἐγύμναζε. καὶ ἦλθον οἱ Κάρποι μετὰ τοὺς τέσσαρας μῆνας, καὶ τὸ ὅμοιον σχῆμα ποιήσας αὐτοῖς ἑτέραν εὗρεν ἀναβολὴν τριῶν μηνῶν. καὶ πάλιν εἰς ἕτερον στρατόπεδον ἐδέξατο αὐτοὺς ὁμοίως, καὶ ἔδωκεν αὐτοῖς ἀπόκρισιν ὅτι "ὅσον ἐξ ὑποσχέσεως οὐδὲν ὑμῖν παντελῶς δίδωσιν ὁ βασιλεύς· εἰ δὲ δέεσθε συγκροτήσεως, ἀπελθόντες ῥίψατε ἑαυτοὺς πρηνεῖς καὶ δεήθητε αὐτοῦ· καὶ εἰκός ἐστι συγκροτηθῆναι ὑμᾶς." οἱ δὲ μετὰ ἀγανακτήσεως ἀνεχώρησαν, καὶ [*κατὰ* add. Vales.] *τὴν τοῦ Μηνοφίλου ἀρχὴν εἰς τρία ἔτη ἀνυσθεῖσαν ἡσυχίαν ἔσχον.* [Exc. de legat. p. 24—25 Par., 124—126 Niebuhr.]

Ὅτι Βαλεριανὸς εὐλαβηθεὶς τὴν ἔφοδον τῶν 9
Περσῶν, ἐλοίμωξε (ita pro *ἐλίμωξε* et infra *λοιμοῦ* pro *λιμοῦ* Müllerus ex Zosimo 1, 36.) *γὰρ τὸ στράτευμα αὐτοῦ, καὶ μᾶλλον οἱ Μαυρούσιοι, χρυσίον*

ἄφατον συναγαγὼν ἔπεμψε πρέσβεις πρὸς Σαπώρην, ἐπὶ μεγάλαις δόσεσι τὸν πόλεμον καταλῦσαι βουλόμενος. ὁ δὲ τά τε περὶ τοῦ λοιμοῦ μαθὼν τῇ τε παρακλήσει Βαλεριανοῦ πλέον ἐπαρθείς, τοὺς πρέσβεις παρελκύσας, ἀπράκτους αὐτοὺς ἀπολύσας, εὐθὺς ἐπηκολούθησεν. [Exc. de legat. p. 29 Par., 133—134 Niebuhr.]

10 *Ὅτι Ὀδέναθος τὸν Σαπώρην* [*πολὺ*] *ἐθεράπευεν ὡς ὑπερβεβηκότα κατὰ πολὺ τοὺς Ῥωμαίους. βουλόμενος δὲ αὐτὸν ὑπαγαγέσθαι, πέμπει δῶρα μεγαλοπρεπῆ καὶ ἄλλα ἀγώγιμα, ὧν ἡ Περσὶς οὐκ ἦν εὔφορος, καμήλοις ἐπιθείς. καὶ γράμματα πέμπει δεήσεως δύναμιν ἔχοντα καὶ ὅτι οὐδὲν Πέρσαις ὑπεναντίον αὐτὸς εἰργάσατο. ὁ δὲ τοὺς οἰκέτας ὑπέτασσε δεξαμένους τὰ δῶρα ῥίπτειν εἰς τὸν ποταμόν, καὶ τὰς ἐπιστολὰς διαρρήξας συνέτριψε, καὶ ἐδήλωσε "τίς ὢν καὶ πόθεν ἐτόλμησε πρὸς τὸν οἰκεῖον δεσπότην γράψαι; καὶ νῦν εἰ βούλεται ἐλαφροτέρας κολάσεως τυχεῖν, ὀπίσω τὰς χεῖρας δήσας προσπεσέτω· εἰ δὲ μή, ἴστω ὡς καὶ αὐτὸν καὶ τὸ γένος καὶ τὴν πατρίδα ἀπολῶ."* [Exc. de legat. p. 29 Par., 134 Niebuhr.]

11 *Ὅτι Σαπώρης ὁ Περσῶν βασιλεὺς τὸν Εὐφράτην διαβὰς μετὰ τοῦ οἰκείου στρατοπέδου, ...* [*οἱ δὲ στρατιῶται* supplet Nieb.] *ἠσπάζοντο ἀλλήλους καὶ ἔχαιρον ὡς ἀπωσμένου κινδύνου φυγόντες. πρὸς δὲ τοὺς ἐν Ἐδέσσῃ στρατιώτας ἔπεμπεν, ὑποσχόμενος αὐτοῖς διδόναι πᾶν τὸ Σύριον νόμισμα τὸ ὂν παρ᾽ αὐτῷ, ἵν᾽ ἀνενόχλητον αὐτὸν συγχωρήσωσι παρελθεῖν καὶ μὴ ἕλωνται κίνδυνον εἰς ἀμφιβολίαν αὐτοὺς ἄγοντα καὶ ἀσχολίαν αὐτῷ περιποιῆσαι καὶ βραδυτῆτα. οὐ γὰρ δεδιὼς αὐτοὺς ταῦτα ἐπιδιδόναι*

ἔφη, ἀλλ' ἐπειγόμενος τὴν ἑορτὴν εἰς τὰ οἰκεῖα ποιῆσαι καὶ μὴ βουλόμενος τριβὴν καὶ ὑπέρθεσιν γενέσθαι τῇ ὁδοιπορίᾳ αὐτοῦ. καὶ εἵλοντο οἱ στρατιῶται λαβεῖν τὸ χρυσίον ἀκινδύνως καὶ παραχωρῆσαι αὐτοῖς παρελθεῖν. [Exc. de legat. p. 25 Par., 126 Niebuhr. Conf. Zosimus 1, 39.]

Ὅτι Οὐάνδαλοι ἡττηθέντες ἔπεμψαν πρεσβείαν 12
πρὸς Αὐρηλιανόν, παρακαλοῦντες εἰς εἰρήνην. Αὐρηλιανὸς δὲ ἀσμένως ἐδέξατο, καὶ πακτεύσας πρὸς αὐτοὺς ἀνεχώρησεν. [Exc. de legat. p. 26 Par., 126 Niebuhr.]

Ὅτι Ἀφφαρβὰν, φίλτατος ὢν ὡς μάλιστα τῷ 13
Ναρσαίῳ τῷ Περσῶν βασιλεῖ, εἰς πρεσβείαν πεμφθεὶς σὺν ἱκετείᾳ τῷ Γαλερίῳ ὑπήντησεν. ὅστις ἄδειαν τοῦ λέγειν λαβὼν εἶπε, "φανερόν ἐστι τῷ γένει τῶν ἀνθρώπων ὅτι ὡσπερανεὶ δύο λαμπτῆρές εἰσιν ἥ τε Ῥωμαϊκὴ καὶ Περσικὴ βασιλεία· καὶ χρὴ καθάπερ ὀφθαλμοὺς τὴν ἑτέραν τῇ τῆς ἑτέρας κοσμεῖσθαι λαμπρότητι, καὶ μὴ πρὸς ἀναίρεσιν ἑαυτῶν ἀμοιβαδὸν μέχρι παντὸς χαλεπαίνειν. τοῦτο γὰρ οὐκ ἀρετὴ μᾶλλον, ἀλλὰ κουφότης νομίζεται ἢ μαλακία· τοὺς γὰρ μεταγενεστέρους οἰόμενοι μὴ δύνασθαι ἑαυτοῖς βοηθεῖν σπουδάζουσι τοὺς ἀντιτεταγμένους ἀνελεῖν. μὴ χρῆναι μέντοι μηδὲ Ναρσαῖον ἀσθενέστερον πάντων τῶν ἄλλων βασιλέων νομίζεσθαι· ἀλλὰ τοσοῦτον τῶν ἄλλων βασιλέων Γαλέριον ὑπερέχειν ὥστε αὐτὸν τούτῳ μόνῳ δικαίως Ναρσαῖον ἡττῆσθαι, καίτοι τῆς τῶν οἰκείων προγόνων ἀξίας καταδεέστερον οὐ γενόμενον." πρὸς τούτοις ἔλεγεν ὁ Ἀφφαρβᾶν ἐντετάλθαι αὐτῷ παρὰ Ναρσαίου, ὡς ἔχοντες (ἔχοντος Nieb.) ἐπιείκειαν τὸ τῆς οἰκείας βασιλείας δίκαιον τῇ Ῥωμαίων ἐπιτρέψαι φιλανθρωπίᾳ. τοι-

γαροῦν μηδὲ τοὺς ὅρκους κομίζειν, ἐφ' οἷς χρὴ γίνεσθαι τὴν εἰρήνην, ἀλλὰ τὸ ὅλον τῇ γνώμῃ τοῦ βασιλέως διδόναι, πλὴν ὅτι παρακαλεῖ τοὺς παῖδας μόνον καὶ τὰς γαμετὰς αὐτῷ ἀποδοθῆναι, διὰ τῆς τούτων ἀποδόσεως πλέον εὐεργεσίαις ἔνοχος εἶναι λέγων ἢ ὅπλοις περιών· οὐδὲ νῦν δύνασθαι κατ' ἀξίαν χάριτας ὁμολογεῖν, ὅτι ἐν αἰχμαλωσίᾳ γενόμενοι τῆς ἐντεῦθεν οὐκ ἐπειράθησαν ὕβρεως, ἀλλ' οὕτω μετεχειρίσθησαν ὡς τῇ οἰκείᾳ εὐγενείᾳ ὅσον οὔπω ἀποδοθησόμενοι. ἐν τούτοις εἰς μνήμην ἦγε καὶ τὸ τῶν ἀνθρωπίνων πραγμάτων εὐμετάβλητον. ὁ δὲ Γαλέριος πρὸς ταῦτα δόξας ὀργίζεσθαι, συγκινήσας τὸ ἑαυτοῦ σῶμα, ἀπεκρίνατο λέγων οὐ καλῶς Πέρσας ἀξιοῦν τῆς μεταβολῆς τῶν ἀνθρωπίνων πραγμάτων ἑτέρους μεμνῆσθαι, ὁπότε αὐτοὶ καιροῦ ἐπιλαμβανόμενοι οὐ παύονται ταῖς τῶν ἀνθρώπων συμφοραῖς ἐπικείμενοι. "καλῶς γὰρ καὶ ἐπὶ Βαλεριανοῦ τὸ μέτρον τῆς νίκης ἐφυλάξατε, οἵτινες δόλοις αὐτὸν ἀπατήσαντες κατέσχετε καὶ μέχρι γήρως ἐσχάτου καὶ τελευτῆς ἀτίμου οὐκ ἀπελύσατε, εἶτα μετὰ θάνατον μυσαρᾷ τινι τέχνῃ τὸ δέρμα αὐτοῦ φυλάξαντες θνητῷ σώματι ἀθάνατον ὕβριν ἐπηγάγετε." ταῦτα διεξελθὼν ὁ βασιλεύς, καὶ εἰπὼν ἑαυτὸν ἐπικαμφθῆναι οὐχ οἷς Πέρσαι διὰ τῆς πρεσβείας ὑπέμνησαν, ὡς δέον πρὸς τὰς ἀνθρωπίνας ἀφορᾶν τύχας· διὰ τοῦτο γὰρ μᾶλλον καὶ πρὸς ὀργὴν προσήκειν κινεῖσθαι, εἴ τις πρὸς ἃ Πέρσαι πεπράχασιν ἀποβλέψειεν· ἀλλὰ τοῖς τῶν οἰκείων προγόνων ἴχνεσιν ἀκολουθεῖν, οἷς ἔθος φείδεσθαι μὲν τῶν ὑπηκόων, καταγωνίζεσθαι δὲ τῶν ἀντιταττομένων, ἐκέλευσε τῷ πρεσβευομένῳ τῷ ἰδίῳ βασιλεῖ ἀπαγγεῖλαι τὴν Ῥωμαίων καλοκἀγαθίαν, ὧν τῆς ἀρετῆς ἐπει-

ράθη, καὶ οὐ πολλῷ ὕστερον προσελπίζειν παρ' αὐτὸν ἀφιξομένους κατὰ γνώμην τοῦ βασιλέως. [Exc. de legat. p. 26—27 Par., 126—128 Niebuhr.]

14 Ὅτι Γαλέριος καὶ Διοκλητιανὸς εἰς Νίσιβιν συνῆλθον, ἔνθα κοινῇ βουλευσάμενοι στέλλουσιν εἰς Περσίδα πρεσβευτὴν Σικόριον Πρόβον ἀντιγραφέα τῆς μνήμης. τοῦτον ὁ Ναρσαῖος τῇ τῶν ἐπαγγελθέντων ἐλπίδι φιλοφρόνως ἐδέξατο. χρῆται δὲ καί τινι ἀναβολῇ ὁ Ναρσαῖος. ὡς γὰρ βουλόμενος δῆθεν τοὺς περὶ Σικόριον πρέσβεις, οἷα δὴ κεκοπωμένους, ἀνακτήσασθαι, μέχρι τοσούτου περὶ τὸν Ἀσπροῦδιν ποταμὸν τῆς Μηδικῆς τὸν Σικόριον παρείλκυσεν, οὐκ ἀγνοοῦντα μέντοι τὸ γινόμενον, ἕως οἱ τῇδε κἀκεῖσε διὰ τὸν πόλεμον σκορπισθέντες συνελέγησαν. καὶ τηνικαῦτα ἐν τοῖς ἐνδοτέρω τῶν βασιλείων πάντας τοὺς ἄλλους χωρίσας, καὶ ἀρκεσθεὶς τῇ παρουσίᾳ Ἀφφάρβα καὶ Ἀρχαπέτου καὶ Βαρσαβώρσου, ὧν ὁ μὲν ἕτερος ὕπαρχος ἦν πραιτωρίων, ὁ δὲ ἕτερος τὴν τοῦ Συμίου εἶχεν ἀρχήν, ἐπέτρεψε τῷ Πρόβῳ τὴν πρεσβείαν διεξιέναι. ἦν δὲ τὰ κεφάλαια τῆς πρεσβείας ταῦτα, ὥστε κατὰ τὸ ἀνατολικὸν κλίμα τὴν Ἰντηληνὴν μετὰ Σωφηνῆς καὶ Ἀρξανηνὴν μετὰ Καρδουηνῶν καὶ Ζαβδικηνῆς Ῥωμαίους ἔχειν, καὶ τὸν Τίγριν ποταμὸν ἑκατέρας πολιτείας ὁροθέσιον εἶναι, Ἀρμενίαν δὲ Ζίνθα τὸ κάστρον ἐν μεθορίῳ τῆς Μηδικῆς κείμενον ὁρίζειν, τὸν δὲ Ἰβηρίας βασιλέα τῆς οἰκείας βασιλείας τὰ σύμβολα Ῥωμαίοις ὀφείλειν, εἶναι δὲ τόπον τῶν συναλλαγμάτων Νίσιβιν τὴν πόλιν, παρακειμένην τῷ Τίγριδι. τούτων ὁ Ναρσαῖος ἀκούσας, ἐπειδὴ πρὸς μηδὲν τούτων ἡ παροῦσα τύχη ἀρνεῖσθαι αὐτὸν συνεχώρει, συνέθετο τούτοις ἅπασι· πλὴν ἵνα μὴ δόξῃ ἀνάγκῃ πάντα

ποιεῖν, διηρνήσατο μόνον τὸ τόπον εἶναι τῶν συναλλαγμάτων τὴν Νίσιβιν. ὁ δὲ Σικόριος, "ἐνδεδωκέναι χρὴ πρὸς τοῦτο· οὔτε γὰρ αὐτοκράτωρ ἡ πρεσβεία καὶ περὶ τούτου ἐκ τῶν αὐτοκρατόρων οὐδὲν ἐπετέτραπτο." τούτων οὖν συντεθέντων, ἀπεδόθησαν τῷ Ναρσαίῳ αἵ τε γαμεταὶ καὶ οἱ παῖδες, μετὰ φιλοτιμίας τῶν βασιλέων τῆς σωφροσύνης αὐταῖς καθαρᾶς φυλαχθείσης. [Exc. de legat. p. 29—30 Par., 134—136 Niebuhr.]

15 Ὅτι Λικίννιος πέμπει πρεσβευτὴν πρὸς Κωνσταντῖνον Μεστριανὸν κόμητα. ἐλθόντα δὲ τὸν Μεστριανὸν ὁ βασιλεὺς ἐπί τινα χρόνον διέσυρε. μετὰ ταῦτα δὲ πρός τε τὸ ἄδηλον τοῦ πολέμου ἀποβλέπων, ἅμα δὲ καὶ ὅτι οἱ τοῦ Λικιννίου ἐφόδῳ λανθανούσῃ χρησάμενοι τὴν βαστάγην αὐτοῦ μετὰ τῆς βασιλικῆς ὑπηρεσίας κατέσχον, δέχεται αὐτόν. ὁ δὲ τοῖς δυσὶ βασιλεῦσι τὴν εἰρήνην ἐπρεσβεύετο, μὴ χρῆναι λέγων τὸν τοὺς ὁμοφύλους νενικηκότα κατ' αὐτῶν χαλεπαίνειν. ὅ,τι γὰρ ἂν ἀπόλοιτο, τοῦτο λοιπὸν τῷ νενικηκότι, ἀλλ' οὐχὶ τοῖς ἡττωμένοις ἀπόλλυσθαι· καὶ ὅτι ὁ ἑνὶ τὴν εἰρήνην ἀρνούμενος πολλῶν ἐμφυλίων πολέμων γίνεται αἴτιος. ὁ δὲ βασιλεὺς τῷ τε προσώπῳ καὶ τῇ τοῦ σώματος κινήσει τὸ μέγεθος τῆς ὀργῆς δηλῶν, καὶ μόλις φωνὴν ἀφείς, εἶπεν, "οὐχ οὕτω μέχρι τοῦ παρόντος διαγενόμεθα (διαγεγενήμεθα Bekk.), οὐδὲ διὰ τοῦτο ἐκ τοῦ ὠκεανοῦ μέχρι τῶν ἐνταῦθα πολεμοῦντες καὶ νικῶντες ἀφικόμεθα, ὥστε μὴ ἐθέλειν τὸν οἰκεῖον γαμβρὸν κοινωνὸν ἔχειν διὰ τὰ μύση αὐτοῦ καὶ τὴν ἀγχιστείαν ἀπαγορεύειν, εὐτελὲς δὲ ἀνδράποδον μετ' αὐτοῦ εἰς τὰ βασίλεια προσδέξασθαι." ἐκέλευσεν οὖν τὸν Μεστριανόν, τούτου τοῦ μέρους τῆς πρεσβείας

σχολάζοντος, εἴ τι ἕτερον αἰτεῖν βούλοιτο, λέγειν· καὶ ἔδοξε τὸν Βάλεντα ἐκβληθῆναι τῆς βασιλείας. [Exc. de legat. p. 27 Par., 128—129 Nieb. Conf. Zosimus 2, 20.]

Ὅτι Μαγνέντιος καὶ Βετρανίων πέμπουσι πρέσ- 16
βεις πρὸς Κωνστάντιον. πέμπονται δὲ Ῥουφῖνος καὶ Μαρκελλῖνος, ὁ μὲν ὕπαρχος ὢν τῶν πραιτωρίων, ὁ δὲ ἕτερος στρατηλάτης, καὶ Νουνέχιος συγκλητικὸς ὕπαρχος, καὶ Μάξιμος πρὸς τούτοις, ὑπομνήσοντες τὸν Κωνστάντιον ὅπλων ἀποσχέσθαι καὶ πρώτην ἔχειν ἐν τῇ βασιλείᾳ τιμήν. ὁ δὲ Μαγνέντιος δι' αὐτῶν τὴν ἰδίαν θυγατέρα τῷ Κωνσταντίῳ ὑπισχνεῖτο διδόναι γαμετὴν ἐπὶ τῷ καὶ αὐτὸς τὴν Κωνσταντίαν λαβεῖν τὴν ἀδελφὴν τοῦ Κωνσταντίου. ἐδέξατο οὖν ὁ βασιλεὺς τοὺς Βετρανίωνος καὶ Μαγνεντίου πρέσβεις, ἐν οἷς ὁ Νουνέχιος εὐθὺς ἔφη τῷ προοιμίῳ εἰρήνην αἰτεῖν τὸν Μαγνέντιον, καὶ πολλάκις τῆς περὶ τῶν παρόντων πραγμάτων καταστάσεως τὸν Κωνστάντιον ὑπεμίμνησκε, φάσκων μὴ χρῆναι αὐτὸν ἀπροόπτως καὶ κεκμηκότα ἤδη τοῖς πολέμοις δύο κατ' αὐτὸν (αὐτοῦ Bekk.) βασιλεῖς, στρατιωτικῆς τε ἐπιστήμης ἐμπείρους καὶ ὁμονοοῦντας ἀλλήλοις καὶ ἔτι ἀκεραίους ὄντας, εἰς πόλεμον προκαλεῖσθαι· οἵτινες, εἰ μὴ περὶ εἰρήνης συνδόξαιεν, ὁποῖοι καὶ πηλίκοι κατὰ τὸν ἐμφύλιον πόλεμον ἔσονται παραταττόμενοι, εἴτε εἷς μόνος εἴτε ὁμοῦ ἄμφω παραγένοιντο, μὴ θέλειν αὐτὸν ἑτέρωθεν μαθεῖν ἢ ἐκ τῶν ἤδη πεπραγμένων αὐτοῖς, ὅτε ταῖς ἐκείνων παρατάξεσιν αὐτῷ τε καὶ τῷ γένει αὐτοῦ θρίαμβοι κατωρθοῦντο. ταύτης τῆς πρεσβείας ἀκούσας ὁ βασιλεὺς ἐν φροντίσι πολλαῖς ἦν. καὶ εἰς ὕπνον τραπεὶς εἶδεν ὄψιν ὅτι ὁ πατὴρ αὐτοῦ ὥσπερ

ἐξ ὕψους κατιὼν καὶ τῇ χειρὶ κατέχων τὸν Κώνσταντα, ὃν ἀνεῖλε Μαγνέντιος, τοῦτον αὐτῷ προσφέρων ταῦτα πρὸς αὐτὸν ἐδόκει τὰ ῥήματα φθέγγεσθαι· "Κωνστάντιε, ἰδοὺ Κώνστας ὁ πολλῶν βασιλέων ἀπόγονος, ὁ ἐμὸς υἱὸς καὶ σὸς ἀδελφός, τυραννικῶς ἀπολλύμενος. μήτε οὖν τὴν βασιλείαν διακοπτομένην μήτε τὴν πολιτείαν ἀνατρεπομένην περιίδῃς μήτε εὐλαβηθῇς ἀπειλάς, ἀλλὰ τὴν ἐντεῦθεν ἐσομένην σοι δόξαν πάσης ἐκβάσεως προτίμησον, καὶ μὴ ἴδῃς ἀνεκδίκητον ἀδελφόν." μετὰ ταύτην τὴν ὄψιν ἀφυπνισθεὶς ὁ Κωνστάντιος, τῶν πρέσβεων πλὴν Ῥουφίνου φυλακῇ παραδοθέντων . . . . [Exc. de legat. p. 27—28 Par., 129—131 Niebuhr.]

17 Ὅτι ἐπὶ Κωνσταντίου πρέσβεις ἦλθον Περσῶν. ὁ δὲ τῆς πρεσβείας ἡγεμὼν Ναρσῆς τὸ τραχὺ τῶν γραμμάτων ὧν ἐπεφέρετο τῇ τῶν οἰκείων ἡμερότητι τρόπων συγκεράσας, ἔδωκε πρὸς ἀνάγνωσιν. [Exc. de legat. p. 28 Par., 131 Niebuhr. V. Ammian. Marc. 17, 5.]

18 Ὅτι οἱ βάρβαροι ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου εἰρήνην ᾔτουν· ὁ δὲ ἦλθεν εἰς τὸ σπείσασθαι αὐτοῖς, καὶ ἐζήτει ὁμήρους λαβεῖν. οἱ δὲ βάρβαροι πάνυ πολλοὺς ἔλεγον ἔχειν [αὐτὸν αἰχμαλώτους. καὶ ἐκεῖνος ἀπεκρίνατο τούτους ἔχειν supplet Nieb.] πολέμῳ, ἀλλ᾽ οὐ παρ᾽ ἐκείνων δεδομένους· νῦν δὲ ζητεῖν εἰρήνης ἐνέχυρα, εἴ τινες εἶεν πρὸς τοῦτο παρ᾽ αὐτοῖς ἐπιτήδειοι. ἐκείνων δὲ οὐδὲν ἀπαρνουμένων, ἀλλὰ δώσειν συντιθεμένων οὓς ἂν αὐτὸς ἐπιλέξοιτο, τὸν τοῦ βασιλέως υἱὸν ἠξίου λαβεῖν ὡς ἀντὶ πολλῶν μόνον ἀρκοῦντα, ὃν εἶχεν αἰχμάλωτον. οἱ δὲ βάρβαροι ἤδη τεθνάναι αὐτὸν ὑπο-

λαμβάνοντες, μετὰ τοῦ σφῶν βασιλέως ὀδυρόμενοί τε καὶ στένοντες, ἐδέοντο τοῦ Καίσαρος ἀδύνατα μὴ ζητεῖν, ἀπαιτοῦντα τοὺς ἤδη τεθνεῶτας ὁμήρους· τοῦτο δὲ τεκμήριον εἶναι τοῦ σπονδὰς αὐτὸν μὴ ἐθέλειν ποιήσασθαι. [Exc. de legat. p. 28 Par., 131—132 Niebuhr.]

Eunapium fr. 2 exscripsisse videtur Petrus.

PRAXAGORAE FRAGMENTA.

Post Petrum posui historicorum nonnullorum partim ab uno fere Photio memoratorum fragmenta, quorum primus est Praxagoras, de quo Bibl. cod. 62:

Ἀνεγνώσθη Πραξαγόρου [*τοῦ Πραξαγόρου* addit cod. A.] *τοῦ Ἀθηναίου τῆς κατὰ τὸν μέγαν Κωνσταντῖνον ἱστορίας βιβλία δύο. ἐν οἷς λόγοις διέξεισιν ὅτι ὁ πατὴρ Κωνσταντίνου Κωνστάντιος Βρετανίας ἐβασίλευσε, Μαξιμῖνος δὲ τῆς Ῥώμης καὶ τῆς ἄλλης Ἰταλίας καὶ Σικελίας, ὁ δὲ ἕτερος Μαξιμῖνος τῆς τε Ἑλλάδος καὶ τῆς κάτω Ἀσίας καὶ Θράκης, Διοκλητιανὸς δὲ ὁ καὶ τῶν ἄλλων πρεσβύτατος τῆς τε Βιθυνίας ἦρχε καὶ τῆς Ἀραβίας καὶ τῆς Λιβύης καὶ τῆς Αἰγύπτου, ὅσην ὁ Νεῖλος ἐπερχόμενος ἄρδει. τὸν οὖν Κωνσταντῖνον ὁ πατὴρ πέμπει παρὰ Διοκλητιανὸν εἰς Νικομήδειαν παιδευθησόμενον. παρὼν δέ, φησί, Μαξιμῖνος ὁ τῆς κάτω Ἀσίας βασιλεύων εἰς ἐπιβουλὰς ὥρμησε τοῦ νέου· καὶ πρὸς μάχην λέοντι ἀγρίῳ καθίστησι τὸν νεανίαν. ὁ δὲ τὸ μὲν θηρίον κρατήσας ἀνεῖλε, τῆς δὲ ἐπιβουλῆς αἰσθόμενος φεύγει πρὸς τὸν πατέρα· οὗ τὸν βίον λιπόντος ὁ παῖς ἐκδέχεται τὴν βασιλείαν. ταύτης δὲ ἐπιβὰς Κελτοὺς καὶ Γερμανούς, ἔθνη πρόσοικα καὶ βάρβαρα, κατεστρέψατο. ἀσελγῶς δὲ καὶ βαρέως τῶν*

ὑπηκόων ἄρχειν Μαξέντιον μαθών, οὗτος δ' ἄρ' ἦν μετὰ Μαξιμῖνον τῶν ἐν Ῥώμῃ καταστὰς κύριος, ἐστράτευσεν ἐπ' αὐτόν, δίκας τῆς εἰς τοὺς ἀρχομένους παρανομίας πραττόμενος. καὶ μάχῃ νικήσας ἐς φυγὴν ἔτρεψε. φευγὼν δέ, ἣν τοῖς πολεμίοις αὐτὸς ἀπωλείας ἐδολορράφει μηχανήν, ταύτην εὕρατο τοῦ βίου καταστροφήν, τῇ παρ' αὐτοῦ κατασκευασθείσῃ διώρυγι περιπεσών. τὴν μέντοι τούτου κεφαλήν τινες τῶν Ῥωμαίων ἀποτεμόντες καὶ ξύλῳ ἀρτήσαντες τὴν πόλιν περιεπόλευον. Κωνσταντίνῳ δὲ καὶ ἥδε ἡ βασιλεία προθύμως καὶ χαίρουσα προσεχώρησεν. ἐπεὶ δὲ καὶ Λικίνιον ὠμῶς καὶ ἀπανθρώπως τοῖς ὑπηκόοις ἀποκεχρημένον ἐπυνθάνετο, οὗτος δὲ τῆς μοίρας ἐκείνης ἐβασίλευσεν, ἧς Μαξιμῖνος ὁ τὴν ἐπιβουλὴν Κωνσταντίνῳ διὰ τοῦ λέοντος προσενεγκὼν ἐπεστάτει, αὐτοῦ τὸν βίον λιπόντος, οὐκ ἐνεγκὼν ὁμοφύλων ὕβριν ἀφόρητον, ἐστράτευεν ἐπ' αὐτόν, τῆς τυραννίδος αὐτὸν εἰς τὸ βασιλικῶς ἄρχειν μεταστησόμενος. Λικίνιος δὲ τὴν τοῦ βασιλέως ἐπιστρατείαν ἀκούσας καὶ δείσας, ἔκρυπτέ τε τὴν ὠμότητα φιλανθρωπίας προσχήματι καὶ ὅρκους ὑπέτεινεν ἀγαθόν τε ἑαυτὸν τοῖς ὑπὸ χεῖρα παρασχέσθαι καὶ ἃς ἔθετο σπονδὰς συντηρεῖν ἀπαραβάτους. διὸ τότε μὲν ὁ βασιλεὺς ἀπέστη τοῦ πολεμεῖν· ὕστερον δέ, ἐπεὶ κακία ἠρεμεῖν οὐχ οἷα τέ ἐστι, καὶ τῶν ὅρκων ἠφειδηκότα καὶ ἐς πᾶν κακότητος ἐληλακότα καταπολεμήσας μάχαις καρτεραῖς καὶ ἐν τῇ Νικομηδείᾳ συγκλείσας ἐπολιόρκει. κἀκεῖθεν ἐν ἱκέτου πρὸς βασιλέα καταφυγόντα σχήματι κατέλιπεν ἡ βασιλεία, καὶ συνέβη τὸν μέγαν Κωνσταντῖνον, τῆς μεγάλης ἀρχῆς τὸν ἄξιον ἐπιζητούσης, εἰς ἑαυτὸν τὰς εἰρημένας βασιλείας ἐπισπάσασθαι· τῆς τε γὰρ πατρῴας κληρονό-

μος ἐγένετο καὶ τῆς Ῥωμαίων, καταλύσας Μαξιμῖνον (l. *Μαξέντιον*), *Ἑλλάδος τε καὶ Μακεδονίας καὶ τῆς κάτω Ἀσίας παραλύσας τῆς ἀρχῆς τὸν ῥηθέντα Λικίνιον. οὐ μὴν ἀλλὰ καὶ τῆς ἄλλης μοίρας, ἧς ἦρχε Διοκλητιανός, αὐτὸς ἀνεδήσατο τὸ κράτος. ὁ γὰρ Λικίνιος καὶ ταύτην εἶχεν ὑφ' ἑαυτόν, Μαξιμίνου πολέμου νόμῳ ἀφελών, ὃς Διοκλητιανοῦ διάδοχος ἐγεγόνει. κρατυνάμενος οὖν καὶ μίαν δείξας τὴν σύμπασαν βασιλείαν, κτίζει τὸ Βυζάντιον ἐπώνυμον ἑαυτῷ. φησὶν οὖν ὁ Πραξαγόρας, καίτοι τὴν θρησκείαν Ἕλλην ὤν, ὅτι πάσῃ ἀρετῇ καὶ καλοκἀγαθίᾳ καὶ παντὶ εὐτυχήματι πάντας τοὺς πρὸ αὐτοῦ βεβασιλευκότας ὁ βασιλεὺς Κωνσταντῖνος ἀπεκρύψατο. ἐν οἷς αὐτοῦ καὶ οἱ δύο συμπεραίνονται λόγοι.*

Ἔτος δὲ τῆς ἡλικίας ἦγε δεύτερον καὶ εἰκοστὸν Πραξαγόρας, ὡς αὐτός φησιν, ὅτε ταῦτα συνέγραφε. συνεγράψατο δὲ ὁ αὐτὸς καὶ ἕτερα βιβλία δύο, περὶ τῶν Ἀθήνησι βασιλευσάντων, ἔτος ἀνύων ἐννεακαιδέκατον. συνέταξε δὲ καὶ ἕτερα βιβλία ἓξ εἰς τὸν τῶν Μακεδόνων βασιλέα Ἀλέξανδρον, τριακοστὸν πρῶτον ἐλαύνων ἐνιαυτόν. ἔστι δὲ τὴν φράσιν σαφὴς καὶ ἡδύς, ὀλίγον δὲ τοῦ δέοντος ἀτονώτερος. κέχρηται δὲ Ἰωνικῇ διαλέκτῳ.

CANDIDI FRAGMENTA.

Photius Bibl. cod. 79: *Ἀνεγνώσθησαν Κανδίδου ἱστορίας λόγοι τρεῖς. ἄρχεται μὲν τῆς ἱστορίας ἀπὸ τῆς Λέοντος ἀναρρήσεως, ὃς ἦν ἐκ Δακίας μὲν τῆς ἐν Ἰλλυριοῖς, στρατιωτικῷ παραγγείλας τάγματι καὶ τελῶν ἄρξας τῶν ἐν Σηλυμβρίᾳ, τὴν βασιλείαν δὲ σπουδῇ Ἄσπαρος ἐγχειρισθείς, ὃς ἦν Ἀλανὸς μὲν γένος, ἐκ νεαρᾶς δὲ στρατευσάμενος ἡλικίας καὶ παιδοποιησάμενος ἐκ τριῶν γάμων Ἀρδαβούριον, Πατρίκιον, Ἑρμενάριχον, καὶ θηλείας δύο. ποιεῖται μὲν ὁ συγγραφεύς, ὡς εἴρηται, ἀρχὴν τῆς ἱστορίας τὴν ἀρχὴν τῆς Λέοντος βασιλείας, τελευτᾷ δ' εἰς τὴν ἀναγόρευσιν Ἀναστασίου. ἔστι δὲ πατρίδος μὲν Ἰσαυρίας, ὡς αὐτός φησι, τῆς τραχείας· ἐπιτήδευμα δὲ ἔσχεν ὑπογραφεὺς τῶν ἐν Ἰσαύροις πλεῖστον ἰσχυσάντων. τὴν δὲ θρησκείαν Χριστιανὸς ἦν καὶ ὀρθόδοξος· τήν τε γὰρ τετάρτην σύνοδον ἐπαίνοις στέφει καὶ τῶν κατ' αὐτῆς καινοτομούντων καθάπτεται δικαίως. τὴν δὲ φράσιν οὐκ ἔχει πρέπουσαν λόγῳ ἱστορικῷ· ταῖς τε γὰρ ποιητικαῖς λέξεσιν ἀπειροκάλως τε κέχρηται καὶ μειρακιωδῶς καὶ ἡ συνθήκη αὐτῷ εἰς τὸ τραχύτερον καὶ δύσηχον ἐκδιθυραμβοῦται, ὥσπερ αὖ πάλιν εἰς τὸ ἐκλελυμένον τε καὶ ἐκμελὲς ὑπτιάζει. νεωτερίζει δὲ καὶ ταῖς συντάξεσιν*

οὐκ εἰς τὸ γλαφυρὸν μᾶλλον καὶ ἐπαφρόδιτον, ὥσπερ ἕτεροι, ἀλλ' ὥστε δυσχερὴς ἀκοῦσαι καὶ τοῦ ἡδέος ὑπερόριος. πλὴν αὐτος ἑαυτοῦ πολὺ βελτίων ἐνιαχοῦ τοῖς λόγοις πάντα γινόμενος, συμμιγῆ τὴν ἱστορίαν καὶ ἐξ ἀνομοιοτάτων ἁρμόζων ἁλίσκεται. οὗτος ἰσχυρίζεται τὴν Ἰσαυρίαν ἀπὸ τοῦ Ἡσαῦ λαβεῖν τὴν ἐπωνυμίαν.

Διέρχεται δὲ ἐν μὲν τῷ πρώτῳ λόγῳ τὴν Ἄσπαρος καὶ τῶν παίδων αὐτοῦ δυναστείαν, τὴν ἀνάρρησιν διὰ τοῦ Ἄσπαρος Λέοντος, τὸν συμβάντα τῇ πόλει ἐμπρησμόν, καὶ ὅσα Ἄσπαρι περὶ τούτου ἐπὶ τὸ κοινῇ συμφέρον διαπέπρακται. καὶ περὶ Τατιανοῦ καὶ Βιβιανοῦ, καὶ ὡς περὶ αὐτῶν διηνέχθη Ἄσπαρ καὶ ὁ βασιλεύς, καὶ οἷα εἰς ἀλλήλους ἀπεφθέγξαντο. καὶ ὡς ὁ βασιλεὺς διὰ τοῦτο ἡταιρίσατο τὸ Ἰσαύρων γένος διὰ Ταρασικοδίσσα Ῥουσουμβλαδεώτου, ὃν καὶ Ζήνωνα μετονομάσας γαμβρὸν ἐποιήσατο, τὴν προτέραν γυναῖκα θανάτου νόμῳ ἀποβαλόντα. καὶ ὡς Ἀρδαβούριος εἰς τὸ ἐναντίον μελετῶν τῷ βασιλεῖ καὶ αὐτὸς οἰκειοποιήσασθαι τοὺς Ἰσαύρους διενοήθη· καὶ ὅτι Μαρτῖνος, οἰκεῖος ὢν Ἀρδαβουρίου, μηνύει Ταρασικοδίσσᾳ ἅπερ Ἀρδαβουρίῳ κατὰ βασιλέως ἐτυρεύετο· καὶ ὡς ἐντεῦθεν ἐς τὸ τραχύτερον τῆς ἐς ἀλλήλους ὑπονοίας προϊούσης ἀναιρεῖ Λέων ὁ βασιλεὺς Ἄσπαρα καὶ τοὺς παῖδας Ἀρδαβούριον καὶ Πατρίκιον τὸν καίσαρα. ἀλλ' ὁ μὲν καῖσαρ τῶν πληγῶν ἀνενεγκὼν παραδόξως διεσώθη καὶ διέζησεν. ἀλλὰ καὶ ὁ ἕτερος τῶν παίδων Ἀρμενέριχος (Ἑρμενάριχος p. 441, 8) οὐ συμπαρὼν τῷ φύντι τὸν φόνον τότε διέφυγε. Ταρασικοδίσσαν δὲ γαμβρὸν ἐπὶ θυγατρὶ Ἀριάδνῃ Λέων ὁ βασιλεὺς ποιεῖται, καὶ μετονομάζει Ζήνωνα, στρατηγὸν τῆς ἕω

χειροτονήσας. καὶ τὰ κατὰ Ἀφρικὴν Βασιλίσκου εὐτυχήματά τε καὶ δυστυχήματα. καὶ ὡς Λέων πολλὰ βουληθεὶς καὶ διαμηχανησάμενος Ζήνωνα τὸν γαμβρὸν ἀνειπεῖν βασιλέα, τῶν ὑπηκόων μὴ παραδεχομένων, οὐκ ἴσχυσε. καὶ ὡς πρὸ τελευτῆς αὐτοῦ τὸν ἔγγονον μὲν αὐτοῦ ἐκ Ζήνωνος φύντα τῇ Ἀριάδνῃ, καὶ ὡς μετὰ τελευτὴν Λέοντος ὁ παῖς Λέων Ζήνωνα τὸν πατέρα, συναινέσει τῆς βουλῆς, βασιλέα ἔστεψε. λεπτομερής τε τῆς Ἰσαύρων γενεαλογίας ἀφήγησις, καὶ ὡς εἴησαν ἀπόγονοι τοῦ Ἡσαῦ πολλὴ σπουδὴ καὶ διήγησις. ὅπως τε Ζήνων ὑπὸ Βηρίνης ἀπατηθεὶς φεύγει γυναικὶ ἅμα καὶ μητρὶ τῆς πόλεως καὶ τῆς βασιλείας· καὶ ὡς Βηρῖνα, ἐλπίδι τοῦ συναφθῆναι Πατρικίῳ τῷ μαγίστρῳ καὶ βασιλεύειν αὐτὸν τὸν γαμβρὸν αὐτῆς φυγαδεύσασα ἐξ ἀπάτης, καὶ αὐτὴ τῆς ἐλπίδος ἐσφάλη, τῶν ἐν τέλει Βασιλίσκον τὸν αὐτῆς ἀδελφὸν ἀνειπόντων βασιλέα. περί τε τῆς Ἰσαύρων ἐν Κωνσταντινουπόλει ἀμυθήτου σφαγῆς. καὶ ὡς μετὰ Νέπωτα βασιλέα Ῥώμης Αὐγούστουλον ὁ πατὴρ Ὀρέστης Ῥώμης κατεπράξατο βασιλεύειν. ταῦτα ὁ πρῶτος λόγος.

Ὁ δὲ δεύτερος, ὅπως Πατρίκιος ὁ μάγιστρος, ὁ Βηρίνῃ συμφθειρόμενος, ἐπαγανακτήσαντος αὐτῷ Βασιλίσκου, ἀπεβίω, καὶ διὰ τοῦτο Βηρῖνα δι' ἔχθρας πρὸς τὸν ἀδελφὸν καταστᾶσα, καὶ Ζήνωνι διὰ χρημάτων τὴν τῆς βασιλείας ἀνάληψιν συμπράττουσα, τὰ ἔσχατα ἔπασχεν ὑπὸ τοῦ ἀδελφοῦ, καὶ εἰ μὴ διέκλεψεν αὐτὴν Ἁρμάτος ἐκ τοῦ ναοῦ, τάχα ἂν καὶ διεφθάρη. ὡς Ἁρμάτος τῇ γαμετῇ συνδιαφθειρόμενος Βασιλίσκου ἐπὶ μέγα δυναστείας ἤρθη, καὶ ὡς ὕστερον τὸν κατὰ Ζήνωνος πιστευθεὶς πόλεμον ἀπέκλινεν ἐπὶ συνθήκαις δι' Ἴλλου πρὸς αὐτόν, καὶ

εὐδοκιμῶν ἐπὶ Ζήνωνος, ὡς καὶ τὸν υἱὸν Βασιλίσκον καίσαρα ἰδεῖν, ὕστερον ἐκρεουργήθη, καὶ ὁ παῖς ἐκ τοῦ καίσαρος εἰς τοὺς ἐν Βλαχέρναις ἀναγνώστας ἐτέλεσεν. ὡς πρὸ τούτων Βασιλίσκος Μάρκον τὸν ἴδιον υἱὸν καίσαρα ἀνεῖπεν, εἶτα καὶ βασιλέα. καὶ ὡς Ἴλλους συνέβη Ζήνωνι εἰς φιλίαν, καὶ πάλιν ἀναλαβεῖν παρεσκεύασε τὴν βασιλείαν. καὶ ὡς καταστασιασθεὶς Βασιλίσκος σὺν τῇ γυναικὶ Ζηνωνίδι καὶ τέκνοις καταφεύγει εἰς τὴν ἐκκλησίαν, κἀκεῖθεν ἀπάτῃ Ἀρμάτου ἐκβληθεὶς ἐξορίζεται εἰς Καππαδοκίαν, εἶτα παγγενεὶ κατασφάζεται. ὡς Πέτρου τοῦ δυσσεβοῦς τὰς τῆς ἀνατολῆς ταράσσοντος ἐκκλησίας Καλανδίωνα Ζήνων ὁ βασιλεὺς εἰς τὸ ἱερᾶσθαι Ἀντιοχείας ἀπέστειλε, καὶ δεόμενος χρημάτων ἐκ μηνυμάτων ἐπέτυχε, καὶ πολλοὶ νεωτερίσαντες κατ' αὐτοῦ καὶ ἑαλωκότες δίκην ἔδοσαν. ὡς Ἴλλους πολλὰ τῇ Ῥωμαίων συνήνεγκε πολιτείᾳ ταῖς τε κατὰ πόλεμον ἀνδραγαθίαις καὶ ταῖς κατὰ πόλιν φιλοτιμίαις τε καὶ δικαιοπραγίαις. ὡς μετὰ τὴν ἀναίρεσιν τοῦ βασιλέως Νέπωτος Ῥώμης καὶ τὸν διωγμὸν τοῦ μετ' αὐτὸν Αὐγουστούλου Ὀδόακρος Ἰταλίας καὶ αὐτῆς ἐκράτησε Ῥώμης· καὶ στασιασάντων αὐτῷ τῶν δυσμικῶν Γαλατῶν, διαπρεσβευσαμένων τε αὐτῶν καὶ Ὀδοάκρου πρὸς Ζήνωνα, Ὀδοάκρῳ μᾶλλον ὁ Ζήνων ἀπέκλινεν. ὡς Ἀλανός τις Ἴλλουν ἀνελεῖν βουληθεὶς καὶ πλήξας Ἐπινίκιον εἶπεν, ὃς ἦν οἰκεῖος Βηρίνῃ, τὴν ἀναίρεσιν ὑποθέσθαι· καὶ ὡς ἐξεδόθη Ἐπινίκιος Ἴλλου· καὶ ὡς ὑποσχέσει καὶ ἀμνηστίας καὶ εὐεργεσιῶν ἐξεῖπε πάντα Ἐπινίκιος, ὅσα ἐπεβούλευε Βηρῖνα κατὰ Ἴλλου· καὶ ὡς Ζήνων Βηρῖναν διὰ τοῦτο ἐκδίδωσιν, ὁ δὲ αὐτὴν εἰς φρούριον Κιλικίας ὑπερορίσας ἠσφαλίσατο. ὡς Παμπρεπίῳ

τῷ δυσσεβεῖ διὰ Μάρσου Ἴλλους φιλιωθεὶς ἅπαντα κατὰ μικρὸν συνέχεε τὰ αὑτοῦ. ὡς ἐμφύλιος συνέστη Ζήνωνι πόλεμος, ἐξάρχοντος Μαρκιανοῦ καὶ Προκοπίου, υἱῶν τοῦ βασιλεύσαντος Ῥώμης Ἀνθεμίου· καὶ κρατήσαντος Ζήνωνος δι' Ἴλλου, πρεσβύτερος μὲν Μαρκιανὸς ἐχειροτονήθη, ὁ δὲ Προκόπιος πρὸς Θεοδώριχον τὸν ἐν Θρᾴκῃ διέφυγε. καὶ ὡς ὑπερορισθεὶς Μαρκιανὸς ἐν Καππαδοκίᾳ καὶ διαφυγὼν ἐτάραξε τὴν κατ' Ἄγκυραν Γαλατίαν, εἶτα συλληφθεὶς εἰς Ἰσαυρίαν διῳκίσθη. καὶ ὡς ἡ πρὸς Ἴλλουν ἔχθρα τῷ βασιλεῖ συνέστη καὶ ηὐξήθη. οὕτω καὶ ὁ δεύτερος.

Ὁ δὲ τρίτος ἄλλα τε περιέχει καὶ ὡς εἰς τὸ ἐμφανὲς Ἴλλους ἐπαναστὰς Ζήνωνι βασιλέα Λεόντιον σὺν Βηρίνῃ ἀνεῖπεν, ὅπως τε δυσπραγήσαντες ἐπολιορκήθησαν καὶ ἁλόντες ἀπετμήθησαν, καὶ τἄλλα ἕως τῆς Ζήνωνος τελευτῆς.

Κάνδιδος (Κάδδος codd.) *ἱστοριογράφος φησὶν* 2
ὅτι ὁ Λέων ὁ Μακέλλης, ὁ μετὰ Μαρκιανὸν βασιλεύσας, περὶ τὴν ἐκστρατείαν τὴν κατὰ Βανδήλων ἄπειρα χρήματα δεδαπάνηκεν· ἦσαν γάρ, ὡς οἱ ταῦτα ἐφανέρωσαν κεχειρικότες, διὰ μὲν τῶν ὑπάρχων χρυσίου λίτραι τετρακισμύριαι πρὸς ἑπτακισχιλίαις, διὰ δὲ τοῦ κόμητος τῶν θησαυρῶν ἑπτακισχίλιαι πρὸς μυρίαις καὶ ἀργυρίου λίτραι ἑπτακόσιαι χιλιάδες, ἄτερ τῶν ἀνηλωμένων ἐκ τῶν δημευσίμων ἀρχόντων καὶ ἐκ τοῦ βασιλέως Ἀνθεμίου. [Suidas v. *χειρίζω*. Conf. Vales. ad Euagrium II, 16.]

THEOPHANIS BYZANTII FRAGMENTA.

Photius Bibl. cod. 64: *Ἀνεγνώσθη Θεοφάνους Βυζαντίου ἱστορικῶν λόγοι δέκα. ἄρχεται δὲ ὁ πρῶτος λόγος ἀπὸ τοῦ Περσικοῦ πολέμου τοῦ συστάντος μετὰ τὴν διάλυσιν τῶν σπονδῶν, ἃς Ἰουστινιανὸς ὁ βασιλεὺς καὶ Χοσρόης ὁ Περσῶν ἀλλήλοις ἔθεντο, ἔλυσε δὲ Χοσρόης τε αὐτὸς καὶ Ἰουστῖνος, διάδοχος Ἰουστινιανοῦ καταστάς, δευτέρου ἔτους τῆς ἀρχῆς αὐτῷ περαιουμένου. ἀρχόμενος δὲ ἐντεῦθεν τῆς ἱστορίας κάτεισι μέχρι δεκάτου ἔτους αὐτοῦ τοῦ πολέμου. μέμνηται δὲ ἐν τῷδε τῷ πρώτῳ τοῦ βιβλίου λόγῳ καὶ τὰ κατὰ Ἰουστινιανὸν ἱστορῆσαι· οὐ μὴν ἀλλὰ δῆλός ἐστιν ὡς καὶ ἐφεξῆς τῶν δέκα λόγων ἑτέρους συνέταξε. διέξεισι δὲ ἐν μὲν τῷδε τῷ λόγῳ ὅπως αἱ σπονδαὶ συνεχύθησαν Ἰουστίνου μὲν διὰ Κομεντιόλου Σουανίαν παρὰ Χοσρόου ἀπαιτοῦντος, αὐτοῦ δὲ ὑποτιθεμένου, οὐ μέντοι διδοῦντος, ὅπως τε ἡ Μεσοποταμία πᾶσα ἐσείσθη, προοίμιον τῶν ἐπελευσομένων κακῶν γενομένη.*

2 *Ὅτι τὰ πρὸς εὖρον ἄνεμον τοῦ Ταναΐδος Τοῦρκοι νέμονται, οἱ πάλαι Μασσαγέται καλούμενοι, οὓς Πέρσαι οἰκείᾳ γλώσσῃ Κερμιχίωνάς φασι. καὶ αὐτοὶ*

δὲ ἐν τῷ τότε δῶρα καὶ πρέσβεις πρὸς βασιλέα Ἰουστῖνον ἔστειλαν, δεόμενοι μὴ ὑποδέξασθαι αὐτὸν τοὺς Ἀβάρους· ὁ δὲ τὰ δῶρα λαβὼν καὶ ἀντιφιλοφρονησάμενος ἀπέλυσεν εἰς τὰ οἰκεῖα. τοῖς δὲ Ἀβάροις ὕστερον ἐλθοῦσι, καὶ Παννονίαν οἰκῆσαι καὶ εἰρήνης τυχεῖν δεομένοις, διὰ τὸν πρὸς τοὺς Τούρκους λόγον καὶ τὰς συνθήκας οὐκ ἐσπείσατο.

Ὅτι τὴν τῶν σκωλήκων γένεσιν ἀνὴρ Πέρσης 3
βασιλεύοντος Ἰουστινιανοῦ ἐν Βυζαντίῳ ὑπέδειξεν, οὔπω πρότερον ἐγνωσμένην Ῥωμαίοις. οὗτος δὲ ἐκ Σηρῶν ὁρμηθεὶς ὁ Πέρσης τὸ σπέρμα τῶν σκωλήκων ἐν νάρθηκι λαβὼν μέχρι Βυζαντίου διεσώσατο, καὶ τοῦ ἔαρος ἀρξαμένου ἐπὶ τὴν τροφὴν τῶν συκαμίνων φύλλων ἐπαφῆκε τὰ σπέρματα· τὰ δὲ τραφέντα τοῖς φύλλοις ἐπτεροφύησέ τε καὶ τἄλλα εἰργάσατο. ὧν τήν τε γένεσιν καὶ τὴν ἐργασίαν ὁ βασιλεὺς Ἰουστῖνος ὕστερον τοῖς Τούρκοις ὑποδείξας ἐθάμβησεν· οἱ γὰρ Τοῦρκοι τότε τά τε Σηρῶν ἐμπόρια καὶ τοὺς λιμένας κατεῖχον. ταῦτα δὲ πρὶν μὲν Πέρσαι κατεῖχον, Ἐφθαλάνου δὲ τοῦ Ἐφθαλιτῶν βασιλέως, ἐξ οὗ καὶ τὸ γένος ἔσχε τὴν κλῆσιν, Περόζην καὶ Πέρσας νικήσαντος, ἀφῃρέθησαν μὲν τούτων οἱ Πέρσαι, δεσπόται δὲ κατέστησαν Ἐφθαλῖται· οὓς μικρῷ ὕστερον μάχῃ νικήσαντες Τοῦρκοι ἀφεῖλον ἐξ αὐτῶν καὶ ταῦτα. Ἰουστῖνος δὲ Ζήμαρχον ἐς τοὺς Τούρκους πρέσβυν ἀπέστειλεν· ὃς καὶ λαμπρῶς ἑστιάσας τε τοὺς Τούρκους καὶ ἐς τὰ μάλιστα φιλοφρονηθεὶς ἐς τὸ Βυζάντιον ἐπανήει. διὸ καὶ ὁ Χοσρόης ἐπ' Αἰθίοπας, φίλους ὄντας Ῥωμαίοις, τοὺς πάλαι μὲν Μακροβίους, νῦν δὲ Ὁμηρίτας καλουμένους, ἐστράτευσε, καὶ τόν τε βασιλέα τῶν Ὁμηριτῶν Σανατούρκην διὰ Μιράνους τοῦ Περσῶν στρα-

τηγοῦ ἐζώγρησε, τήν τε πόλιν αὐτῶν ἐξεπόρθησε καὶ τὸ ἔθνος παρεστήσατο. διέξεισι δὲ καὶ ὅπως Ἀρμένιοι ὑπὸ Σουρήνου κακούμενοι, καὶ μάλιστα περὶ τὴν εὐσέβειαν, τόν τε Σουρήναν ὁμοφρονήσαντες διὰ Οὐαρδάνου, οὗ τὸν ἀδελφὸν Μανουὴλ ἐτύγχανεν ἀνελών, καὶ δι᾽ ἑτέρου τινὸς Οὐάρδου ἀνεῖλον, καὶ Περσῶν ἀποστάντες Ῥωμαίοις προσεχώρησαν, τὸ Δούβιος τὸ πόλισμα, ἐν ᾧ κατῴκουν, ἀπολιπόντες καὶ πρὸς τὰ Ῥωμαίων ἤθη γενόμενοι, καὶ τοῦτο μάλιστα γέγονε τῆς τῶν Περσῶν πρὸς Ῥωμαίους σπονδῶν καταλύσεως αἴτιον. ἀπέστησαν δὲ παραυτίκα καὶ Ἴβηρες καὶ προσεχώρησαν Ῥωμαίοις, Γοργένους αὐτῶν ἡγεμονεύοντος· ἦν δὲ τῶν Ἰβήρων τότε ἡ Τίφιλις μητρόπολις.

4 Ὅτι Μαρκιανὸς ὁ τοῦ Ἰουστίνου τοῦ βασιλέως ἐξάδελφος, τῆς ἕω χειροτονηθεὶς στρατηγός, εἰς τὸν πρὸς Χοσρόην πόλεμον ὀγδόῳ ἔτει τῆς Ἰουστίνου βασιλείας ἐξαποστέλλεται. Ἰωάννης δὲ ὁ τῆς Ἀρμενίας στρατηγὸς καὶ Μιράνης ὁ τῶν Περσῶν, ὁ καὶ Βαραμαάνης, τὴν στρατείαν συνήθροιζον. καὶ τοῖς μὲν Ἀρμενίοις συνεμάχουν Κόλχοι, Ἀβασγοὶ καὶ Σαρώης ὁ Ἀλανῶν βασιλεύς, τῷ δὲ Μιράνῃ Σάβιροι καὶ Δαγάνες καὶ τὸ Διλμαϊνὸν ἔθνος. πολεμήσας δὲ ὁ Μαρκιανὸς τὸν Μιράνην περὶ τὴν Νισιβηνῶν πόλιν αὐτὸν μὲν ἐς φυγὴν ἔτρεψεν, ἀνεῖλε δὲ ἐν τῇ μάχῃ χιλίους καὶ διακοσίους, καὶ ζῶντες ἐλήφθησαν ἑβδομήκοντα· Ῥωμαίων δὲ ἄνδρες ἀνῃρέθησαν ἑπτά. ἐπολιόρκει τε ἤδη καὶ τὸ τῶν Νισιβηνῶν τεῖχος. Χοσρόης δὲ ταῦτα μαθών, τεσσαράκοντα μὲν χιλιάδας ἱππέων, πεζῶν δὲ ὑπὲρ τὰς ἑκατὸν συναγείρας, ἠπείγετο βοηθεῖν καὶ πολεμεῖν Ῥωμαίους. ἐν τούτῳ δὲ διαβάλλεται ὁ Μαρκιανὸς τῷ βα-

σιλεῖ ὡς ἐρῶν τυραννίδος, καὶ ὁ βασιλεὺς πεισθεὶς αὐτὸν μὲν παρέλυσε τῆς ἀρχῆς, Θεόδωρον ἀντικαταστήσας τὸν τοῦ Ἰουστινιανοῦ παῖδα, Τζίρον ἐπίκλην. ἀταξίας δὲ διὰ ταῦτα συμβάσης, τῆς τε πολιορκίας Ῥωμαῖοι ἀπέσχοντο καὶ Χοσρόης τὸ Δάρας πολιορκήσας παρεστήσατο.

OLYMPIODORI FRAGMENTA.

Photius Bibl. cod. 80: *Ἀνεγνώσθησαν Ὀλυμπιοδώρου ἱστορικοὶ λόγοι κβ′. ἄρχεται ἀπὸ τῆς Ὀνωρίου τοῦ βασιλέως Ῥώμης τῆς ὑπατείας τὸ ἕβδομον καὶ Θεοδοσίου τὸ δεύτερον, κατέρχεται δὲ μέχρις ὅτου Βαλεντινιανὸς ὁ Πλακιδίας καὶ Κωνσταντίου παῖς εἰς τὴν βασίλειον τῆς Ῥώμης ἀνερρήθη ἀρχήν. οὗτος ὁ συγγραφεὺς Θηβαῖος μέν ἐστιν, ἐκ τῶν πρὸς Αἴγυπτον Θηβῶν τὸ γένος ἔχων, ποιητής, ὡς αὐτός φησι, τὸ ἐπιτήδευμα, Ἕλλην τὴν θρησκείαν, σαφὴς μὲν τὴν φράσιν, ἄτονος δὲ καὶ ἐκλελυμένος καὶ πρὸς τὴν πεπατημένην κατενηνεγμένος χυδαιολογίαν, ὥστε μηδ᾽ ἄξιος εἰς συγγραφὴν ἀναγράφεσθαι ὁ λόγος. ὃ καὶ αὐτὸς ἴσως συνιδὼν οὐ συγγραφὴν αὐτῷ ταῦτα κατασκευασθῆναι, ἀλλὰ ὕλην συγγραφῆς ἐκπορισθῆναι διαβεβαιοῦται· οὕτως ἄμορφος καὶ ἀνίδεος καὶ αὐτῷ τοῦ λόγου ὁ χαρακτὴρ κατεφαίνετο. καὶ γὰρ οὐδεμιᾷ τῶν ἰδεῶν καλλωπίζεται, πλὴν εἴ τις ἔν τισι τῇ ἀφελείᾳ πλησιάζειν ἐκβιάσοιτο· τῷ γὰρ λίαν ταπεινῷ καὶ ἐξητελισμένῳ καὶ ταύτης ἐκπίπτων εἰς ἰδιωτισμὸν ὅλως ὑπενήνεκται. ὕλην δὲ αὐτὸς ἱστορίας ταῦτα καλῶν ὅμως καὶ λόγοις διαιρεῖ καὶ προοιμίοις πειρᾶται κοσμεῖν, καὶ πρὸς Θεοδόσιον τὸν βασιλέα, ὃς ἀνεψιὸς ἐχρημάτιζεν Ὀνωρίου*

καὶ Πλακιδίας, Ἀρκαδίου δὲ παῖς, πρὸς τοῦτον τὴν ἱστορίαν ἀναφωνεῖ.

Διαλαμβάνει τοίνυν περὶ Στελίχωνος, ὅσην τε 2
περιεβέβλητο δύναμιν, καταστὰς ἐπίτροπος τῶν παίδων Ἀρκαδίου καὶ Ὀνωρίου ὑπ' αὐτοῦ τοῦ πατρὸς αὐτῶν Θεοδοσίου τοῦ μεγάλου, καὶ ὡς Σερῆναν νόμῳ γάμου ἠγάγετο, Θεοδοσίου καὶ ταύτην αὐτῷ κατεγγυήσαντος· ὅτι τε μετὰ ταῦτα Στελίχων εἰς τὴν ἑαυτοῦ θυγατέρα Θερμαντίαν τὸν βασιλέα Ὀνώριον γαμβρὸν ἐποιήσατο, καὶ ὡς ἐπὶ πλεῖστον ἔτι μᾶλλον ἤρθη δυνάμεως, καὶ πολλοὺς πολέμους ὑπὲρ Ῥωμαίων πρὸς πολλὰ τῶν ἐθνῶν κατώρθωσε· καὶ ὅτι μιαιφόνῳ καὶ ἀπανθρώπῳ σπουδῇ Ὀλυμπίου, ὃν αὐτὸς τῷ βασιλεῖ προσῳκείωσε, τὸν διὰ ξίφους ὑπέμεινε θάνατον. [Conf. Zosimus 5, 32, Sozom. 9, 4, Philostorg. 11, 3; 12, 3, Oros. 7, 38.]

Ὅτι Ἀλάριχος ὁ τῶν Γότθων φύλαρχος, ὃν Στε- 3
λίχων μετεκαλέσατο ἐπὶ τῷ φυλάξαι Ὀνωρίῳ τὸ Ἰλλυρικόν· τῇ γὰρ αὐτοῦ ἦν παρὰ Θεοδοσίου τοῦ πατρὸς ἐκνενεμημένον βασιλείᾳ (conf. Zosimus 5, 26, 2.)· *οὗτος ὁ Ἀλάριχος διά τε τὸν φόνον Στελίχωνος καὶ ὅτι ἃ συνέκειτο αὐτῷ οὐκ ἐλάμβανε, πολιορκεῖ καὶ ἐκπορθεῖ τὴν Ῥώμην· ἐξ ἧς χρήματά τε ἄπειρα ἐξεκόμισε καὶ τὴν ἀδελφὴν Ὀνωρίου Πλακιδίαν, ἐν Ῥώμῃ διάγουσαν, ᾐχμαλώτισε. καὶ πρὸ τῆς ἁλώσεως δὲ ἕνα τινὰ τῶν κατὰ τὴν Ῥώμην ἐπιδόξων, Ἄτταλος ἦν ὄνομα αὐτῷ, τὴν ἐπαρχότητα τότε διέποντα, εἰς βασιλέα ἀνηγόρευσεν. ἐπράχθη δὲ αὐτῷ ταῦτα διά τε τὰς προειρημένας αἰτίας καὶ ὅτι Σάρον, καὶ αὐτὸν Γότθον ὄντα, καὶ πλήθους μὲν ὀλίγου ἐπάρχοντα· ἄχρι γὰρ διακοσίων ἢ καὶ τριακοσίων αὐτῷ ὁ λαὸς ἐξετείνετο· ἄλλως δὲ ἡρωικόν τινα καὶ ἐν μάχαις ἀκατα-*

γώνιστον, τοῦτον ὅτι Ῥωμαῖοι ἡταιρίσαντο δι' ἔχθρας Ἀλαρίχῳ ὄντα, ἄσπονδον ἐχθρὸν Ἀλάριχον ἐποιήσαντο.

4 Ὅτι ἐν τῇ πολιορκίᾳ τῆς Ῥώμης ἀλληλοφαγία τῶν ἐνοικούντων ἐγίνετο.

5 Ὅτι Ἀλάριχος ἔτι ζῶντος Στελίχωνος μ' κεντηνάρια μισθὸν ἔλαβε τῆς ἐκστρατείας. [Conf. Zosimus 5, 26, 3; 29, 14.]

6 Ὅτι μετὰ θάνατον Στελίχωνος ἀναιρεῖται ἐναποπνιγεῖσα καὶ Σερῆνα ἡ τούτου γυνή, αἰτία νομισθεῖσα τῆς ἐπὶ Ῥώμην ἐφόδου Ἀλαρίχου· ἀναιρεῖται δὲ πρότερον μετὰ τὴν ἀναίρεσιν Στελίχωνος ὁ ταύτης κἀκείνου παῖς Εὐχέριος. [Conf. Zosimus 5, 38.]

7 Ὅτι τὸ βουκελλάριος ὄνομα ἐν ταῖς ἡμέραις Ὀνωρίου ἐφέρετο κατὰ στρατιωτῶν οὐ μόνον Ῥωμαίων, ἀλλὰ καὶ Γότθων τινῶν· ὡς δ' αὔτως καὶ τὸ φοιδεράτων κατὰ διαφόρου καὶ συμμιγοῦς ἐφέρετο πλήθους.

8 Ὅτι Ὀλύμπιος ὁ ἐπιβουλεύσας Στελίχωνα μάγιστρος τῶν ὀφφικίων γέγονεν, εἶτα ἐξέπεσε τῆς ἀρχῆς, εἶτα πάλιν ἐπέβη ταύτης, ἔπειτα ἐξέπεσεν, εἶτα ἐκπεσὼν ῥοπάλοις ὕστερον ὑπὸ Κωνσταντίου, ὃς ἠγάγετο Πλακιδίαν, παιόμενος ἀναιρεῖται, τὰς ἀκοὰς πρότερον ἐκκοπείς· καὶ ἡ δίκη τὸν ἀνοσιουργὸν εἰς τέλος οὐκ ἀφῆκεν ἀτιμώρητον.

9 Ὅτι τῶν μετὰ Ῥοδογάϊσον Γότθων οἱ κεφαλαιῶται ὀπτίματοι ἐκαλοῦντο, εἰς δώδεκα συντείνοντες χιλιάδας, οὓς καταπολεμήσας Στελίχων Ῥοδογάϊσον προσηταιρίσατο. [Conf. Zosimus 5, 26, 4, Orosius 7, 27, Iordanes De success. regn. c. 95. Deinde quae Zosimus 5, 27, nominato Olympiodoro habet, vide post Exc. Photii.]

10 Ὅτι Ἀλαρίχου νόσῳ τελευτήσαντος διάδοχος αὐτοῦ Ἀδαοῦλφος καθίσταται ὁ τῆς γυναικὸς ἀδελφός.

11 Ὅτι τὸν ξηρὸν ἄρτον βουκελλάτον ὁ συγγραφεὺς καλεῖσθαί φησι, καὶ χλευάζει τὴν τῶν στρατιωτῶν ἐπωνυμίαν, ὡς ἐκ τούτου βουκελλαρίων ἐπικληθέντων.

12 Ὅτι Κωνσταντῖνος εἰς τυραννίδα ἀρθεὶς πρεσβεύεται πρὸς Ὁνώριον, ἄκων μὲν καὶ ὑπὸ τῶν στρατιωτῶν βιασθεὶς ἀπολογούμενος ἄρξαι, συγγνώμην δὲ αἰτῶν καὶ τὴν τῆς βασιλείας ἀξιῶν κοινωνίαν· καὶ βασιλεὺς διὰ τὰ ἐνεστηκότα δυσχερῆ τέως καταδέχεται τὴν τῆς βασιλείας κοινωνίαν. κατὰ τὰς Βρεττανίας δὲ ὁ Κωνσταντῖνος ἐτύγχανεν ἀνηγορευμένος, στάσει τῶν ἐκεῖσε στρατιωτῶν εἰς ταύτην ἀνηγμένος τὴν ἀρχήν. καὶ γὰρ ἐν ταύταις ταῖς Βρεττανίαις, πρὶν ἢ Ὁνώριον τὸ ἕβδομον ὑπατεῦσαι, εἰς στάσιν ὁρμῆσαν τὸ ἐν αὐταῖς στρατιωτικὸν Μάρκον τινὰ ἀνεῖπον αὐτοκράτορα· τοῦ δὲ ὑπ' αὐτῶν ἀναιρεθέντος, Γρατιανὸς αὐτοῖς ἀντικαθίσταται. ἐπεὶ δὲ καὶ οὗτος εἰς τετράμηνον αὐτοῖς προσκορὴς γεγονὼς ἀπεσφάγη, Κωνσταντῖνος τότε εἰς τὸ τοῦ αὐτοκράτορος ἀναβιβάζεται ὄνομα. οὗτος Ἰουστῖνον καὶ Νεοβιγάστην στρατηγοὺς προβαλόμενος, καὶ τὰς Βρεττανίας ἐάσας, περαιοῦται ἅμα τῶν αὑτοῦ ἐπὶ Βονωνίαν, πόλιν οὕτω καλουμένην, παραθαλασσίαν καὶ πρώτην ἐν τοῖς τῶν Γαλλιῶν ὁρίοις κειμένην. ἔνθα διατρίψας, καὶ ὅλον τὸν Γάλλον καὶ Ἀκυτανὸν στρατιώτην ἰδιοποιησάμενος, κρατεῖ πάντων τῶν μερῶν τῆς Γαλατίας μέχρι τῶν Ἄλπεων τῶν μεταξὺ Ἰταλίας τε καὶ Γαλατίας. οὗτος δύο παῖδας ἔσχε, Κώνσταντα καὶ Ἰουλιανόν, ὧν τὸν μὲν Κώνσταντα Καίσαρα χειροτονεῖ, εἶτα ὕστερον κατὰ τὰς αὐτὰς

ἡμέρας καὶ τὸν Ἰουλιανὸν νωβελίσσιμον. [Conf. Zosimus 6, 2, ubi Iustinianum et Neviogastum ponit pro Iustino et Neovigaste.]

13 Ὅτι Ἄτταλος βασιλεύσας κατὰ Ὁνωρίου ἐπὶ Ῥάβενναν ἐκστρατεύεται, καὶ πέμπεται πρὸς αὐτόν, ὡς ἐκ βασιλέως Ὁνωρίου πρὸς βασιλέα, Ἰοβιανὸς ἔπαρχος καὶ πατρίκιος, καὶ Οὐάλης στρατηγὸς ἑκατέρας δυνάμεως, καὶ Ποτάμιος ὁ κυαίστωρ, καὶ Ἰουλιανὸς πριμικήριος τῶν νοταρίων· οἳ ἐδήλουν Ἀττάλῳ ἐπὶ κοινωνίᾳ τῆς βασιλείας ἀπεστάλθαι παρὰ Ὁνωρίου. ὁ δὲ ἀπένευσεν, ἀλλὰ νῆσον οἰκεῖν ἢ ἕτερόν τινα τόπον, ὃν ἂν βούλοιτο, συγχωρεῖν Ὁνώριον, κακῶν ἀπαθῆ. ἀποκρίνεται δὲ Ἰοβιανὸς ἡσθείς, ἐπαγγελλόμενος καὶ σινῶσαι καθ' ἑνὸς μέλους τὸν βασιλέα Ὁνώριον. ἐφ' ᾧ ἐπετίμησεν Ἄτταλος Ἰοβιανῷ, ὡς οὐδενὸς ἔθους ὄντος σινοῦσθαι βασιλέα ἑκοντὶ τὴν βασιλείαν ἀποτιθέμενον. ἀλλὰ Ἰοβιανὸς μὲν πολλάκις πρεσβεύσας, καὶ μηδὲν ἀνύσας, καταμένει πρὸς Ἄτταλον, πατρίκιος Ἀττάλου ὀνομασθείς, μετέρχεται δὲ κατὰ τὴν Ῥάβενναν ἐπὶ τὸν πραιπόσιτον Εὐσέβιον ἡ δυναστεία. ὃς μετὰ ἱκανὸν χρόνον Ἀλλοβίχου ἐπηρείᾳ καὶ ὑποθήκῃ δημοσίᾳ καὶ ἐπ' ὄψεσι τοῦ βασιλέως ῥάβδοις ἀναιρεῖται. χρόνος ἐρρευσεν ἱκανός, καὶ μὴ πειθόμενος Ἄτταλος Ἀλαρίχῳ, σπουδῇ δὲ μάλιστα Ἰοβιανοῦ, ὃς ἦν τὴν Ὁνωρίου πρεσβείαν προδεδωκώς, καθαιρεῖται τῆς βασιλείας, καὶ μένει τὸν ἰδιώτην παρὰ Ἀλαρίχῳ βίον ἀνθηρημένος. ἔπειτα μετὰ χρόνον τινὰ βασιλεύει, εἶτα καθαιρεῖται. καὶ μετὰ ταῦτα ὕστερον ἐπὶ Ῥάβενναν παραγεγονώς, καὶ τοὺς τῆς δεξιᾶς χειρὸς δακτύλους ἀκρωτηριασθείς, ἐξορίᾳ παραπέμπεται. [Conf. Zosimus 6, 8 seqq.; Sozom. 9, 8, 12.]

14 Ὅτι Ἀλλόβιχος μετὰ βραχύ, τὴν ἐφ' ᾧ τὸν πραιπόσιτον Εὐσέβιον ἀνεῖλε δίκην τιννύς, γνώμῃ τοῦ βασιλέως κατὰ πρόσωπον αὐτοῦ ἀναιρεῖται· καὶ Κωνσταντῖνος ὁ τύραννος τὸν Ἀλλοβίχου θάνατον μαθών, ἐπειγόμενος πρὸς Ῥάβενναν, ὥστε σπείσασθαι Ὁνωρίῳ, φοβηθεὶς ὑποστρέφει.

15 Ὅτι τὸ Ῥήγιον μητρόπολίς ἐστι τῆς Βρεττίας, ἐξ οὗ φησιν ὁ ἱστορικὸς Ἀλάριχον ἐπὶ Σικελίαν βουλόμενον περαιωθῆναι ἐπισχεθῆναι· ἄγαλμα γάρ φησι τετελεσμένον ἱστάμενον ἐκώλυσε τὴν περαίωσιν. τετέλεστο δέ, ὡς μυθολογεῖ, παρὰ τῶν ἀρχαίων ἀποτρόπαιόν τε τοῦ ἀπὸ τῆς Αἴτνης πυρὸς καὶ πρὸς κώλυσιν παρόδου διὰ θαλάσσης βαρβάρων· ἐν γὰρ τῷ ἑνὶ ποδὶ πῦρ ἀκοίμητον ἐτύγχανε, καὶ ἐν τῷ ἑτέρῳ ὕδωρ ἀδιάφθορον. οὗ καταλυθέντος ὕστερον ἔκ τε τοῦ Αἰτναίου πυρὸς καὶ ἐκ τῶν βαρβάρων βλάβας ἡ Σικελία ἐδέξατο. κατέστρεψε δὲ τὸ ἄγαλμα Ἀσκληπιὸς ὁ τῶν ἐν Σικελίᾳ κτημάτων Κωνσταντίου καὶ Πλακιδίας διοικητὴς καταστάς.

16 Ὅτι Κωνσταντίνου τοῦ τυράννου καὶ Κώνσταντος τοῦ παιδός, ὃς πρότερον μὲν Καῖσαρ, ἔπειτα δὲ καὶ βασιλεὺς ἐκεχειροτόνητο, τούτων ἡττηθέντων καὶ πεφευγότων, Γερόντιος ὁ στρατηγός, τὴν πρὸς τοὺς βαρβάρους ἀσμενίσας εἰρήνην, Μάξιμον τὸν ἑαυτοῦ παῖδα, εἰς τὴν τῶν δομεστίκων τάξιν τελοῦντα, βασιλέα ἀναγορεύει· εἶτα ἐπιδιώξας Κώνσταντα κατεπράξατο ἀναιρεθῆναι, καὶ κατὰ πόδας εἵπετο διώκων καὶ τὸν πατέρα Κωνσταντῖνον. ἐν ᾧ δὲ ταῦτα ἐγίνετο, Κωνστάντιος καὶ Οὐλφιλᾶς ἀποστέλλονται παρὰ Ὁνωρίου κατὰ Κωνσταντίνου, καὶ καταλαβόντες τὴν Ἀρήλατον, ἔνθα τὰς διατριβὰς ἐποιεῖτο Κωνσταντῖνος σὺν Ἰουλιανῷ τῷ παιδί, ταύτην πο-

λιορκοῦσι. καὶ Κωνσταντῖνος καταφυγὼν εἰς εὐκτήριον πρεσβύτερος τότε χειροτονεῖται, ὅρκων αὐτῷ ὑπὲρ σωτηρίας δοθέντων· καὶ τοῖς πολιορκοῦσιν αἱ πύλαι τῆς πόλεως ἀναπετάννυνται. καὶ πέμπεται σὺν τῷ υἱῷ Κωνσταντῖνος πρὸς Ὁνώριον· ὁ δὲ μνησικακῶν αὐτοῖς ὑπὲρ τῶν ἀνεψιῶν αὐτοῦ, οὓς ἐτύγχανε Κωνσταντῖνος ἀνελών, πρὸ τριάκοντα τῆς Ῥαβέννης μιλίων παρὰ τοὺς ὅρκους προστάττει τούτους ἀναιρεθῆναι. Γερόντιος δέ, παραγενομένων Οὐλφιλᾶ καὶ Κωνσταντίου, φεύγει· καὶ καταληφθείς, ὅτι ἐγκρατῶς ἦρχε τοῦ οἰκείου στρατοῦ, ὑπ' αὐτῶν ἐκείνων ἐπιβουλεύεται· πῦρ γὰρ κατὰ τῆς οἰκίας αὐτοῦ ἀνῆψαν. ὁ δὲ πρὸς τοὺς ἐπαναστάντας κρατερῶς ἐμάχετο, ἕνα συναγωνιστὴν ἔχων Ἀλανὸν τὸ γένος, εἰς δούλους αὐτοῦ ἀριθμούμενον. τέλος τόν τε Ἀλανὸν καὶ τὴν γυναῖκα, τοῦτο προθυμουμένους, ἀναιρεῖ, ἐπικατασφάζει δὲ καὶ ἑαυτόν. Μάξιμος δὲ ὁ παῖς ταῦτα μαθὼν πρὸς τοὺς ὑποσπόνδους φεύγει βαρβάρους. [Conf. Sozom. 9, 14.]

17 Ὅτι Ἰοβῖνος ἐν Μουνδιακῷ (Μογουντιακῷ Hoeschel.) τῆς ἑτέρας Γερμανίας κατὰ σπουδὴν Γώαρ τοῦ Ἀλανοῦ καὶ Γυντιαρίου, ὃς φύλαρχος ἐχρημάτιζε τῶν Βουργουντιόνων, τύραννος ἀνηγορεύθη. πρὸς ὃν παραγενέσθαι Ἄτταλος Ἀδαοῦλφον παραινεῖ· καὶ παραγίνεται ἅμα τοῦ πλήθους. καὶ Ἰοβῖνος ἀνιᾶται ἐπὶ τῇ Ἀδαούλφου παρουσίᾳ, καὶ μέμφεται δι' αἰνιγμάτων τῷ παραινέσαντι Ἀττάλῳ τὴν ἄφιξιν. καὶ Σάρος δὲ ἔμελλε πρὸς Ἰοβῖνον παραγενέσθαι· ἀλλ' Ἀδαοῦλφος τοῦτο μαθὼν προϋπαντιάζει, χιλιάδας δέκα συνεπαγόμενος στρατιώτην, ἔχοντι ἄνδρας περὶ αὐτὸν [Ἀσάρῳ addit corr. A. Σάρῳ Nieb. Sed haud dubie nomen ex margine illatum: cum praecedenti στρα-

τιώτην, quod olim scribebatur *στρατιώτῃ*, conf. *στρατιώτην* supra p. 453, 28] *ὀκτωκαίδεκα ἢ καὶ εἴκοσιν. ὃν ἔργα ἡρωικὰ καὶ θαυμάσαι ἄξια ἐπιδειξάμενον μόλις σόκκοις ἐξώγρησαν, καὶ ὕστερον ἀναιροῦσι. Σάρος δ' ἦν ἀποστὰς Ὁνωρίου, ὅτι Βελλερίδου, ὃς ἦν αὐτῷ δομέστικος, ἀναιρεθέντος οὐδεὶς λόγος τῷ βασιλεῖ τῆς ἀναιρέσεως οὐδὲ τοῦ φόνου γίνεται εἴσπραξις.*

Ὅτι διαλαμβάνει περὶ Δονάτου καὶ περὶ τῶν 18
Οὔννων, καὶ περὶ τῶν ῥηγῶν αὐτῶν τῆς εὐφυεστάτης τοξείας, καὶ ὡς πρὸς αὐτοὺς καὶ Δονάτον ὁ ἱστορικὸς ἐπρέσβευσε· καὶ τὴν διὰ θαλάσσης αὐτοῦ πλάνην ἐκτραγῳδεῖ καὶ τὸν κίνδυνον, καὶ ὅπως ὅρκῳ Δονάτος ἀπατηθεὶς ἐκθέσμως ἀποσφάζεται, καὶ ὅπως Χαράτων ὁ τῶν ῥηγῶν πρῶτος ἐπὶ τῷ φόνῳ εἰς θυμὸν ἀνάπτεται, ὅπως τε πάλιν βασιλικοῖς δώροις διαπραΰνεται καὶ ἡσυχάζει. ἐν οἷς καὶ ἡ πρώτη τῆς ἱστορίας δεκάλογος.

Ἄρχεται δὲ ἡ δευτέρα ὧδε, ὅτι Ἰοβῖνος παρὰ 19
γνώμην Ἀδαούλφου τὸν ἴδιον ἀδελφὸν Σεβαστιανὸν βασιλέα χειροτονήσας εἰς ἔχθραν Ἀδαούλφῳ κατέστη. καὶ πέμπει Ἀδαοῦλφος πρὸς Ὁνώριον πρέσβεις, ὑποσχόμενος τάς τε τῶν τυράννων κεφαλὰς καὶ εἰρήνην ἄγειν. ὧν ὑποστρεψάντων καὶ ὅρκων μεσιτευσάντων, Σεβαστιανοῦ μὲν πέμπεται τῷ βασιλεῖ ἡ κεφαλή, Ἰοβῖνος δὲ ὑπὸ Ἀδαούλφου πολιορκούμενος ἑαυτὸν ἐκδίδωσι, καὶ πέμπεται κἀκεῖνος τῷ βασιλεῖ, ὃν αὐθεντήσας Δάρδανος ὁ ἔπαρχος ἀναιρεῖ. καὶ ἀποτίθενται ἄμφω αἱ κεφαλαὶ Καρθαγένης (*Ῥαβέννης* Schottus) *ἔξωθεν, ἔνθα καὶ ἡ Κωνσταντίνου καὶ ἡ Ἰουλιανοῦ ἀπετμήθησαν πρότερον, ἥ τε Μαξιμίνου* (*Μαξίμου* Nieb.) *καὶ ἡ Εὐγενίου, οἳ ἐπὶ Θεοδοσίου τοῦ*

μεγάλου τυραννίδι ἐπιθέμενοι εἰς τοῦτο τέλους κατέστρεψαν.

20 *Ἀδαοῦλφος δὲ Πλακιδίαν ἀπῃτεῖτο κατὰ σπουδὴν μάλιστα Κωνσταντίου, ὃς ὕστερον αὐτῇ καὶ εἰς γάμους ἔζευξεν· ἀλλὰ τῶν πρὸς Ἀδαοῦλφον ὑποσχέσεων μὴ περαινομένων, καὶ μάλιστα τῆς σιτοπομπίας, οὔτε ταύτην ἀπεδίδου καὶ εἰς μάχην ἐμελέτα τὰ τῆς εἰρήνης διαλύεσθαι.*

21 *Ὅτι Ἀδαοῦλφος ἀπαιτούμενος Πλακιδίαν ἀνταπήτει τὸν ὁρισθέντα σῖτον. ἀπόρων δ' ὄντων τῶν ὑποσχομένων εἰς τὸ δοῦναι, οὐδὲν δὲ ἧττον ὁμολογούντων, εἰ λάβοιεν Πλακιδίαν, παρασχεῖν, καὶ ὁ βάρβαρος τὰ ὅμοια ὑπεκρίνετο, καὶ πρὸς Μασσαλίαν, πόλιν οὕτω καλουμένην, παραγενόμενος, δόλῳ ταύτην λαβεῖν ἤλπιζεν. ἔνθα πληγεὶς Βονηφατίου τοῦ γενναιοτάτου βαλόντος, καὶ μόλις τὸν θάνατον διαφυγών, εἰς τὰς οἰκείας ὑπεχώρησε σκηνάς, τὴν πόλιν ἐν εὐθυμίᾳ λιπὼν καὶ δι' ἐπαίνων καὶ εὐφημίας ποιουμένην Βονηφάτιον.*

22 *Ὅτι Ἀδαοῦλφος τὸν γάμον μελετῶν Πλακιδίας, Κωνσταντίου ταύτην ἀπαιτοῦντος, βαρυτέρας προύτεινεν αἰτήσεις, ἵνα διὰ τὴν ἀποτυχίαν τῶν αἰτήσεων εὔλογον δόξῃ τὴν κατάσχεσιν αὐτῆς πεποιηκέναι.*

23 *Ὅτι Κωνστάντιος δισίγνατος πάλαι γεγονὼς ὕπατος κατὰ τὴν Ῥάβενναν προέρχεται, μεθ' οὗ κατὰ τὴν Κωνσταντινούπολιν ὑπατεύει Κώνστας· καὶ χρυσίον μὲν σύμμετρον καὶ ἱκανὸν πρὸς τὸ τῆς ὑπατείας ἀνάλωμα εὕρηται ἐκ τῶν τοῦ Ἡρακλειανοῦ, ὃς τυραννίδα μελετῶν ἀνῄρηται, οὐ μήν γε τοσοῦτον εὑρέθη ὅσον καὶ ἠλπίζετο. χρυσίον μὲν γὰρ οὐδὲ μέχρι κεντηναρίων κʹ εὕρηται· ἡ δὲ ἀκίνητος*

αὐτοῦ οὐσία καὶ αὐτὴ εἰς δισχιλίας λίτρας συνέτεινε. καὶ ταύτην ἅπασαν τὴν ὑπόστασιν Κωνστάντιος ἐκ μιᾶς αἰτήσεως παρὰ Ὁνωρίου εἰλήφει. ἦν δὲ Κωνστάντιος ἐν μὲν ταῖς προόδοις κατηφὴς καὶ σκυθρωπός, μεγαλόφθαλμός τε καὶ μεγαλαύχην καὶ πλατυκέφαλος, νεύων διόλου ἐπὶ τὸν τράχηλον τοῦ φέροντος αὐτὸν ἵππου, καὶ οὕτω τῇδε κἀκεῖσε λοξὸν ἐκπέμπων τὸ ὄμμα, ὡς τὸ τοῦ λόγου πᾶσι φαίνεσθαι "εἶδος ἄξιον τυραννίδος." ἐν δὲ δείπνοις καὶ συμποσίοις τερπνὸς καὶ πολιτικός, ὡς καὶ ἐρίζειν τοῖς μίμοις πολλάκις παίζουσι πρὸ τῆς τραπέζης.

Ὅτι Ἀδαούλφῳ σπουδῇ καὶ ὑποθήκῃ Κανδιδια- 24
νοῦ ὁ πρὸς Πλακιδίαν συντελεῖται γάμος, μὴν ὁ Ἰανουάριος ἐνειστήκει, ἐπὶ δὲ τῆς πόλεως Νάρβωνος, ἐν οἰκίᾳ Ἰγγενίου τινὸς πρώτου τῶν ἐν τῇ πόλει· ἔνθα προκαθεσθείσης Πλακιδίας ἐν παστάδι τε ῥωμαϊκῶς ἐσκευασμένῃ καὶ σχήματι βασιλικῷ συγκαθέζεται αὐτῇ καὶ Ἀδαοῦλφος, ἐνδεδυμένος χλανίδα καὶ τὴν ἄλλην Ῥωμαίων ἐσθῆτα. ἐν οἷς μετὰ τῶν ἄλλων γαμικῶν δώρων δωρεῖται Ἀδαοῦλφος καὶ ν′ εὐειδεῖς νεανίας σηρικὴν ἐνδεδυμένους ἐσθῆτα, φέροντος ἑκάστου ταῖς χερσὶν ἀνὰ δύο μεγίστων δίσκων, ὧν ὁ μὲν χρυσίου πλήρης, ὁ δὲ τιμίων λίθων, μᾶλλον δὲ ἀτιμήτων, ἐτύγχανεν, ἃ τῆς Ῥώμης ὑπῆρχε κατὰ τὴν ἅλωσιν τοῖς Γότθοις ἀποσυληθέντα. εἶτα λέγονται καὶ ἐπιθαλάμιοι, Ἀττάλου πρῶτον εἰπόντος, εἶτα Ῥουστικίου καὶ Φοιβαδίου· καὶ συντελεῖται ὁ γάμος παιζόντων καὶ χαιρόντων ὁμοῦ τῶν τε βαρβάρων καὶ τῶν ἐν αὐτοῖς Ῥωμαίων.

Ὅτι μετὰ τὴν ὑπὸ Γότθων ἅλωσιν τῆς Ῥώμης 25
Ἀλβῖνος ὁ τῆς Ῥώμης ἔπαρχος, ἤδη ταύτης πάλιν ἀποκαθισταμένης, ἔγραψε μὴ ἐξαρκεῖν τὸ χορηγού-

μενον μέρος τῷ δήμῳ, εἰς πλῆθος ἤδη τῆς πόλεως ἐπιδιδούσης· ἔγραψε γὰρ καὶ ἐν μιᾷ ἡμέρᾳ τετέχθαι ἀριθμὸν χιλιάδων δεκατεσσάρων.

26 *Ὅτι Ἀδαοῦλφος, τεχθέντος αὐτῷ ἐκ τῆς Πλακιδίας παιδός, ᾧ ἐπέθετο κλῆσιν Θεοδόσιον, πλέον ἠσπάζετο τὴν πρὸς Ῥωμαίους φιλίαν· Κωνσταντίου δὲ καὶ τῶν περὶ Κωνστάντιον ἀντιπραττόντων, ἔμενεν ἄπρακτος ἡ τούτου καὶ Πλακιδίας ὁρμή. τελευτήσαντος δὲ τοῦ παιδός, πένθος μέγα ποιοῦσιν ἐπ' αὐτῷ, καὶ θάπτουσιν ἐν λάρνακι καταθέντες ἀργυρᾷ πρὸ τῆς Βαρκέλλωνος ἔν τινι εὐκτηρίῳ. εἶτα ἀναιρεῖται καὶ Ἀδαοῦλφος, εἰς ἐπιτήρησιν τῶν οἰκείων ἵππων, ὡς εἴθιστο αὐτῷ, διατρίβων ἐν τῷ ἱππῶνι. ἀναιρεῖ δὲ αὐτὸν εἷς τῶν οἰκείων Γότθων, Δούβιος τοὔνομα, ἔχθραν παλαιὰν καιροφυλακήσας· πάλαι γὰρ ἦν ὁ τούτου δεσπότης, μοίρας Γοτθικῆς ῥήξ, ὑπὸ Ἀδαούλφου ἀνῃρημένος, ἐξ οὗ καὶ τὸν Δούβιον λαβὼν Ἀδαοῦλφος ᾠκειώσατο· ὁ δὲ τῷ πρώτῳ δεσπότῃ ἀμύνων τὸν δεύτερον διεχρήσατο. τελευτῶν δὲ Ἀδαοῦλφος προσέταττε τῷ ἰδίῳ ἀδελφῷ ἀποδοῦναι τὴν Πλακιδίαν, καὶ εἴτι δύναιντο, τὴν Ῥωμαίων φιλίαν ἑαυτοῖς περιποιήσασθαι. διάδοχος δὲ ὁ τοῦ Σάρου ἀδελφὸς Σιγγέριχος σπουδῇ μᾶλλον καὶ δυναστείᾳ ἢ ἀκολουθίᾳ καὶ νόμῳ γίνεται. ὃς τά τε παιδία, ἃ ἐκ τῆς προτέρας γυναικὸς ἐτύγχανεν Ἀδαούλφῳ γεγεννημένα, ἀνεῖλε, βίᾳ τῶν τοῦ ἐπισκόπου Σιγησάρου κόλπων ἀποσπάσας, καὶ τὴν βασιλίδα Πλακιδίαν εἰς ὕβριν Ἀδαούλφου ἐκ ποδὸς προηγήσασθαι τοῦ ἵππου ἅμα λοιπῶν αἰχμαλώτων ἐπέταξε· καὶ τὸ διάστημα ἦν τῆς προπομπῆς ἐκ τῆς πόλεως μέχρι δωδεκάτου σημείου. ἑπτὰ δὲ ἡμέρας ἄρξας ἀναιρεῖται, ἡγεμὼν δὲ τῶν Γότθων Οὐαλίας καθίσταται.*

Ὅτι ὁ ἱστορικός φησι παρὰ Οὐαλερίου τινὸς τῶν ἐπισήμων ἀκοῦσαι περὶ ἀνδριάντων ἀργυρῶν τετελεσμένων εἰς βαρβάρων ἀποκώλυσιν. ἐν γὰρ ταῖς ἡμέραις, φησί, Κωνσταντίου τοῦ βασιλέως, ἐν τῇ Θρᾴκῃ Οὐαλερίου ἄρχοντος, μήνυσις γέγονεν ὡς θησαυρὸς εὑρεθείη. Οὐαλέριος δὲ παρὰ τὸν τόπον παραγενόμενος μανθάνει παρὰ τῶν ἐπιχωρίων ἱερὸν εἶναι τὸν τόπον, καὶ ἐξ ἀρχαίας τελετῆς ἀνδριάντας ἐν αὐτῷ ἀφιερῶσθαι. εἶτα ἀναφέρει ταῦτα τῷ βασιλεῖ, καὶ δέχεται γράμμα ἐπιτρέπον αὐτῷ ἀναλαβεῖν τὰ μηνυθέντα. ἀνορυχθέντος τοίνυν τοῦ τόπου εὑρίσκονται τρεῖς ἀνδριάντες διόλου ἐξ ἀργύρου πεποιημένοι, ἐν σχήματι βαρβαρικῷ κατακείμενοι καὶ ἐξηγκωνισμένοι κατ' ἀμφοῖν ταῖν χεροῖν, ἐνδεδυμένοι δὲ βάρβαρον πεποικιλμένην ἐσθῆτα, καὶ κομῶντες τὰς κεφαλάς, νεύοντες ἐπὶ τὸ ἀρκτῷον μέρος, τουτέστι κατὰ τοῦ βαρβαρικοῦ χώρου. ὧν ἀνδριάντων ἀναληφθέντων, πάραυτα καὶ μετ' ὀλίγας ἡμέρας πρῶτον μὲν τὸ Γότθων ἔθνος πᾶσαν ἐπιτρέχει τὴν Θρᾴκην, ἔμελλε δὲ μικρὸν ὕστερον καὶ τὸ τῶν Οὔννων καὶ τὸ τῶν Σαρματῶν καταδραμεῖσθαι τό τε Ἰλλυρικὸν καὶ αὐτὴν τὴν Θρᾴκην· ἐν μέσῳ γὰρ αὐτῆς τε Θρᾴκης καὶ τοῦ Ἰλλυρικοῦ κατέκειτο τὰ τῆς τελετῆς, καὶ ἐῴκει τῶν τριῶν ἀνδριάντων ὁ ἀριθμὸς κατὰ παντὸς ἔθνους τετελέσθαι βαρβάρου. 27

Ὅτι ὁ ἱστορικὸς περὶ τοῦ οἰκείου διαλαμβάνων διάπλου πολλὰ παθεῖν καὶ δυστυχῆσαί φησι. λέγει δὲ καὶ εἰς τὰς Ἀθήνας καταῖραι, καὶ τῇ αὐτοῦ σπουδῇ καὶ ἐπιμελείᾳ εἰς τὸν σοφιστικὸν θρόνον ἀναχθῆναι Λεόντιον οὔπω ἐθέλοντα. λέγει δὲ καὶ περὶ τοῦ τρίβωνος, ὡς οὐκ ἐξῆν κατὰ τὰς Ἀθήνας περιβαλέσθαι αὐτόν τινα, καὶ μάλιστα ξένον, ᾧ μὴ τῶν σοφιστῶν 28

ἡ γνώμη ἐπέτρεπε καὶ αἱ κατὰ τοὺς σοφιστικοὺς νόμους τελεταὶ ἐβεβαίουν τὸ ἀξίωμα. ἦν δὲ τὰ τελούμενα τοιαῦτα. πρῶτον μὲν κατήγοντο ἐπὶ τὸ δημόσιον βαλανεῖον ὅσοι νεήλυδες, ἄν τε μικροὶ ἄν τε μεγάλοι. ἐξ ὧν καὶ οἱ πρὸς τὸν τρίβωνα ἐπιτήδειοι, ἡλικίας ἤδη καιροῦ γεγονότες, οὓς εἰς μέσον ἔβαλλον οἱ κατάγοντες σχολαστικοί. εἶτα τῶν μὲν ἔμπροσθεν τρεχόντων καὶ κωλυόντων, τῶν δὲ ὠθούντων καὶ ἐπεχόντων, πάντων δὲ τῶν κωλυόντων ταῦτα βοώντων· "στᾶ, στᾶ, οὐ λούει", κατακρατεῖν δῆθεν τοῦ ἀγῶνος ἐδόκουν οἱ ἀντωθοῦντες εἰς τιμὴν τοῦ καταγομένου σχολαστικοῦ, ὅστις μετὰ πολλὴν ὥραν, στάσεως πολλῆς ἐπὶ τοῖς προαχθεῖσιν ἐθίμοις ῥήμασι προγενομένης, εἰσάγεται εἰς τὸν θερμὸν οἶκον καὶ ἀπολούεται· εἶτα ἐνδυσάμενος ἐδέχετο τὴν τοῦ τρίβωνος ἐξουσίαν, καὶ αὐτόθεν μετὰ τοῦ τρίβωνος ἐκ τοῦ βαλανείου ἐντίμῳ καὶ περιδόξῳ δορυφορούμενος πομπῇ ἀπῄει, δαπάνας ἐπιγνοὺς φανερὰς εἰς τοὺς τῶν διατριβῶν προστάτας, τοὺς λεγομένους Ἀκρωμίτας.

29 Ὅτι οἱ Οὐάνδαλοι τοὺς Γότθους Τρούλους καλοῦσι διὰ τὸ λιμῷ πιεζομένους αὐτοὺς τροῦλαν σίτου παρὰ τῶν Οὐανδάλων ἀγοράζειν ἑνὸς χρυσίνου· ἡ δὲ τροῦλα οὐδὲ τρίτον ξέστου χωρεῖ.

30 Ὅτι κατὰ τὰς Ἱσπανίας τῶν Οὐανδάλων καταδραμόντων, καὶ τῶν Ῥωμαίων εἰς τὰς τετειχισμένας πόλεις καταφυγόντων, τοσοῦτος αὐτῶν λιμὸς κατεκράτησεν ὡς εἰς ἀλληλοφαγίαν ἐκβιασθῆναι. καὶ γυνὴ τέσσαρα τέκνα ἔχουσα πάντα κατέφαγε, πρόφασιν ἐφ' ἑκάστου ποιουμένη τὴν τῶν ὑπολοίπων τροφὴν καὶ σωτηρίαν, ἕως ἂν πάντα καταφαγοῦσα λίθοις ὑπὸ τοῦ δήμου ἀνῃρέθη.

31 Ὅτι Εὐπλούτιος ὁ μαγιστριανὸς πρὸς Οὐάλιον (infra Οὐαλίας), ὃς τῶν Γότθων ἐχρημάτιξε φύλαρχος, ἀποστέλλεται ἐφ' ᾧ σπονδάς τε θέσθαι εἰρηνικὰς καὶ ἀπολαβεῖν τὴν Πλακιδίαν· ὁ δὲ ἑτοίμως δέχεται. καὶ ἀποσταλέντος αὐτῷ σίτου ἐν μυριάσιν ἑξήκοντα ἀπολύεται Πλακιδία παραδοθεῖσα Εὐπλουτίῳ πρὸς Ὁνώριον τὸν οἰκεῖον αὐτῆς ἀδελφόν.

32 Ὅτι ζητήματος ἐν ταῖς Ἀθήναις ἀνακύψαντος περὶ τῶν κεκωλισμένων βιβλίων μαθεῖν τοῖς ἐπιζητοῦσι τὸ μέτρον τοῦ κώλου, Φιλτάτιος ὁ τοῦ ἱστορικοῦ ἑταῖρος, εὐφυῶς περὶ γραμματικὴν ἔχων, τοῦτο ἐπέδειξε, καὶ εὐδοκιμήσας τυγχάνει παρὰ τῶν πολιτῶν εἰκόνος.

33 Ὅτι περὶ τῆς Ὀάσεως ὁ συγγραφεὺς πολλὰ παραδοξολογεῖ, περί τε τῆς εὐκρασίας αὐτῆς καὶ ὅτι οἱ τὴν ἱερὰν νόσον ἔχοντες οὐ μόνον ἐκεῖσε οὐ γίνονται, ἀλλὰ καὶ ἀλλαχόθεν παραγινόμενοι ἀπαλλάττονται τοῦ νοσήματος διὰ τὴν τοῦ ἀέρος εὐκρασίαν. καὶ περὶ τῆς ψάμμου τῆς πολλῆς ἐκείνης καὶ τῶν ὀρυσσομένων φρεάτων, ὡς εἰς διακοσίους καὶ τριακοσίους, ἔσθ' ὅτε δὲ καὶ εἰς πεντακοσίους πήχεις ὀρυσσόμενα ἀναβλύζουσι τὸ ῥεῖθρον, αὐτοῦ τοῦ στομίου προχεόμενον· ἐξ οὗ κατὰ διαδοχὴν ἀρυόμενοι, ὅσοις κοινὸν γέγονε τὸ ἔργον, τὰς οἰκείας ἀρούρας ποτίζουσιν οἱ γεωργοί. καὶ ὅτι αἱ ὀπῶραι ἀεὶ τοῖς δένδρεσι φέρονται, καὶ ὅτι ὁ σῖτος παντὸς κρείττων σίτου καὶ χιόνος λευκότερος, καὶ ὅτι ἔσθ' ὅτε δὶς τοῦ ἔτους σπείρεται ἡ κριθή, τρὶς δὲ ἀεὶ ἡ κέγχρος. ἀρδεύουσι δὲ τὰ γήδια αὐτῶν ἐν θέρει μὲν διὰ τρίτης ἡμέρας, ἐν χειμῶνι δὲ διὰ ἕκτης, ἐξ οὗ καὶ ἡ εὐφορία γίνεται. καὶ ὅτι οὐδέποτε συννεφία γίνεται. καὶ περὶ τῶν ποιουμένων αὐτοῖς ὡρολογίων. λέγει

δὲ ὅτι νῆσος τὸ παλαιὸν ἦν καὶ ἀπεχερσώθη, καὶ ὅτι ταύτην καλεῖ Ἡρόδοτος μακάρων νήσους· Ἡρόδωρος δὲ ὁ τὴν Ὀρφέως καὶ Μουσαίου συγγράψας ἱστορίαν Φαιακίδα ταύτην καλεῖ. τεκμηριοῖ δὲ νῆσον αὐτὴν γεγονέναι ἔκ τε τοῦ ὄστρακα θαλάσσια καὶ ὄστρεα λίθοις τοῦ ὄρους προσπεπλασμένα εὑρίσκεσθαι τοῦ ἐπὶ τὴν Ὄασιν ἀπὸ τῆς Θηβαΐδος φέροντος, δεύτερον ὅτι ψάμαθος πολλὴ ἐπεκχεῖται ἀεί, καὶ τὰς τρεῖς ἀναπληροῖ Ὀάσεις. τρεῖς γάρ φησιν Ὀάσεις καὶ αὐτὸς εἶναι, δύο μεγάλας, τὴν μὲν ἐξωτέρω, τὴν δὲ ἐσωτέρω, καταντικρὺ κειμένας ἀλλήλαις, συντείνοντος εἰς ἑκατὸν σημεῖα τοῦ μεταξὺ διαστήματος· ἔστι δὲ καὶ ἄλλη τρίτη μικρά, πολλῷ διαστήματι τῶν δύο κεχωρισμένη. λέγει δὲ εἰς πίστιν τοῦ νῆσον γενέσθαι ὅτι καὶ ὑπὸ ὀρνέων ὁρᾶσθαι συμβαίνει πολλάκις ἰχθῦς φερομένους καὶ ἰχθύων ἄλλοτε λείψανα, ὡς ἐντεῦθεν εἰκάζεσθαι μὴ πολὺ πόρρω εἶναι τὴν θάλασσαν. φησὶ δὲ καὶ Ὅμηρον ἐκ τῆς πρὸς ταύτῃ Θηβαΐδος ἕλκειν τὸ γένος.

34 Ὅτι ὕπατος ὁ βασιλεὺς Ὁνώριος προελθὼν τὸ ἑνδέκατον, καὶ σὺν αὐτῷ Κωνστάντιος τὸ δεύτερον, τὸν Πλακιδίας γάμον ἐπιτελοῦσιν· ἐφ' ᾧ πολλὰ μὲν αὐτὴ ἀνανεύουσα Κωνστάντιον παρεσκεύασε κατὰ τῶν αὐτῆς ὀργίζεσθαι θεραπόντων. τέλος ἐν τῇ τῆς ὑπατείας ἡμέρᾳ ἀπὸ χειρὸς ταύτην ὁ βασιλεὺς καὶ ἀδελφὸς Ὁνώριος ἄκουσαν λαβὼν ἐγχειρίζει παραδιδοὺς Κωνσταντίῳ, καὶ ἐπιτελεῖται εἰς τὸ λαμπρότατον ὁ γάμος. εἶτα καὶ παῖς αὐτοῖς τίκτεται, ἣν ὀνομάζουσιν Ὁνωρίαν, καὶ ἕτερος πάλιν, ᾧ κλῆσιν ἔθεντο Οὐαλεντινιανός· ὃς ζῶντος μὲν Ὁνωρίου νωβελίσσιμος γίνεται, βιασαμένης τῆς Πλακιδίας τὸν ἀδελφόν, μετὰ δὲ τὸν θάνατον τοῦ βασιλέως, καὶ ἔτι μετὰ τὴν

κατάλυσιν τοῦ τυραννήσαντος Ἰωάννου, καὶ Ῥώμης βασιλεὺς ἀποδείκνυται. ὁ δὲ Κωνστάντιος συμβασιλεύει τῷ Ὀνωρίῳ, αὐτοῦ μὲν χειροτονοῦντος, ἀλλὰ σχεδόν τι ἄκοντος. χειροτονεῖται δὲ καὶ ἡ Πλακιδία Αὐγούστα, τοῦ τε ἰδίου ἀδελφοῦ καὶ τοῦ ἰδίου ἀνδρὸς χειροτονησάντων. εἶτα πέμπεται πρὸς Θεοδόσιον, ὃς ἀδελφιδοῦς ὢν Ὀνωρίου τῶν πρὸς ἕω μερῶν ἐβασίλευεν, ἡ ἀνάρρησις μηνυομένη τῆς τοῦ Κωνσταντίου βασιλείας, καὶ μένει ἀπαράδεκτος. ἐφίσταται νόσος Κωνσταντίῳ, καὶ μετέμελεν αὐτῷ ἡ βασιλεία, ὅτι οὐκέτι ἦν αὐτῷ ἐπ' ἀδείας, ὥσπερ πρότερον, ἐξιέναι τε καὶ ἀπιέναι ὅπῃ καὶ ὅπως βούλοιτο, καὶ ὅτι οὐκ ἐξῆν αὐτῷ χρῆσθαι βασιλεύοντι οἷς ἔθος εἶχε χρῆσθαι παιγνίοις. τέλος ἑπτὰ βασιλεύσας μῆνας, ὥσπερ αὐτῷ καὶ ὁ ὄνειρος εἶπεν "ἓξ ἤδη πεπλήρωνται καὶ ἄρχονται ἑπτά," πλευριτικῇ νόσῳ τελευτᾷ, συντελευτησάσης αὐτῷ καὶ τῆς κατὰ τὴν ἀνατολὴν ὀργῆς καὶ ὁρμῆς, ἣν ὤδινεν, ὅτι τὴν ἀναγόρευσιν αὐτοῦ τῆς βασιλείας οὐ προσήκαντο.

35 Ὅτι Οὐαλίου τοῦ φυλάρχου τελευτήσαντος Θευδέριχος τὴν ἀρχὴν διαδέχεται.

36 Ὅτι κατὰ θάλασσαν πολλὰ παθὼν ὁ συγγραφεὺς μόλις διασώζεται. ἐν ᾧ καὶ περὶ ἀστέρος τινὸς τερατολογεῖ, ἐπιβρίσαντος τῷ ἱστίῳ τοῦ πλοίου μέλλειν αὐτοὺς βυθίζεσθαι· οὐρανίαν δὲ τὸ φανὲν παρὰ τῶν ναυτῶν καλεῖσθαι. λέγει δὲ περὶ ψιττακοῦ, ᾧ εἴκοσιν ἔτεσι συνδιῆγεν, ὡς σχεδόν τι οὐδὲν τῶν ἀνθρώπῳ πραττομένων ἀμίμητον κατελίμπανεν· ὠρχεῖτό τε γὰρ καὶ ᾖδε καὶ ἐκάλει ἐξ ὀνόματος καὶ τἄλλα ἔπραττεν.

37 Ὅτι ὁ ἱστορικός φησι διάγοντος αὐτοῦ κατὰ τὰς Θήβας καὶ τὴν Σοήνην ἱστορίας ἕνεκα ἐν ἐπιθυμίᾳ

γενέσθαι τοὺς φυλάρχους καὶ προφήτας τῶν κατὰ τὴν Τάλμιν βαρβάρων, ἤτοι τῶν Βλεμμύων, τῆς ἐντυχίας αὐτοῦ· ἐκίνει γὰρ αὐτοὺς ἐπὶ τοῦτο ἡ φήμη. καὶ ἔλαβόν με, φησί, μέχρι αὐτῆς τῆς Τάλμεως, ὥστε κἀκείνους τοὺς χώρους ἱστορῆσαι, διέχοντας ἀπὸ τῶν Φιλῶν διάστημα ἡμερῶν πέντε, μέχρι πόλεως τῆς λεγομένης Πρῖμα, ἥτις τὸ παλαιὸν πρώτη πόλις τῆς Θηβαΐδος ἀπὸ τοῦ βαρβαρικοῦ ἐτύγχανε· διὸ παρὰ τῶν Ῥωμαίων Ῥωμαίᾳ φωνῇ Πρῖμα, ἤτοι πρώτη, ὠνομάσθη, καὶ νῦν οὕτω καλεῖται, καίτοι ἐκ πολλοῦ οἰκειωθεῖσα τοῖς βαρβάροις μεθ' ἑτέρων τεσσάρων πόλεων, Φοινικῶνος, Χίριδος, Θάπιδος, Τάλμιδος. παρὰ τούτους τοὺς χώρους φησὶ καὶ σμαράγδου μέταλλα εἶναι μαθεῖν, ἐξ ὧν τοῖς Αἰγυπτίων βασιλεῦσιν ἡ σμάραγδος ἐπλεόναζε. καὶ ταῦτα, φησίν, οἱ προφῆται τῶν βαρβάρων προὔτρεπόν με θεάσασθαι· ἀλλ' οὐκ ἦν τοῦτο δυνατὸν γενέσθαι χωρὶς βασιλικῆς προστάξεως.

38 Ὅτι Λιβάνιόν τινα τερατολογεῖ, Ἀσιανὸν τὸ γένος, κατὰ τὴν βασιλείαν Ὀνωρίου καὶ Κωνσταντίου ἐπὶ Ῥάβενναν παραγενέσθαι. ἄκρον δὲ τοῦτον εἶναι τελεστικόν. καὶ δύνασθαι δέ φησι καὶ ὑπισχνεῖσθαι αὐτὸν χωρὶς ὁπλιτῶν καὶ (καὶ χωρὶς ὁπλιτῶν Nieb.) κατὰ βαρβάρων ἐνεργεῖν. εἶτα πεῖραν δούς, φησίν, οὗτος τῆς ὑποσχέσεως, καὶ τῆς φήμης δραμούσης, ὥστε καὶ Πλακιδίαν τὴν βασιλίδα μαθεῖν, ἀναιρεῖται ὁ τελεστής· ἠπείλει γάρ, φησίν, ἡ Πλακιδία Κωνσταντίῳ χωρισμὸν τοῦ γάμου, εἰ τοῖς ζῶσι Λιβάνιος περιλείποιτο, ἀνὴρ γόης καὶ ἄπιστος.

39 Ὅτι Κωνστάντιος Ἰλλυριὸς ἦν τὸ γένος, ἀπὸ Ναΐσσοῦ πόλεως τῆς Δακίας, καὶ πολλὰς στρατείας ἀπὸ τῶν Θεοδοσίου χρόνων τοῦ μεγάλου διελθών,

ὕστερον καὶ τὴν βασίλειον ἀρχήν, ὡς ἐρρήθη, ὑπέδυ. ἦν δὲ τἄλλα μὲν ἐπαινετὸς καὶ χρημάτων δὲ κρείττων, πρὶν ἢ συναφθῆναι Πλακιδίᾳ. ἐπεὶ δὲ αὐτῇ συνέζευκτο, εἰς φιλοχρηματίαν ἐξώκειλε. μετὰ μέντοι τὸν αὐτοῦ θάνατον δεήσεις κατ' αὐτοῦ τῶν εἰς χρήματα ἀδικηθέντων ἐπὶ Ῥάβενναν πανταχόθεν συνέρρεον, ἀλλ' ἡ τοῦ Ὁνωρίου, φησί, κουφότης καὶ ἡ τῆς Πλακιδίας πρὸς αὐτὸν οἰκειότης ἀπράκτους αὐτῶν τὰς αἰτήσεις καὶ τὴν ἰσχὺν τοῦ δικαίου ἀπέφηνεν.

40 Ὅτι τοσαύτη διάθεσις Ὁνωρίῳ πρὸς τὴν οἰκείαν ἀδελφήν, ἐξ οὗπερ ὁ ταύτης ἀνὴρ Κωνστάντιος ἀπεβίω, παρεμπεφύκει, ὡς τὴν ἄμετρον ἀγάπην αὐτῶν καὶ τὰ συνεχῆ κατὰ στόμα φιλήματα εἰς ὑπόληψιν αἰσχρὰν αὐτοὺς τοῖς πολλοῖς ἐμβαλεῖν. ἀλλὰ τοσαύτη πάλιν αὐτοῖς ἐναπετέχθη ἔχθρα σπουδῇ Σπαδούσης καὶ Ἐλπιδίας, τροφὸς δ' ἦν αὕτη Πλακιδίας, αἷς καὶ τὰ πολλὰ προσεῖχε, συμπράττοντος αὐταῖς καὶ Λεοντέως τοῦ ταύτης κουράτωρος, ὥστε στάσεις μὲν πολλάκις ἐν τῇ Ῥαβέννῃ συστῆναι· περιῆν γὰρ κἀκείνῃ πλῆθος βαρβάρων ἐκ τῆς πρὸς Ἀδαοῦλφον συναφείας καὶ ἐκ τῆς πρὸς Κωνστάντιον συζυγίας· καὶ πληγὰς δὲ προελθεῖν ἐξ ἑκατέρου μέρους. τέλος ἐκ τῆς ἀναφθείσης ἐκείνης ἔχθρας καὶ τοῦ ἀντιρρόπου τῆς πρὶν φιλίας μίσους εἰς Βυζάντιον Πλακιδία, τοῦ ἀδελφοῦ ὑπερισχύσαντος, σὺν τοῖς οἰκείοις παισὶν ἐξορίζεται. καὶ μόνος αὐτῇ Βονηφάτιος τὰ πιστὰ φυλάττων, ἀπὸ τῆς Ἀφρικῆς, ἧς ἦρχε, καὶ χρήματα ὡς ἐδύνατο ἔπεμπε καὶ πρὸς τὴν ἄλλην αὐτὸς ἔσπευδε θεραπείαν, ὕστερον δὲ καὶ εἰς τὴν τῆς βασιλείας ἀνάληψιν ἅπαντα συνεβάλετο.

41 Ὅτι Ὁνώριος ὑδερικῷ νοσήματι ἁλοὺς πρὸ ἓξ

καλανδῶν σεπτεμβρίων τελευτᾷ· καὶ πέμπονται γράμματα πρὸς τὴν ἀνατολὴν τὸν βασιλέως θάνατον μηνύοντα. ἐν ᾧ δὲ ταῦτα ἐπέμποντο, Ἰωάννης τις αὐθεντήσας τυραννεῖ· ἐφ' οὗ καὶ τῆς ἀναρρήσεως γινομένης, ἐρρήθη ὥσπερ ἀπό τινος προρρήσεως προαχθέν "πίπτει, οὐ στήκει," καὶ τὸ πλῆθος ὥσπερ ἀναλύοντες ἐπὶ τὸ ῥηθὲν ἀναφωνοῦσι "στήκει, οὐ πίπτει."

42 Ὅτι Βονηφάτιος ἀνὴρ ἦν ἡρωικὸς καὶ κατὰ πολλῶν πολλάκις βαρβάρων ἠρίστευσεν, ἄλλοτε μὲν σὺν ὀλίγοις ἐπερχόμενος, ἄλλοτε δὲ καὶ σὺν πλείοσιν, ἐνίοτε δὲ καὶ μονομαχῶν· καὶ ἁπλῶς εἰπεῖν, παντὶ τρόπῳ πολλῶν βαρβάρων καὶ διαφόρων ἐθνῶν ἀπήλλαξε τὴν Ἀφρικήν. ἦν δὲ καὶ δικαιοσύνης ἐραστὴς καὶ χρημάτων κρείττων. ἐπράχθη δὲ αὐτῷ καί τι τοιοῦτον. ἀνήρ τις ἄγροικος, ἔχων ἀνθοῦσαν γυναῖκα τὴν ὥραν, ὑπό τινος τῶν συμμάχων βαρβάρων ἐμοιχεύετο. δεῖται τοιγαροῦν Βονηφατίου, τὴν ὕβριν ὀλοφυρόμενος. ὁ δὲ Βονηφάτιος μαθὼν τὸ διάστημα τοῦ τόπου καὶ τὸ ὄνομα τοῦ ἀγροῦ, ἐν ᾧ τὰ τῆς μοιχείας ἐπράττετο, τὸν μὲν ἱκέτην τέως ἀπέπεμπε, προστάξας πάλιν τῇ ἑξῆς αὐτῷ προσελθεῖν, ὀψίας δὲ λαθὼν ἅπαντας, καὶ ἐπὶ τὸν ἀγρὸν ἐλάσας ἑβδομήκοντα διιστάμενον σταδίοις, καὶ εὑρὼν τὸν βάρβαρον τῇ μοιχευομένῃ συγκαθεύδοντα, τέμνει τε αὐτοῦ τὴν κεφαλὴν καὶ δι' αὐτῆς ὑποστρέφει νυκτός. προσελθόντι δὲ κατὰ τὸ πρόσταγμα εἰς τὴν αὔριον τῷ ἀνδρὶ ἐπιδίδωσι τοῦ βαρβάρου τὴν κεφαλήν, διαπυνθανόμενος εἰ ἐπιγινώσκοι αὐτήν. ὁ δὲ τοῖς παροῦσιν ἅμα καταπλαγεὶς καὶ ἀμηχανήσας, ἔπειτα ἐπιγνοὺς καὶ πολλὰ τῆς δικαιοσύνης εὐχαριστήσας, σὺν χαρᾷ ἀπῄει.

Ὅτι ἕκαστος τῶν μεγάλων οἴκων τῆς Ῥώμης, ὥς 43
φησιν, ἅπαντα εἶχεν ἐν ἑαυτῷ ὁπόσα πόλις σύμμετρος ἠδύνατο ἔχειν, ἱππόδρομον καὶ φόρους καὶ ναοὺς καὶ πηγὰς καὶ λουτρὰ διάφορα. διὸ καὶ ὁ συγγραφεὺς ἀπεφθέγξατο,

εἷς δόμος ἄστυ πέλει, πόλις ἄστεα μυρία κεύθει.

ἦσαν δὲ καὶ λουτρὰ δημόσια παμμεγέθη. αἱ δὲ Ἀντωνιαναὶ (Ἀντωνινιαναὶ) οὕτω καλούμεναι εἰς χρείαν τῶν λουομένων καθέδρας εἶχον παρακειμένας χιλίας ἑξακοσίας, ἐκ μαρμάρου κατεσκευασμένας ξεστοῦ, αἱ δὲ Διοκλητιαναὶ ἐγγὺς διπλασίους. τό τε τεῖχος τῆς Ῥώμης μετρηθὲν παρὰ Ἄμμωνος τοῦ γεωμέτρου, καθ' ὃν καιρὸν Γότθοι τὴν προτέραν κατ' αὐτῆς ἐπιδρομὴν ἐποιήσαντο, εἴκοσι καὶ ἑνὸς μιλίου διάστημα ἔχον ἀπεδείχθη.

Ὅτι πολλοὶ οἶκοι Ῥωμαίων προσόδους κατ' ἐνιαυ- 44
τὸν ἐδέχοντο ἀπὸ τῶν κτημάτων αὐτῶν ἀνὰ μ' χρυσοῦ κεντηνάρια, χωρὶς τοῦ σίτου καὶ τοῦ οἴνου καὶ τῶν ἄλλων ἁπάντων εἰδῶν, ἃ εἰς τρίτον συνέτεινεν, εἰ ἐπιπράσκετο, τοῦ εἰσφερομένου χρυσίου. τῶν δὲ μετὰ τοὺς πρώτους δευτέρων οἴκων τῆς Ῥώμης πεντεκαίδεκα καὶ δέκα κεντηναρίων ἡ πρόσοδος ἦν. καὶ ὅτι Πρόβος ὁ παῖς Ὀλυμπίου (Ὀλυβρίου Reinesius), τελέσας τὴν οἰκείαν πραιτοῦραν κατὰ τὸν καιρὸν τῆς Ἰωάννου τυραννίδος, δώδεκα κεντηνάρια χρυσοῦ ἀνήλωσε. Σύμμαχος δὲ ὁ λογογράφος, συγκλητικὸς ὢν τῶν μετρίων, πρὶν ἢ τὴν Ῥώμην ἁλῶναι, τοῦ παιδὸς Συμμάχου πραιτοῦραν τελοῦντος, κ' κεντηνάρια ἐδαπάνησε· Μάξιμος δέ, εἷς τῶν εὐπόρων, εἰς τὴν τοῦ υἱοῦ πραιτοῦραν μ' κατεβάλετο κεντηνάρια. ἑπτὰ δὲ ἡμέραις οἱ πραίτωρες τὰς πανηγύρεις ἐτέλουν.

Ὅτι ὁ συγγραφεὺς τῷ Ὀδυσσεῖ τὴν πλάνην οὐ 45

κατὰ Σικελίαν φησὶ γεγενῆσθαι, ἀλλὰ κατὰ τὰ πέρατα τῆς Ἰταλίας (Ἱσπανίας Labbeus)· καὶ τὴν εἰς ᾅδου κάθοδον παρὰ τὸν ὠκεανὸν γεγενῆσθαι, ἐν ᾧ καὶ ἡ πολλὴ πλάνη. ἀγωνίζεται δὲ διὰ πολλῶν τοῦτο παραστῆσαι. ἡμεῖς δὲ καὶ ἄλλους διαφόρους ἀνέγνωμεν ἐν τούτοις αὐτῷ συμφωνοῦντας.

46 Ὅτι ἀποστέλλεται ὑπὸ Κωνσταντινουπόλεως παρὰ Θεοδοσίου Πλακιδία ἅμα παισὶ κατὰ τοῦ τυράννου, καὶ ἐπαναλαμβάνει αὐτὴ μὲν τὸ τῆς Αὐγούστης, ὁ δὲ Οὐαλεντινιανὸς τὸ τοῦ νωβελισσίμου ἀξίωμα· συνεκπέμπεται δὲ αὐτοῖς καὶ στρατὸς καὶ στρατοπεδάρχης ἑκατέρας δυνάμεως Ἀρδαβούριος ἅμα τῷ παιδὶ Ἄσπαρι, καὶ τρίτος Κανδιδιανός. κατὰ δὲ τὴν Θεσσαλονίκην Ἡλίων ὁ τῶν ὀφφικίων μάγιστρος παρὰ Θεοδοσίου ἀποσταλεὶς ἐνδύει Βαλεντινιανὸν ἐπ' αὐτῆς Θεσσαλονίκης τὴν τοῦ Καίσαρος ἐσθῆτα, πέμπτον ἔτος ἄγοντα τῆς ἡλικίας. κατιόντων δὲ αὐτῶν, Ἀρδαβούριος μὲν ἁλίσκεται παρὰ τῶν τοῦ τυράννου, καὶ ἀναπέμπεται πρὸς αὐτόν, καὶ φιλιάζει αὐτῷ· ὁ δὲ τούτου παῖς ἅμα Πλακιδίᾳ ἐν ἀθυμίᾳ καὶ λύπῃ ἦσαν. Κανδιδιανὸς δὲ πολλὰς πόλεις αἱρῶν καὶ εὐδοκιμῶν λαμπρῶς τὸ λυποῦν διεσκέδαξε καὶ ἐψυχαγώγει. εἶτα σφάζεται ὁ τύραννος Ἰωάννης, καὶ Πλακιδία ἅμα Καίσαρι τῷ παιδὶ εἰσέρχεται εἰς τὴν Ῥάβενναν. Ἡλίων δὲ ὁ μάγιστρος καὶ πατρίκιος, καταλαβὼν τὴν Ῥώμην καὶ πάντων ἐκεῖσε συνδραμόντων, τὴν βασιλικὴν ἐσθῆτα ἑπταέτηρον ὄντα ἐνδύει Βαλεντινιανόν. ἐν οἷς καὶ τὰ τῆς ἱστορίας [τελευτᾷ addit Nieb.].

2 Ἐν δὲ τῇ Ῥαβέννῃ, μητρόπολις δὲ Φλαμινίας, πόλις ἀρχαία, Θεσσαλῶν ἀποικία, Ῥήνη κληθεῖσα διὰ τὸ πανταχόθεν ὕδασι περιρρεῖσθαι, καὶ οὐχ, ὡς ὁ Ὀλυμπιόδωρος ὁ Θηβαῖός φησι, διὰ τὸ Ῥῶμον, ὃς

ἀδελφὸς γέγονε Ῥωμύλῳ, τῆς πόλεως ταύτης οἰκιστὴν γεγονέναι . . ., ἐν τῇ Ῥαβέννῃ τοίνυν ταύτῃ παρεσκευασμένῳ Στελίχωνι ταῖς Ἰλλυριῶν πόλεσι μετὰ στρατεύματος ἐπιστῆναι, καὶ σὺν Ἀλαρίχῳ παρασπάσασθαι μὲν αὐτὰς Ἀρκαδίου, περιποιήσασθαι δὲ τῇ Ὀνωρίου βασιλείᾳ, δύο κωλύματα συνέβη παρεμπεσεῖν, κτλ. (a. 506). [Zosimus 5, 27, post narrationem de victoria Rodagaisi in Phot. Exc. § 9 memorata*).]

---

*) Reitemeierus ad h. l.: „In postrema hac historiae suae parte Zosimus, postquam in superioribus maxime Eunapium ducem habuit, Olympiodori nunc, scriptoris aequalis, diserti et fide dignissimi, vestigiis insistit, eiusque silvam ita sequitur, quantum scilicet comparatione epitomae a Photio confectae et historiae Zosimeae intelligitur, ut rationem et ordinem eundem servet, et ubi res naturali vinculo haud coniunctae explicandae sunt, a rerum serie cum eo deflectat, veluti in historia Constantini tyranni, quae paullo quidem seriore, commodo tamen loco integra et aliis haud interrupta enarratur. Iudicio Zosimum suo esse usum, nec temere auctoritatem ducis sui secutum, argumento erunt loci, in quibus ab Olympiodoro discedit, et alia, quae vel in breviario Photii paullo prolixius sunt explicata, docebunt, quantum sit in Zosimo brevitatis studium, quod vel obscuritatem nonnullis videtur affudisse locis (e. g. V, 34, 2; 37, 6. VI, 8, 1). Quae de rerum causis iisque quae inde sequantur, ac de virtutibus vitiisque imperatorum, rebusque praefectorum civilibus aut militaribus iudicata in hac parte legimus, Olympiodori potius esse quam ab Zosimo animi acie inventa, suspicamur, eamque ob causam ea, quae de Stilichonis virtutibus ac vitiis ab omni iniquitate alienus iudicavit, non Eunapio, qui ut impium in maiorum sacra hominem eum exagitaverat, sed Olympiodoro duce scripsit. Qui cum Zosimo hic comparari scriptores adhiberique ad eius emendationem possint, ii et paucissimi sunt et minimi momenti. Orosius quidem, nisi iusto parcior ac brevior in rebus enarrandis fuisset, indulsissetque minus ingenio superstitioso, ut aequalis aetate adeoque maxime auctoritate pollens, utilissimus ad hunc usum foret. Suppeditant nonnulla, quae huc faciunt, praeter Sozomenum et Philostorgium et chronographos Marcellinum et Prosperum, Iordanes et Procopius, hic in ultimis, ille in prioribus, denique Augustinus, aequalis, ac Frigeridus Turonensis. Ultimo loco monebimus hiatum esse quodammodo historiae rerum quae

inter annum 404 et 407 gestae erant. Quum enim Eunapius historiae suae finem anno 404 fecerit, Olympiodorus autem suam anno 407 exorsus sit, relictum ab iis est spatium, quod nisi aliunde sartum Zosimus praestitit ac rebus in illo temporis intervallo gestis explevit, ipsius historiam imperfectam reddere debuit. Quantum comparando potest coniici, ex Olympiodoro, qui exordium historiae suae paullo altius duxisse videtur, ea, quae iis annis sunt inclusa, sumta sunt et translata."

NONNOSI FRAGMENTA.

Photius Bibl. cod. 3: Ἀνεγνώσθη Νοννόσου ἱστορία, ἐν ᾗ διαλαμβάνεται πρεσβεία αὐτοῦ πρός τε Αἰθίοπας καὶ Ἀμερίτας καὶ Σαρακηνούς, τὰ ἰσχυρότερα τῶν τότε ἐθνῶν, ἔτι δὲ καὶ πρὸς ἄλλα ἀνατολικὰ ἔθνη. Ἰουστινιανὸς δὲ τὸ τηνικαῦτα τὴν Ῥωμαϊκὴν περιεῖπε πολιτείαν· φύλαρχος δὲ τῶν Σαρακηνῶν ἐχρημάτιζε Καϊσος, ἀπόγονος Ἀρέθα, καὶ αὐτοῦ φυλάρχου γεγενημένου, πρὸς ὃν ὁ Νοννόσου πάππος ἐπρεσβεύσατο παρὰ Ἀναστασίου τότε βασιλεύσντος ἀποσταλείς, καὶ τὰ πρὸς εἰρήνην ἐσπείσατο. οὐ μὴν ἀλλὰ καὶ ὁ πατὴρ Νοννόσου, Ἀβράμης δ' ἦν αὐτῷ ὄνομα, πρὸς Ἀλαμούνδαρον φύλαρχον Σαρακηνῶν ἐπρεσβεύσατο, καὶ δύο στρατηγοὺς Ῥωμαίων, Τιμόστρατον καὶ Ἰωάννην, νόμῳ πολέμου συλληφθέντας, ἀνεσώσατο· Ἰουστίνῳ δὲ τῷ βασιλεῖ τὴν τῶν στρατηγῶν διηκονεῖτο ἀνάρρυσιν. ὁ μέντοι Καϊσος, πρὸς ὃν ἐστέλλετο Νόννοσος, δύο γενῶν ἡγεῖτο τῶν παρὰ τοῖς Σαρακηνοῖς ἐπισημοτάτων, Χινδηνῶν καὶ Μααδηνῶν. πρὸς τοῦτον δὴ τὸν Καϊσον καὶ ὁ Νοννόσου πατήρ, πρὶν ἢ Νόννοσον πρεσβεύειν αἱρεθῆναι, Ἰουστινιανοῦ πέμποντος ἀπέσταλτο, καὶ εἰρηνικὰς ἔθετο σπονδάς, ὥστε καὶ τὸν υἱὸν Καϊσου, Μαυίας δὲ ἐκα-

---

1. *Νοννόσου*] Infra ad *Νόννοσον* p. 476, 18 Bekkerus annotat codicem Venetum saepe praebere *Νόννωσος*.

λεῖτο, ὅμηρα λαβεῖν καὶ πρὸς Ἰουστινιανὸν ἐς Βυζάντιον ἀποκομίσαι. μεθ' ὃν χρόνον ἐπρεσβεύσατο Νόννοσος ἐπὶ δυσὶ τούτοις, Καΐσον, εἰ δυνατόν, πρὸς βασιλέα ἀγαγεῖν, καὶ πρὸς τὸν τῶν Αὐξουμιτῶν ἀφικέσθαι βασιλέα· Ἐλεσβαᾶς δὲ τότε ἐκράτει τοῦ ἔθνους· καὶ πρὸς τούτοις καὶ εἰς τοὺς Ἀμερίτας παραγενέσθαι. ἡ δὲ Αὔξουμις πόλις ἐστὶ μεγίστη καὶ οἷον μητρόπολις τῆς ὅλης Αἰθιοπίας· κεῖται δὲ μεσημβρινωτέρα καὶ ἀνατολικωτέρα τῆς Ῥωμαίων ἀρχῆς. ὁ δὲ Νόννοσος πολλὰς μὲν ἐπιβουλὰς ἐθνῶν ὑποστάς, πολλὰς δὲ θηρίων χαλεπότητας παρὰ τὴν ὁδόν, καὶ πολλαῖς δυσχωρίαις καὶ ἀπορίαις πολλάκις περιπεσών, ὅμως καὶ τὰ δόξαντα ἐξετέλεσεν καὶ σῷος τῇ πατρίδι ἀποδίδοται.

Ὅτι Καΐσος, Ἀβράμου πάλιν πρὸς αὐτὸν πρεσβεύσαντος, πρὸς τὸ Βυζάντιον παραγίνεται, καὶ τὴν ἰδίαν φυλαρχίαν Ἄμβρῳ καὶ Ἰεζίδῳ τοῖς ἀδελφοῖς διανειμάμενος αὐτὸς τὴν Παλαιστίνων ἡγεμονίαν παρὰ βασιλέως ἐδέξατο, πλῆθος πολὺ τῶν ὑποτεταγμένων αὐτῷ σὺν αὐτῷ ἐπαγόμενος.

Ὅτι τὰ σανδάλια, φησί, νυνὶ λεγόμενα ἀρβύλας ἔλεγον οἱ παλαιοὶ καὶ τὸ φακιόλιον φασώλιν.

Ὅτι τῶν Σαρακηνῶν οἱ πλεῖστοι, οἵ τε ἐν τῷ Φοινικῶνι καὶ οἱ τοῦ Φοινικῶνος καὶ τῶν ὀνομαζομένων Ταυρηνῶν ὀρῶν ἐπέκεινα, ἱερόν τι χωρίον νομίζουσιν ὅτῳ δὴ θεῶν ἀνειμένον, καὶ ἐνταῦθα συλλέγονται κατ' ἐνιαυτὸν ἕκαστον δίς. ὧν τὴν μὲν τῶν πανηγύρεων αὐτῶν μὴν ὅλος μετρεῖ παρατείνων, σχεδόν που τοῦ ἔαρος κατὰ τὸ μέσον τελουμένην, ὅτε τὸν ταῦρον ὁ ἥλιος ἐπιπορεύεται· ἡ δὲ ἑτέρα πανήγυρις δυσὶ μησὶ παρατείνεται· μετὰ θερινὰς τροπὰς ἄγουσι ταύτην. ἐν ταύταις, φησί, ταῖς πανηγύρεσιν

πᾶσαν ἄγουσιν εἰρήνην, οὐ πρὸς ἀλλήλους μόνον, ἀλλὰ καὶ πρὸς ἅπαντας τοὺς ἐνδημοῦντας ἀνθρώπους· φασὶ δὲ ὅτι καὶ τὰ θηρία πρὸς τοὺς ἀνθρώπους, οὐ μόνον δέ, ἀλλὰ καὶ αὐτὰ πρὸς ἄλληλα. λέγεται δὲ καὶ ἄλλα πολλὰ παράδοξα καὶ μύθων οὐδὲν διαλλάττοντα.

Ὅτι διεστηκέναι φησὶ τὴν Ἄδουλιν τῆς Αὐξούμεως ιέ ἡμερῶν ὁδόν, ἀπιοῦσι δὲ εἰς τὴν Αὔξουμιν Νοννόσῳ τε καὶ τοῖς μετ' αὐτοῦ μέγιστον ἐφάνη θέαμα περὶ χωρίον Αὔην προσονομαζόμενον· κεῖται δὲ ἡ Αὔη ἐν μέσῳ τῆς τε τῶν Αὐξουμιτῶν καὶ τῆς τῶν Ἀδουλιτῶν πόλεως· ἐλεφάντων πλῆθος οὐκ ὀλίγον, ἀλλὰ σχεδὸν ὡς χιλιάδων πέντε· ἐνέμοντο δὲ οὗτοι οἱ ἐλέφαντες ἐν πεδίῳ μεγάλῳ, καὶ πελάζειν αὐτοῖς οὐδενὶ τῶν ἐγχωρίων ἦν εὔκολον οὐδὲ εἴργειν τῆς νομῆς. τοῦτο μὲν οὖν μεταξὺ τὸ θέαμα αὐτοῖς προσεγεγόνει.

Χρὴ δὲ καὶ τὰ περὶ τῆς κράσεως τῶν αερων εἰπεῖν, οἷα ἀπὸ τῆς Αὔης ἐπὶ τὴν Αὔξουμιν διαδέχεται· ἐναντίως γὰρ περί τε θέρος καὶ χειμῶνα διάκειται. τοῦ γὰρ ἡλίου τὸν καρκίνον τε καὶ λέοντα καὶ παρθένον διερχομένου, μέχρι μὲν τῆς Αὔης, ὥσπερ καὶ παρ' ἡμῖν, θέρος τε καὶ ξηρότης διακρατεῖ τὸν ἀέρα, ἀπὸ δὲ τῆς Αὔης ἐπὶ τὴν Αὔξουμιν καὶ τὴν ἄλλην Αἰθιοπίαν χειμὼν ἐπίκειται σφοδρός, οὐ δι' ὅλης ἡμέρας, ἀλλὰ γὰρ ἀπὸ μεσημβρίας ἀρχόμενος ἑκάστοτε, συννεφῆ τε τὸν ἀέρα ποιῶν καὶ ὄμβροις ῥαγδαίοις τὴν χώραν ἐπικλύζων. τηνικαῦτα δὲ ἄρα καὶ ὁ Νεῖλος πολὺς ἐπὶ τὴν Αἴγυπτον ἐρχόμενος πελαγίζει τε καὶ κατάρδει τὴν γῆν. ὅτε δὲ ὁ ἥλιος τὸν αἰγόκερών τε καὶ ὑδροχόον καὶ ἰχθύας ἐπιπορεύεται, ἀνάπαλιν ὁ ἀὴρ τοῖς μὲν Ἀδουλίταις μέχρι

τῆς Αὔης ὄμβροις ἐπικλύζει τὴν χώραν, τοῖς δὲ ἀπὸ τῆς Αὔης μέχρι Αὐξούμεως καὶ τῆς ἄλλης Αἰθιοπίας θέρος τε καὶ τὰ ὡραῖα τηνικαῦτα τούτοις ἡ γῆ παραδίδωσιν.

Ὅτι ἀπὸ τῆς Φαρσὰν πλέοντι τῷ Νοννόσῳ ἐπὶ τὴν ἐσχάτην τῶν νήσων κατηντηκότι τοιόνδε τι συνέβη, θαῦμα καὶ ἀκοῦσαι. ἐνέτυχε γάρ τισι μορφὴν μὲν καὶ ἰδέαν ἔχουσιν ἀνθρωπίνην, βραχυτάτοις δὲ τὸ μέγεθος καὶ μέλασι τὴν χρόαν, ὑπὸ δὲ τριχῶν δεδασυσμένοις διὰ παντὸς τοῦ σώματος· εἵποντο δὲ τοῖς ἀνδράσι καὶ γυναῖκες παραπλήσιαι καὶ παιδάρια ἔτι βραχύτερα τῶν παρ' αὐτοῖς ἀνδρῶν· γυμνοὶ δὲ ἦσαν ἅπαντες, πλὴν δέρματί τινι μικρῷ τὴν αἰδῶ περιεκάλυπτον οἱ προβεβηκότες ὁμοίως ἄνδρες τε καὶ γυναῖκες. ἄγριον δὲ οὐδὲν ἐπεδείκνυντο οὐδὲ ἀνήμερον, ἀλλὰ καὶ φωνὴν εἶχον μὲν ἀνθρωπίνην, ἄγνωστον δὲ παντάπασι τὴν διάλεκτον τοῖς τε περιοίκοις ἅπασι καὶ πολλῷ πλέον τοῖς περὶ τὸν Νόννοσον. διέζων δὲ ἐκ θαλαττίων ὀστρέων καὶ ἰχθύων τῶν ἀπὸ τῆς θαλάττης εἰς τὴν νῆσον ἀπορριπτομένων. θάρσος δὲ εἶχον οὐδέν, ἀλλὰ καὶ ὁρῶντες τοὺς καθ' ἡμᾶς ἀνθρώπους ὑπέπτησσον, ὥσπερ ἡμεῖς τὰ μείζω τῶν θηρίων.

Eiusdem Nonnosi historia usum esse, nisi ipsum Ioannem Malalam p. 456, 24, certe quem is et Theophanes p. 377 sequuntur, probabilis est opinio Hodii Proleg. ad Malalam p. XLVIII et Gibboni cap. 42, annot. 94, qui conf. de rebus hic memoratis. Sic autem Malalas: *Ὁ δὲ βασιλεὺς Ῥωμαίων ἀκούσας παρὰ τοῦ πατρικίου Ῥουφίνου τὴν παρὰ Κωάδου, βασιλέως Περσῶν, παράβασιν, ποιήσας θείας κελεύσεις κατέπεμψε πρὸς τὸν βασιλέα τῶν Αὐξουμιτῶν· ὅστις βασιλεὺς Ἰνδῶν*

συμβολὴν ποιήσας μετὰ τοῦ βασιλέως τῶν Ἀμεριτῶν Ἰνδῶν, κατὰ κράτος νικήσας παρέλαβε τὰ βασίλεια αὐτοῦ καὶ τὴν χώραν αὐτοῦ πᾶσαν, καὶ ἐποίησεν ἀντ' αὐτοῦ βασιλέα τῶν Ἀμεριτῶν Ἰνδῶν ἐκ τοῦ ἰδίου γένους Ἀγγάνην διὰ τὸ εἶναι καὶ τὸ τῶν Ἀμεριτῶν Ἰνδῶν βασίλειον ὑπ' αὐτόν. καὶ ἀποπλεύσας ὁ πρεσβευτὴς Ῥωμαίων ἐπὶ Ἀλεξάνδρειαν διὰ τοῦ Νείλου ποταμοῦ καὶ τῆς Ἰνδικῆς θαλάσσης κατέφθασε τὰ Ἰνδικὰ μέρη. καὶ εἰσελθὼν παρὰ τῷ βασιλεῖ τῶν Ἰνδῶν, μετὰ χαρᾶς πολλῆς ἐξενίσθη ὁ βασιλεὺς Ἰνδῶν, ὅτι διὰ πολλῶν χρόνων ἠξιώθη μετὰ τοῦ βασιλέως Ῥωμαίων κτήσασθαι φιλίαν. ὡς δὲ ἐξηγήσατο ὁ αὐτὸς πρεσβευτής, ὅτε ἐδέξατο αὐτὸν ὁ τῶν Ἰνδῶν βασιλεύς, ὑφηγήσατο τὸ σχῆμα τῆς βασιλικῆς τῶν Ἰνδῶν καταστάσεως, ὅτι γυμνὸς ὑπῆρχε καὶ κατὰ τοῦ ζώσματος εἰς τὰς ψύας αὐτοῦ λινόχρυσα ἱμάτια, κατὰ δὲ τῆς γαστρὸς καὶ τῶν ὤμων φορῶν σχιαστὰς (σχιστὰ Theoph.) διὰ μαργαριτῶν καὶ [ἐν τοῖς βραχίοσιν add. Theoph.] κλαβία ἀνὰ πέντε καὶ χρυσᾶ ψέλια εἰς τὰς χεῖρας αὐτοῦ, ἐν δὲ τῇ κεφαλῇ αὐτοῦ λινόχρυσον φακιόλιν ἐσφενδονισμένον, ἔχον ἐξ ἀμφοτέρων τῶν μερῶν σειρὰς τέσσαρας, καὶ μανιάκιν χρυσοῦν ἐν τῷ τραχήλῳ αὐτοῦ, καὶ ἵστατο ὑπεράνω τεσσάρων ἐλεφάντων ἐχόντων ζυγὸν καὶ τροχοὺς δ', καὶ ἐπάνω ὡς ὄχημα ὑψηλὸν ἠμφιεσμένον χρυσέοις πετάλοις, ὥσπερ ἐστὶ τὰ τῶν ἀρχόντων τῶν ἐπαρχιῶν ὀχήματα ἀργύρῳ ἠμφιεσμένα. καὶ ἵστατο ἐπάνω ὁ βασιλεὺς τῶν Ἰνδῶν βαστάζων σκουτάριον μικρὸν κεχρυσωμένον καὶ δύο λαγκίδια καὶ αὐτὰ κεχρυσωμένα κατέχων ἐν ταῖς χερσὶν αὐτοῦ. καὶ οὕτως ἵστατο πᾶσα ἡ σύγκλητος αὐτοῦ μεθ' ὅπλων καὶ αὐλοὶ [haec duo om. Theoph.] ᾄδοντες μέλη μουσικά.

Καὶ εἰσενεχθεὶς ὁ πρεσβευτὴς Ῥωμαίων κλίνας τὸ γόνυ προσεκύνησε· καὶ ἐκέλευσεν ὁ βασιλεὺς Ἰνδῶν ἀναστῆναί με καὶ ἀναχθῆναι πρὸς αὐτόν. καὶ δεξάμενος τὴν τοῦ βασιλέως Ῥωμαίων σάκραν κατεφίλησε τὴν σφραγῖδα [*τὴν ἔχουσαν τὸ στηθάριον τοῦ βασιλέως* add. Theoph.]. *δεξάμενος δὲ καὶ τὰ δῶρα τὰ πεμφθέντα ὑπὸ τοῦ βασιλέως ἐξεπλάγη. λύσας δὲ καὶ ἀναγνοὺς δι' ἑρμηνέως τὰ γράμματα, εὗρε περιέχοντα ὥστε ὁπλίσασθαι αὐτὸν κατὰ Κωάδου βασιλέως Περσῶν καὶ τὴν πλησιάζουσαν αὐτῷ χώραν ἀπολέσαι καὶ τοῦ λοιποῦ μηκέτι συνάλλαγμα ποιῆσαι μετ' αὐτοῦ, ἀλλὰ δι' ἧς ὑπέταξε χώρας τῶν Ἀμεριτῶν Ἰνδῶν διὰ τοῦ Νείλου ἐπὶ τὴν Αἴγυπτον ἐν Ἀλεξανδρείᾳ τὴν πραγματείαν ποιεῖσθαι. καὶ εὐθέως ὁ βασιλεὺς Ἰνδῶν Ἐλεσβόας* (*Ἐλεσβαᾶς* Photius, Theophanes p. 261, 1, Cedrenus p. 364, C, et alii ad Thes. Stephani citati) *ἐπ' ὄψεσι τοῦ πρεσβευτοῦ Ῥωμαίων ἐκίνησε πόλεμον κατὰ Περσῶν, προπέμψας δὲ τοὺς ὑπ' αὐτὸν Ἰνδοὺς Σαρακηνοὺς ἐπῆλθε τῇ Περσικῇ χώρᾳ ὑπὲρ Ῥωμαίων, δηλώσας τῷ βασιλεῖ Περσῶν τοῦ δέξασθαι τὸν βασιλέα Ἰνδῶν πολεμοῦντα αὐτῷ καὶ ἐκπορθῆσαι πᾶσαν τὴν ὑπ' αὐτοῦ βασιλευομένην γῆν. καὶ πάντων οὕτως προβάντων, ὁ βασιλεὺς Ἰνδῶν κρατήσας τὴν κεφαλὴν τοῦ πρεσβευτοῦ Ῥωμαίων, δεδωκὼς εἰρήνης φίλημα, ἀπέλυσεν ἐν πολλῇ θεραπείᾳ. κατέπεμψε γὰρ καὶ σάκρας διὰ Ἰνδοῦ πρεσβευτοῦ καὶ δῶρα τῷ βασιλεῖ Ῥωμαίων.*

INDEX.